[1] συνίουσιν LTrWH. [2] —ἐπ' LTTrWHR. [3] Ἠσαΐου L, Ἠσαίου WH. [4] ὠσὶν [αὐτῶν] L. [5] ἰάσομαι LTTrWHR. [6] —ὑμῶν L[TrWH]. [7] ἀκούουσιν LTTrWH. [8] —γὰρ T. [9] εἶδαν LTrWH, ἴδαν T. [10] σπείραντος LTTrWH. [11] —τούτου LTTrWHR. [12] συν- TWH. [13] καλὴν γῆν LTTrWH. [14] συνιείς LTTrWH. [15] ὃ LTWH. [16] σπείραντι LTTrWH.

ἔσπειρε[1] ζιζάνια ἀνὰ μέσον τοῦ σίτου, καὶ ἀπῆλθεν.
ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος, καὶ καρπὸν ἐποίησε, 26
τότε ἐφάνη καὶ τὰ ζιζάνια. προσελθόντες δὲ οἱ 27
δοῦλοι τοῦ οἰκοδεσπότου εἶπον αὐτῷ, Κύριε, οὐχὶ
καλὸν σπέρμα **ἔσπειρας**[2] ἐν τῷ σῷ ἀγρῷ; πόθεν οὖν
ἔχει **τὰ**[3] ζιζάνια; Ὁ δὲ ἔφη αὐτοῖς, Ἐχθρὸς ἄνθρω- 28
πος τοῦτο ἐποίησεν. οἱ δὲ **δοῦλοι**[4] **εἶπον αὐτῷ**[5], Θέ-
λεις οὖν ἀπελθόντες συλλέξωμεν αὐτά; Ὁ δὲ **ἔφη**[6], 29
Οὔ· μήποτε συλλέγοντες τὰ ζιζάνια, ἐκριζώσητε ἅμα
αὐτοῖς τὸν σῖτον. ἄφετε συναυξάνεσθαι ἀμφότερα 30
μέχρι[7] τοῦ θερισμοῦ· καὶ ἐν **τῷ**[8] καιρῷ τοῦ θερισμοῦ
ἐρῶ τοῖς θερισταῖς, Συλλέξατε πρῶτον τὰ ζιζάνια, καὶ
δήσατε αὐτὰ **εἰς**[9] δέσμας πρὸς τὸ κατακαῦσαι αὐτά·
[a] τὸν δὲ σῖτον **συναγάγετε**[10] εἰς τὴν ἀποθήκην μου."
[b] Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων, 31 ρλζ
"Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν [c] κόκκῳ σινά- β
πεως, ὃν λαβὼν ἄνθρωπος ἔσπειρεν ἐν τῷ ἀγρῷ
αὐτοῦ· ὃ μικρότερον μέν ἐστι πάντων τῶν σπερμά- 32
των· ὅταν δὲ αὐξηθῇ, μεῖζον τῶν λαχάνων ἐστί, καὶ
γίνεται δένδρον, ὥστε ἐλθεῖν [d] τὰ πετεινὰ τοῦ οὐρανοῦ,
καὶ **κατασκηνοῦν**[11] ἐν τοῖς κλάδοις αὐτοῦ."
Ἄλλην παραβολὴν **ἐλάλησεν αὐτοῖς**[12], [e] "Ὁμοία 33 ρλη
ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα ε
γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου [f] σάτα τρία, ἕως οὗ
ἐζυμώθη ὅλον."
[g] Ταῦτα πάντα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβολαῖς 34 ρλθ
τοῖς ὄχλοις, καὶ χωρὶς παραβολῆς **οὐκ**[13] ἐλάλει αὐ- ϛ
τοῖς· ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ[14] τοῦ προφήτου, 35 ρμ
λέγοντος, [h] "Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου· ι
[i] ἐρεύξομαι κεκρυμμένα [k] ἀπὸ καταβολῆς **κόσμου**[15].
Τότε ἀφεὶς τοὺς ὄχλους, ἦλθεν εἰς [l] τὴν οἰκίαν ὁ 36
Ἰησοῦς[16]· καὶ **προσῆλθον**[17] αὐτῷ οἱ μαθηταὶ αὐτοῦ,

[a] cap. 3. 12.
[b] ver. 31, 32, Marc. 4. 30—32. Luc. 13. 18, 19.
[c] cap. 17. 20. Luc. 17. 6.
[d] Ps. 104. 12. Ezek. 17. 23; 31. 6. Dan. 4. 12.
[e] Luc. 13. 20, 21.
[f] Gen. 18. 6.
[g] Marc. 4. 33, 34.
[h] Ps. 78. 2.
[i] Cf. Rom. 16. 25, 26. 1 Cor. 2. 7.
[k] cap. 25. 34. Luc. 11. 50. Heb. 4. 3; 9. 26. Rev. 13. 8; 17. 8. Cf. Joan. 17. 24. Eph. 1. 4. 1 Pet. 1. 20.
[l] Vid. ver. 1.

[1] ἐπέσπειρεν LTTrWHR. [2] ἔσπειρες Tr. [3] —τὰ LTTrWHR. [4] —δοῦλοι WH. [5] αὐτῷ λέγουσιν LTrWHR, λέγουσιν αὐτῷ T. [6] φησίν LTTrWHR. [7] ἕως LTrWH *text.* (ἄχρι v. μέχρι WH *marg.*). [8] —τῷ LTTrWH. [9] [εἰς] TrWH. [10] συνάγετε LTrWH (*non marg.*). [11] κατασκηνοῖν LTTrWH. [12] [ἐλάλησεν αὐτοῖς] WH. [13] οὐδὲν LTTrWHR. [14] +Ἡσαίου T, +Ἡσαίου WH *marg.* [15] —κόσμου LTTrWHR *marg.* [16] —ὁ Ἰησοῦς LTTrWHR. [17] προσῆλθαν LTrWH.

λέγοντες, [a]“Φράσον[1] ἡμῖν [b]τὴν παραβολὴν τῶν
37 ζιζανίων τοῦ ἀγροῦ.” Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐ-
τοῖς[2], “Ὁ σπείρων τὸ καλὸν σπέρμα ἐστὶν ὁ υἱὸς
38 τοῦ ἀνθρώπου· ὁ δὲ ἀγρός ἐστιν ὁ κόσμος· τὸ δὲ
καλὸν σπέρμα, οὗτοί εἰσιν [c]οἱ υἱοὶ [d]τῆς βασιλείας·
39 τὰ δὲ ζιζάνιά εἰσιν οἱ υἱοὶ [e]τοῦ πονηροῦ· [f]ὁ δὲ ἐχθρὸς
ὁ σπείρας αὐτά ἐστιν[3] ὁ διάβολος· [g]ὁ δὲ θερισμὸς
[h]συντέλεια τοῦ[4] αἰῶνός ἐστιν· οἱ δὲ θερισταὶ ἄγγελοί
40 εἰσιν. ὥσπερ οὖν [i]συλλέγεται τὰ ζιζάνια, καὶ [i]πυρὶ
κατακαίεται[5], οὕτως ἔσται ἐν τῇ [h]συντελείᾳ τοῦ αἰῶνος
41 τούτου[6]. [k]ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγ-
γέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας
αὐτοῦ [l]πάντα τὰ σκάνδαλα καὶ τοὺς ποιοῦντας τὴν
42 ἀνομίαν, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ
πυρός· [m]ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν
43 ὀδόντων. [n]τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος
ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν. [o]Ὁ ἔχων ὦτα
ἀκούειν[7] ἀκουέτω.

44 “Πάλιν[8] ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν
[p]θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος
ἔκρυψε· καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ ὑπάγει, [q]καὶ πάντα
ὅσα ἔχει πωλεῖ[9], καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον.

45 “Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν
46 ἀνθρώπῳ[10] ἐμπόρῳ, ζητοῦντι καλοὺς μαργαρίτας· ὃς
εὑρὼν[11] ἕνα [r]πολύτιμον μαργαρίτην, ἀπελθὼν [q]πέπρακε
πάντα ὅσα εἶχε, καὶ ἠγόρασεν αὐτόν.

47 “Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν
σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ [s]ἐκ παντὸς
48 γένους συναγαγούσῃ· ἥν, ὅτε ἐπληρώθη, ἀναβιβά-
σαντες[12] ἐπὶ τὸν αἰγιαλόν, καὶ[13] καθίσαντες, συνέλεξαν
49 τὰ καλὰ εἰς ἀγγεῖα[14], τὰ δὲ σαπρὰ ἔξω ἔβαλον· οὕτως

[a] cap. 18. 31 (var. lect.). Cf. cap. 15. 15.
[b] ver. 24—30.
[c] Vid. cap. 8. 12.
[d] ver. 19.
[e] Vid. cap. 5. 37.
[f] Joan. 8. 44. Act. 13. 10. 1 Joan. 3. 8, 10.
[g] Joel 3. 13. Rev. 14. 15.
[h] ver. 40, 49. cap. 24. 3; 28. 20. Heb. 9. 26. Cf. Dan. 12. 13.
[i] Joan. 15. 6.
[k] cap. 24. 30, 31.
[l] cap. 16. 23; 18. 7. Rom. 9. 33. Cf. ver. 49.
[m] ver. 50. Vid. cap. 8. 12.
[n] Cf. Prov. 4. 18. Dan. 12. 3. Sap. 3. 7.
[o] Vid. ver. 9.
[p] Prov. 2. 4.
[q] ver. 46. Cf. Prov. 23. 23.
[r] Job 28. 18.
[s] Cf. cap. 22. 10.

[1] Διασάφησον LTr (*non marg.*) WHR. [2] —αὐτοῖς LTTrWHR. [3] ἐστιν ὁ σπείρας αὐτὰ L. [4] —τοῦ LTTrWHR. [5] καίεται Tr. [6] —τούτου LTTrWHR. [7] —ἀκούειν T[LTr]WHR (*non marg.*). [8] —πάλιν TTr[L]WHR. [9] πωλεῖ πάντα ὅσα ἔχει LTTrWH (πάντα *marg. non text.* WH). [10] —ἀνθρώπῳ WH (*non marg.*). [11] εὑρὼν δὲ LTTrWHR. [12] +αὐτὴν L[Tr *marg.*]. [13] καὶ ἐπὶ τὸν αἰγιαλὸν L (*non marg.*). [14] ἄγγη TTrWH.

ἔσται ἐν [a]τῇ συντελείᾳ τοῦ αἰῶνος· ἐξελεύσονται οἱ
ἄγγελοι, καὶ [b]ἀφοριοῦσι τοὺς πονηροὺς ἐκ μέσου τῶν
δικαίων, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ 50
πυρός· [c]ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν
ὀδόντων." **Λέγει αὐτοῖς ὁ Ἰησοῦς**[1], "Συνήκατε ταῦτα 51
πάντα;" Λέγουσιν αὐτῷ, "Ναί, **κύριε**[2]." Ὁ δὲ 52
εἶπεν[3] αὐτοῖς, "Διὰ τοῦτο πᾶς [d]γραμματεὺς [e]μαθη-
τευθεὶς **εἰς**[4] **τὴν βασιλείαν**[5] τῶν οὐρανῶν ὅμοιός ἐστιν
ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυ-
ροῦ αὐτοῦ [f]καινὰ καὶ παλαιά."

Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς 53 ρμα
ταύτας, μετῆρεν ἐκεῖθεν· [g]καὶ ἐλθὼν [h]εἰς τὴν πατρίδα 54 α
αὐτοῦ, [i]ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν, ὥστε
[k]**ἐκπλήττεσθαι**[6] αὐτοὺς καὶ λέγειν, "Πόθεν τούτῳ ἡ
σοφία αὕτη καὶ αἱ δυνάμεις; [l]οὐχ οὗτός ἐστιν ὁ τοῦ 55
τέκτονος υἱός; **οὐχὶ**[7] ἡ [m]μήτηρ αὐτοῦ λέγεται Μαριάμ,
καὶ [m]οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ **Ἰωσῆς**[8] καὶ Σί-
μων καὶ Ἰούδας; καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι 56
πρὸς ἡμᾶς εἰσι; πόθεν οὖν τούτῳ ταῦτα πάντα;"
Καὶ [n]ἐσκανδαλίζοντο ἐν αὐτῷ. Ὁ δὲ Ἰησοῦς εἶπεν 57 ρμβ
αὐτοῖς, [o]"Οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ α
πατρίδι[9] **αὐτοῦ**[10] καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ." Καὶ οὐκ 58
ἐποίησεν ἐκεῖ δυνάμεις πολλάς, [p]διὰ τὴν ἀπιστίαν
αὐτῶν.

[q]ἘΝ ἐκείνῳ τῷ καιρῷ ἤκουσεν [r]Ἡρώδης[11] ὁ **τετράρ**- 14 ΚΕ'.
χης[12] τὴν ἀκοὴν Ἰησοῦ, καὶ εἶπε τοῖς παισὶν αὐτοῦ, 2 ρμγ
[s]"Οὗτός ἐστιν **Ἰωάννης**[13] ὁ Βαπτιστής· αὐτὸς ἠγέρθη β
ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις [t]ἐνεργοῦσιν
ἐν αὐτῷ." Ὁ γὰρ Ἡρώδης[11] κρατήσας τὸν **Ἰωάννην**[14] 3 ρμδ
ἔδησεν **αὐτὸν**[15] καὶ [u]**ἔθετο ἐν φυλακῇ**[16], διὰ Ἡρωδιάδα[17] β
τὴν γυναῖκα [x]**Φιλίππου**[18] τοῦ ἀδελφοῦ αὐτοῦ. ἔλεγε 4
γὰρ **αὐτῷ ὁ Ἰωάννης**[19], [y]"Οὐκ ἔξεστί σοι ἔχειν αὐτήν."

[a] Vid. ver. 39. [b] cap. 25. 32. Cf. ver. 41. [c] Vid. ver. 42. [d] cap. 23. 34. [e] Vid. cap. 28. 19. [f] Cant. 7. 13. [g] ver. 54—58, Marc. 6. 1—6. [h] Cf. Luc. 4. 16, 23. [i] Vid. cap. 4. 23. [k] Vid. cap. 7. 28. [l] Cf. Luc. 4. 22. Joan. 6. 42. [m] Vid. cap. 12. 46. [n] Vid. ver. 21. [o] Luc. 4. 24. Joan. 4. 44. Cf. Jer. 11. 21; 12. 6. [p] Cf. cap. 17. 20. [q] ver. 1—12, Marc. 6. 14—29. ver. 1, 2, Luc. 9. 7—9. [r] Luc. 3. 1, 19. Act. 13. 1. [s] cap. 16. 14. [t] 1 Cor. 12. 6, 11. Gal. 2. 8; 3. 5. Eph. 1. 11, 20; 2. 2. Phil. 2. 13. [u] Cf. cap. 4. 12; 11. 2. Joan. 3. 24. [x] Luc. 3. 1. [y] Lev. 18. 16; 20. 21.

[1] —Λέγει αὐτοῖς ὁ Ἰησοῦς LTTrWHR. [2] —κύριε LTTrWHR. [3] λέγει LWH *marg.* [4] —εἰς TTrWHR, *at* ἐν L. [5] τῇ βασιλείᾳ LTTrWHR. [6] ἐκπλήσσεσθαι LTTrWH. [7] οὐχ LTTrWH. [8] Ἰωσὴφ LTTrWHR. [9] +ἰδίᾳ T.WH *marg.* [10] —αὐτοῦ LTTrWH. [11] Ἡρῴδης WH. [12] τετραάρχης TWH. [13] Ἰωάνης WH. [14] Ἰωάνην WH. [15] —αὐτὸν TWHR. [16] ἐν τῇ (—τῇ TWH) φυλακῇ ἀπέθετο LTTrWH. [17] Ἡρῳδιάδα WH. [18] [Φιλίππου] T. [19] ὁ (—ὁ T) Ἰωάννης (Ἰωάνης WH) αὐτῷ LTWH.

5 Καὶ θέλων αὐτὸν ἀποκτεῖναι, [a]ἐφοβήθη τὸν ὄχλον,
ρμε 6 ὅτι ὡς [b]προφήτην αὐτὸν εἶχον. **γενεσίων δὲ ἀγομένων**[1]
ς τοῦ Ἡρώδου[2], ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος[3]
7 ἐν τῷ μέσῳ, καὶ ἤρεσε τῷ Ἡρώδῃ[4]· ὅθεν **μεθ'**[5] ὅρκου
8 ὡμολόγησεν αὐτῇ δοῦναι ὃ **ἐὰν**[6] αἰτήσηται. Ἡ δὲ
[c]προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς, "Δός μοι,"
φησίν, "ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν **Ἰωάννου**[7] τοῦ
9 Βαπτιστοῦ." Καὶ **ἐλυπήθη**[8] ὁ βασιλεύς, διὰ **δὲ**[9] τοὺς
ὅρκους καὶ τοὺς συνανακειμένους ἐκέλευσε δοθῆναι·
10 καὶ πέμψας ἀπεκεφάλισε **τὸν**[10] **Ἰωάννην**[11] ἐν τῇ φυ-
11 λακῇ. καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι, καὶ
12 ἐδόθη τῷ κορασίῳ· καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς. καὶ
προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἦραν τὸ **σῶμα**[12], καὶ
ἔθαψαν **αὐτό**[13]· καὶ ἐλθόντες ἀπήγγειλαν τῷ Ἰησοῦ.
ρμς 13 [d]**καὶ ἀκούσας**[14] ὁ Ἰησοῦς ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ
γ εἰς ἔρημον τόπον κατ' ἰδίαν. καὶ ἀκούσαντες οἱ ὄχλοι
14 ἠκολούθησαν αὐτῷ **πεζῇ**[15] ἀπὸ τῶν πόλεων. καὶ
ἐξελθὼν **ὁ Ἰησοῦς**[16] [e]εἶδε πολὺν ὄχλον, καὶ [e]ἐ-
σπλαγχνίσθη ἐπ' **αὐτούς**[17], καὶ ἐθεράπευσε τοὺς
ἀρρώστους αὐτῶν.
Κς. 15 Ὀψίας δὲ γενομένης, **προσῆλθον**[18] αὐτῷ οἱ μαθηταὶ
ρμζ **αὐτοῦ**[19], λέγοντες, "Ἔρημός ἐστιν ὁ τόπος, καὶ ἡ
α ὥρα **ἤδη παρῆλθεν**[20]· ἀπόλυσον[21] τοὺς ὄχλους, ἵνα
ἀπελθόντες εἰς τὰς κώμας ἀγοράσωσιν ἑαυτοῖς βρώ-
16 ματα." Ὁ δὲ **Ἰησοῦς**[22] εἶπεν αὐτοῖς, "Οὐ χρείαν
17 ἔχουσιν ἀπελθεῖν· [f]δότε αὐτοῖς ὑμεῖς φαγεῖν." Οἱ
δὲ λέγουσιν αὐτῷ, "Οὐκ ἔχομεν ὧδε εἰ μὴ [g]πέντε
18 ἄρτους καὶ δύο ἰχθύας." Ὁ δὲ εἶπε, "Φέρετέ μοι
19 **αὐτοὺς ὧδε**[23]." Καὶ **κελεύσας**[24] τοὺς ὄχλους ἀνακλιθῆ-
ναι ἐπὶ **τοὺς χόρτους**[25], **καὶ**[26] λαβὼν τοὺς πέντε ἄρτους
καὶ τοὺς δύο ἰχθύας, [h]ἀναβλέψας εἰς τὸν οὐρανόν, [i]**εὐλό-
γησε**[27]· καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς τοὺς ἄρτους,

[a] cap. 21. 26. Luc. 20. 6. Cf. cap. 21. 46.
[b] Vid. cap. 11. 9.
[c] Act. 19. 33 (var. lect.).
[d] ver. 13—21, Marc. 6. 32—44. Luc. 9. 10—17. Joan. 6. 1—13. Cf. cap. 15. 32—38.
[e] cap. 9. 36.
[f] 2 Reg. 4. 42—44.
[g] cap. 16. 9.
[h] Marc. 7. 34. Joan. 17. 1.
[i] 1 Sam. 9. 13. cap. 26. 26. Marc. 8. 7. Luc. 24. 30. Cf. cap. 15. 36. 1 Cor. 14. 16.

[1] *γενεσίοις δὲ γενομένοις* LTTrWHR. [2] Ἡρῴδου WH. [3] Ἡρῳδιάδος WH. [4] Ἡρῴδῃ WH. [5] *μετὰ* WH. [6] ἂν LTr. [7] Ἰωάνου WH. [8] λυπηθεὶς LTTrWH. [9] —δὲ LTTrWH. [10] —τὸν LTTrWH. [11] Ἰωάνην WH. [12] *πτῶμα* LTTrWHR. [13] αὐτόν L *marg.* TTrWHR. [14] ἀκούσας δὲ LTTrWHR. [15] πεζοὶ L *marg.* TWH *marg.* [16] —ὁ Ἰησοῦς LTTrWHR. [17] αὐτοῖς LTTr (αὐτοὺς S) WH. [18] *προσῆλθαν* LTrWH. [19] —αὐτοῦ LTTrWHR. [20] *παρῆλθεν ἤδη* TWH *marg.* [21] +οὖν TWH *marg.* [22] —Ἰησοῦς T. [23] ὧδε αὐτούς LTTr ([ὧδε] Tr *marg.*) WH. [24] ἐκέλευσεν WH *marg.* [25] τοῦ χόρτου LTTrWH. [26] —καὶ LTTrWH (*non marg.*). [27] ηὐλόγησεν LTr.

οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. καὶ ἔφαγον πάντες, καὶ 20
ἐχορτάσθησαν· καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμά-
των, δώδεκα [a]κοφίνους πλήρεις. οἱ δὲ ἐσθίοντες ἦσαν 21
ἄνδρες ὡσεὶ πεντακισχίλιοι, χωρὶς γυναικῶν καὶ παι-
δίων[1]. [b]Καὶ εὐθέως[2] ἠνάγκασεν ὁ Ἰησοῦς[3] τοὺς μαθη- 22 ΚΖ'.
τὰς αὐτοῦ[4] ἐμβῆναι εἰς τὸ[5] πλοῖον, καὶ προάγειν ρμη
αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους. καὶ 23 ϛ ρμθ
ἀπολύσας τοὺς ὄχλους, [c]ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν β
προσεύξασθαι. Ὀψίας δὲ γενομένης, μόνος ἦν ἐκεῖ. ρν
τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης ἦν[6], βασανιζό- 24 δ
μενον ὑπὸ τῶν κυμάτων· ἦν γὰρ ἐναντίος ὁ ἄνεμος.
[d]Τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἀπῆλθε[7] πρὸς αὐτοὺς 25
ὁ Ἰησοῦς[8], περιπατῶν ἐπὶ τῆς θαλάσσης[9]. καὶ ἰδόντες 26
αὐτὸν οἱ μαθηταὶ[10] ἐπὶ τὴν θάλασσαν[11] περιπατοῦντα
[e]ἐταράχθησαν, λέγοντες, "Ὅτι φάντασμά ἐστι."
καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. εὐθέως[12] δὲ ἐλάλησεν 27
αὐτοῖς ὁ Ἰησοῦς[13], λέγων, [f]"Θαρσεῖτε· ἐγώ εἰμι, [g]μὴ
φοβεῖσθε." Ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος εἶπε[14], 28 ρνα
"Κύριε, εἰ σὺ εἶ, κέλευσόν με πρός σε ἐλθεῖν[15] ἐπὶ τὰ ι
ὕδατα." Ὁ δὲ εἶπεν, "Ἐλθέ." [h]Καὶ καταβὰς ἀπὸ 29
τοῦ πλοίου ὁ[16] Πέτρος περιεπάτησεν ἐπὶ τὰ ὕδατα,
ἐλθεῖν[17] πρὸς τὸν Ἰησοῦν. βλέπων δὲ τὸν ἄνεμον 30
ἰσχυρὸν[18] ἐφοβήθη· καὶ ἀρξάμενος καταποντίζεσθαι
ἔκραξε, λέγων, "Κύριε, σῶσόν με." Εὐθέως δὲ ὁ 31
Ἰησοῦς ἐκτείνας τὴν χεῖρα ἐπελάβετο αὐτοῦ, καὶ
λέγει αὐτῷ, [i]"Ὀλιγόπιστε, εἰς τί ἐδίστασας;" Καὶ 32 ρνβ
ἐμβάντων[19] αὐτῶν εἰς τὸ πλοῖον, ἐκόπασεν ὁ ἄνεμος· ϛ
οἱ δὲ ἐν τῷ πλοίῳ ἐλθόντες[20] [k]προσεκύνησαν αὐτῷ, 33
λέγοντες, "Ἀληθῶς [l]Θεοῦ υἱὸς εἶ."
[m]Καὶ διαπεράσαντες ἦλθον[21] εἰς[22] τὴν γῆν[23] [n]Γεννη- 34
σαρέτ[24]. καὶ ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου 35 ρνγ β

[a] cap. 16. 9. Marc. 6. 43; 8. 19. Luc. 9. 17. Joan. 6. 13.
[b] ver. 22—33, Marc. 6. 45—51. Joan. 6. 15—21.
[c] Luc. 6. 12; 9. 28.
[d] Cf. Marc. 13. 35.
[e] Cf. Luc. 24. 37.
[f] Vid. cap. 9. 2.
[g] cap. 17. 7.
[h] Cf. Joan. 21. 7.
[i] Vid. cap. 6. 30.
[k] Cf. cap. 8. 2.
[l] Ps. 2. 7. cap. 4. 3, 6; 8. 29; 26. 63. Marc. 1. 1. Luc. 1. 35. Joan. 1. 34; 5. 25; 6. 69; 9. 35; 10. 36; 20. 31. Act. 9. 20. Rom. 1. 4. 2 Cor. 1. 19. 1 Joan. 4. 15: 5. 5. Cf. cap. 16. 16; 26. 63.
[m] ver. 34—36, Marc. 6. 53—56. Cf. Joan. 6. 24, 25.
[n] Cf. Luc. 5. 1.

[1] παιδίων καὶ γυναικῶν L. [2] —εὐθέως T[WH]. [3] —ὁ Ἰησοῦς LTTrWHR. [4] —αὐτοῦ TTrWHR. [5] —τὸ Tr. WH (*non marg.*). [6] σταδίους πολλοὺς ἀπὸ τῆς γῆς ἀπεῖχεν Tr (*non marg.*) R (*marg.*). —μέσον τῆς θαλάσσης ἦν WH (*non marg.*). [7] ἦλθεν LTTrWHR. [8] —ὁ Ἰησοῦς LTTrWHR. [9] τὴν θάλασσαν LTTrWHR. [10] οἱ δὲ μαθηταὶ ἰδόντες αὐτὸν LWH, ἰδόντες δὲ αὐτὸν (—οἱ μαθηταὶ) T. [11] τῆς θαλάσσης LTTrWHR. [12] εὐθὺς LTTrWH. [13] ὁ Ἰησοῦς αὐτοῖς L, —ὁ Ἰησοῦς T[Tr *marg.*]. [ὁ Ἰησοῦς] αὐτοῖς WH. [14] ὁ Πέτρος εἶπεν αὐτῷ LWH. [15] ἐλθεῖν πρός σε LTTrWH. [16] —ὁ LTTrWH. [17] καὶ ἦλθεν TTr *marg.* WH (*non marg.*) R *marg.* [18] —ἰσχυρὸν TWHR (*text.*, *non marg.*). [19] ἀναβάντων LTTrWHR. [20] —ἐλθόντες T[Tr *marg.*]WHR. [21] ἦλθαν WH. [22] ἐπὶ TTrWHR. [23] +εἰς TTrWHR. [24] γεννησαρέθ L.

ἐκείνου ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην,
καὶ προσήνεγκαν αὐτῷ [a] πάντας τοὺς κακῶς ἔχοντας·
36 καὶ παρεκάλουν αὐτόν[1], ἵνα μόνον [b] ἅψωνται τοῦ κρασ-
πέδου τοῦ ἱματίου αὐτοῦ· καὶ [c] ὅσοι ἥψαντο, διεσώ-
θησαν.
ΚΗ'. 15 [d] ΤΟΤΕ προσέρχονται τῷ Ἰησοῦ οἱ[2] ἀπὸ Ἱεροσολύ-
ρνδ/ς 2 μων γραμματεῖς καὶ Φαρισαῖοι[3], λέγοντες, "Διατί[4] οἱ
μαθηταί σου παραβαίνουσι [e] τὴν παράδοσιν τῶν πρεσ-
βυτέρων; [f] οὐ γὰρ νίπτονται τὰς χεῖρας αὐτῶν[5], ὅταν
3 ἄρτον ἐσθίωσιν." Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς,
"Διατί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ
4 διὰ τὴν παράδοσιν ὑμῶν; Ὁ γὰρ Θεὸς ἐνετείλατο, λέ-
γων[6], [g] 'Τίμα τὸν πατέρα σοῦ[7], καὶ τὴν μητέρα·' καί,
[h] 'Ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω·'
5 ὑμεῖς δὲ λέγετε, Ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρί,
Δῶρον, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, καὶ[8] οὐ μὴ [i] τιμήσῃ[9]
6 τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα αὐτοῦ[10]· καὶ [k] ἠκυρώσατε
τὴν ἐντολὴν[11] τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν.
7 Ὑποκριταί, καλῶς προεφήτευσε[12] περὶ ὑμῶν Ἡσαΐας[13],
8 λέγων, [l] 'Ἐγγίζει μοι[14] ὁ λαὸς οὗτος τῷ στόματι αὐτῶν,
καὶ[14] τοῖς χείλεσί με τιμᾷ· ἡ δὲ καρδία αὐτῶν πόρρω
9 ἀπέχει ἀπ' ἐμοῦ. μάτην δὲ σέβονταί με, διδάσκοντες
10 διδασκαλίας, [m] ἐντάλματα ἀνθρώπων.'" Καὶ προσ-
καλεσάμενος τὸν ὄχλον, εἶπεν αὐτοῖς, "Ἀκούετε καὶ
11 συνίετε. [n] οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ
τὸν ἄνθρωπον· ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στό-
ρνε/ι 12 ματος, τοῦτο κοινοῖ τὸν ἄνθρωπον." Τότε προσελ-
θόντες οἱ μαθηταὶ αὐτοῦ[15] εἶπον[16] αὐτῷ, "Οἶδας ὅτι
οἱ Φαρισαῖοι ἀκούσαντες τὸν λόγον ἐσκανδαλίσθη-
13 σαν;" Ὁ δὲ ἀποκριθεὶς εἶπε, "Πᾶσα [o] φυτεία, ἣν οὐκ
ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος, [p] ἐκριζωθήσεται.

[a] cap. 4. 24.
[b] cap. 9. 20.
[c] Cf. Marc. 3. 10. Luc. 6. 19. Act. 5. 15.
[d] ver. 1—20, Marc. 7. 1—23.
[e] Gal. 1. 14. Col. 2. 8.
[f] Luc. 11. 38.
[g] Ex. 20. 12. Deut. 5. 16. cap. 19. 19. Eph. 6. 2.
[h] Ex. 21. 17. Lev. 20. 9. Prov. 20. 20.
[i] 1 Tim. 5. 4.
[k] Gal. 3. 17.
[l] Esa. 29. 13.
[m] Col. 2. 22.
[n] Cf. Act. 10. 14, 15.
[o] Cf. Esa. 60. 21; 61. 3. Joan. 15. 2.
[p] Jude 12.

[1] [αὐτὸν] WH. [2] —οἱ LTTrWHR. [3] Φαρισαῖοι καὶ γραμματεῖς TTrWHR. [4] Διὰ τί WH. [5] —αὐτῶν T[Tr]WHR. [6] εἶπεν LTrWHR. [7] —σοῦ LTTrWHR. [8] —καὶ LTTrWHR. [9] τιμήσει LTTrWHR. [10] —ἢ τὴν μητέρα αὐτοῦ L[Tr *marg.*] WH.R (*text., non marg.*). [11] τὸν λόγον LTrWHR *text.*, τὸν νόμον TWHR *marg.* [12] ἐπροφήτευσεν LTTrWH. [13] Ἡσαΐας L, Ἠσαίας WH. [14] —Ἐγγίζει μοι *et* τῷ στόματι αὐτῶν καὶ LTTrWHR. [15] —αὐτοῦ LT[Tr *marg.*]WHR. [16] λέγουσιν LTTrWH.

[a] cap. 23. 16, 24. Cf. Esa. 56. 10.
[b] Luc. 6. 39.
[c] Cf. cap. 13. 36.
[d] cap. 16. 9.
[e] Rom. 1. 21, 31; 10. 19.
[f] Cf. 1 Cor. 6. 13.
[g] cap. 12. 34. Jac. 3. 6.
[h] Gen. 6. 5; 8. 21.
[i] Jac. 2. 4. Cf. Ps. 56. 5.
[k] 1 Cor. 6. 9, 18.
[l] Eph. 4. 31.
[m] Marc. 7. 2, 5.
[n] ver. 21—28, Marc. 7. 24—30.
[o] Vid. cap. 11. 21.
[p] Cf. Marc. 7. 26.
[q] Vid. cap. 9. 27.
[r] Vid. cap. 4. 24.
[s] Luc. 2. 29.
[t] cap. 10. 6. Cf. Act. 13. 46. Rom. 15. 8.
[u] Vid. cap. 8. 2.
[x] Cf. cap. 7. 6.
[y] Vid. cap. 8. 10.
[z] cap. 9. 22.
[a] ver. 29—31, cf. Marc. 7. 31—37.
[b] cap. 4. 18. Joan. 6. 1.

ἄφετε αὐτούς· [a] **ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν**[1]· [b] τυφλὸς δὲ 14 ρνϛ
τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦν- ε
ται." Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ, [c] "Φράσον 15 ρνζ
ἡμῖν τὴν παραβολὴν **ταύτην**[2]." Ὁ δὲ **Ἰησοῦς**[3] εἶ- 16 ϛ
πεν, [d] "Ἀκμὴν καὶ ὑμεῖς [e] ἀσύνετοί ἐστε; **οὔπω**[4] νο- 17
εῖτε, [f] ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ στόμα εἰς τὴν
κοιλίαν χωρεῖ, καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται; [g] τὰ δὲ 18
ἐκπορευόμενα ἐκ τοῦ στόματος ἐκ τῆς καρδίας ἐξ-
έρχεται, κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον. [h] ἐκ γὰρ τῆς 19
καρδίας ἐξέρχονται [i] διαλογισμοὶ πονηροί, φόνοι, μοι-
χεῖαι, [k] πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι, [l] βλασφημί-
αι. ταῦτά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον· [m] τὸ δὲ 20
ἀνίπτοις χερσὶ φαγεῖν οὐ κοινοῖ τὸν ἄνθρωπον."
[n] Καὶ ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς ἀνεχώρησεν εἰς τὰ 21 ΚΘ´.
μέρη [o] Τύρου καὶ Σιδῶνος. καὶ ἰδού, [p] γυνὴ Χαναναία 22
ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα **ἐκραύγασεν**[5] **αὐτῷ**[6],
λέγουσα, "Ἐλέησόν με, κύριε, [q] **υἱὲ Δαβίδ**[7]· ἡ θυγάτηρ
μου κακῶς [r] δαιμονίζεται." Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ 23
λόγον. καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ **ἠρώτων**[8]
αὐτόν, λέγοντες, [s] "Ἀπόλυσον αὐτήν, ὅτι κράζει
ὄπισθεν ἡμῶν." Ὁ δὲ ἀποκριθεὶς εἶπεν, [t] "Οὐκ 24 ρνη
ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα ε
οἴκου Ἰσραήλ." Ἡ δὲ ἐλθοῦσα [u] **προσεκύνει**[9] αὐτῷ, 25 ρνθ
λέγουσα, "Κύριε, βοήθει μοι." Ὁ δὲ ἀποκριθεὶς 26 ϛ
εἶπεν, "Οὐκ **ἔστι καλὸν**[10] λαβεῖν τὸν ἄρτον τῶν
τέκνων, καὶ [x] βαλεῖν τοῖς κυναρίοις." Ἡ δὲ εἶπε[11], 27
"Ναί, κύριε· καὶ **γὰρ**[12] τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν
ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων
αὐτῶν." Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ, "Ὦ 28
γύναι, [y] μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέ-
λεις." Καὶ [z] ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας
ἐκείνης.
[a] Καὶ μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς ἦλθε παρὰ [b] τὴν θά- 29 Λ´.

[1] *τυφλοί εἰσιν ὁδηγοὶ* LTrWH *non marg.* (*etiam* [*τυφλῶν*] Tr *marg.* WH *marg.*, —*τυφλῶν* R). [2] —*ταύτην* LTTrWHR. [3] —*Ἰησοῦς* LTTrWHR. [4] *οὐ* LTTrWHR. [5] *ἔκραζεν* LTrWH *at* *ἔκραξεν* L *marg.* TWH *marg.* [6] —*αὐτῷ* LTTrWHR. [7] *υἱὸς Δαυείδ* LTTrWH (*υἱὲ* WH *marg.*). [8] *ἠρώτουν* LTTrWH. [9] *προσεκύνησεν* L *marg.* Tr *marg.* [10] *ἔξεστιν* LT. [11] *εἶπεν* E. [12] [*γὰρ*] WH.

λασσαν τῆς Γαλιλαίας· καὶ ἀναβὰς εἰς τὸ ὄρος, ἐκά-
30 θητο ἐκεῖ. καὶ προσῆλθον αὐτῷ ὄχλοι πολλοί, ἔχον-
τες μεθ' ἑαυτῶν [a] χωλούς, [a] **τυφλούς**, [a] **κωφούς**, [b] **κυλλούς**[1],
καὶ ἑτέρους πολλούς, καὶ **ἔρριψαν**[2] αὐτοὺς παρὰ τοὺς
31 πόδας **τοῦ** Ἰησοῦ[3] καὶ ἐθεράπευσεν αὐτούς· ὥστε **τοὺς**
ὄχλους[4] θαυμάσαι, βλέποντας [a] κωφοὺς **λαλοῦντας**[5],
[b] **κυλλοὺς ὑγιεῖς**[6],[7] [a] χωλοὺς περιπατοῦντας, καὶ [a] τυφλοὺς
ΛΑ'. 32 βλέποντας· καὶ [c] **ἐδόξασαν**[8] [d] τὸν Θεὸν Ἰσραήλ. [e] Ὁ δὲ
ρξ/ς Ἰησοῦς προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ εἶπε,
"Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι **ἤδη**[9] **ἡμέρας**[10]
τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι.
καὶ ἀπολῦσαι αὐτοὺς νήστεις οὐ θέλω, μήποτε ἐκ-
33 λυθῶσιν ἐν τῇ ὁδῷ." Καὶ λέγουσιν αὐτῷ οἱ μαθηταὶ
αὐτοῦ[11], "Πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι,
34 ὥστε χορτάσαι ὄχλον τοσοῦτον;" Καὶ λέγει αὐτοῖς
ὁ Ἰησοῦς, "Πόσους ἄρτους ἔχετε;" Οἱ δὲ εἶπον,
35 "Ἑπτά, καὶ ὀλίγα ἰχθύδια." Καὶ **ἐκέλευσε τοῖς**
36 **ὄχλοις**[12] ἀναπεσεῖν ἐπὶ τὴν γῆν· **καὶ λαβὼν**[13] τοὺς
ἑπτὰ ἄρτους καὶ τοὺς ἰχθύας,[14] [f] εὐχαριστήσας ἔκλασε,
καὶ **ἔδωκε**[15] τοῖς μαθηταῖς **αὐτοῦ**[16], οἱ δὲ μαθηταὶ **τῷ**
37 **ὄχλῳ**[17]. Καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν·
καὶ **ἦραν**[18] τὸ περισσεῦον τῶν κλασμάτων, ἑπτὰ
38 [g] **σπυρίδας**[19] πλήρεις. οἱ δὲ ἐσθίοντες ἦσαν[20] τετρα-
κισχίλιοι ἄνδρες, χωρὶς **γυναικῶν καὶ παιδίων**[21].
39 Καὶ ἀπολύσας τοὺς ὄχλους **ἐνέβη**[22] εἰς τὸ πλοῖον,
ρξα/δ 16 καὶ ἦλθεν εἰς τὰ ὅρια [h] **Μαγδαλά**[23]. [i] Καὶ προσελθόν-
τες **οἱ**[24] Φαρισαῖοι καὶ Σαδδουκαῖοι πειράζοντες **ἐπηρώ-
τησαν**[25] αὐτὸν [k] σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς.
ρξβ/ε 2 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, [26] [l] "**Ὀψίας γενομένης**
3 **λέγετε, Εὐδία· πυρράζει γὰρ ὁ οὐρανός. καὶ πρωΐ,
Σήμερον χειμών· πυρράζει γὰρ** [m] **στυγνάζων ὁ οὐρανός.**

[a] cap. 11. 5. Cf. Esa. 35. 5.
[b] ver. 31. cap. 18. 8. Marc. 9. 43.
[c] Vid. cap. 9. 8.
[d] Esa. 29. 23. Luc. 1. 68. Act. 13. 17.
[e] ver. 32—39, Marc. 8. 1—10. Cf. cap. 14. 13—21.
[f] cap. 26. 27. Luc. 22. 17, 19. Joan. 6. 11, 23. Act. 27. 35. Rom. 14. 6. 1 Cor. 10. 30; 11. 24. 1 Tim. 4. 3, 4. Vid. cap. 14. 19.
[g] Vid. cap. 16. 10.
[h] Josh. 19. 38. Cf. Marc. 8. 10.
[i] ver. 1—12, Marc. 8. 11—21.
[k] Vid. cap. 12. 38.
[l] Cf. Luc. 12. 54, 55.
[m] Marc. 10. 22.

[1] *κυλλούς, τυφλούς, κωφούς,* WH. [2] ἔριψαν TWH. [3] αὐτοῦ LTTrWHR. [4] τὸν ὄχλον TWH (*non marg.*) R. [5] ἀκούοντας WH *marg.* [6] —κυλλοὺς ὑγιεῖς [Tr *marg.*] WH (*non marg.*). [7] +καὶ LTTr (*etiam* [κυλλοὺς ὑγιεῖς] Tr *marg.*) WHR. [8] ἐδόξαζον TWH *marg.* [9] [ἤδη] WH. [10] ἡμέραι LTTrWHR. [11] —αὐτοῦ T[LTr]WHR. [12] παραγγείλας τῷ ὄχλῳ (τοῖς ὄχλοις L *marg.*) LTTrWHR. [13] ἔλαβεν LTTrWHR. [14] +καὶ LTWHR. [15] ἐδίδου TTr (*non marg.*) WHR. [16] —αὐτοῦ T[LTr]WHR. [17] τοῖς ὄχλοις TTrWHR. [18] ἦραν *post* κλασμάτων *ponunt* LTTrWH. [19] σφυρίδας WH. [20] +ὡς WH *marg.* [21] παιδίων καὶ γυναικῶν TWH (*marg.*). [22] ἀνέβη Tr (*non marg.*). [23] Μαγαδάν LTTrWHR. [24] [οἱ] WH. [25] ἐπηρώτων TWH *marg.* [26] *Ab* ὀψίας *usque ad fin. ver.* 3 *uncinis includit* T, *abrogat* WH, *omittit* R *marg.*

[a] Luc. 12. 56. [b] cap. 12. 39. [c] Jonah 1. 17. [d] ver. 11. Luc. 12. 1. [e] 1 Cor. 5. 6, 7, 8. Gal. 5. 9. [f] Vid. cap. 6. 30. [g] cap. 15. 16. [h] cap. 14. 17. [i] Vid. cap. 14. 20. [k] cap. 15. 34. [l] cap. 15. 37. Marc. 8. 8, 20. Act. 9. 25. [m] ver. 13—16, Marc. 8. 27—29. Luc. 9. 18—20. [n] cap. 14. 2. Marc. 6. 14. Luc. 9. 7. [o] Marc. 6. 15. Luc. 9. 8. [p] ver. 20. Joan. 11. 27. [q] Vid. cap. 14. 33. [r] Ps. 42. 2. cap. 26. 63. Act. 14. 15. Rom. 9. 26. 2 Cor. 3. 3; 6. 16. 1 Thess. 1. 9. 1 Tim. 3. 15; 4. 10. Heb. 3. 12; 9. 14; 10. 31; 12. 22. Rev. 7. 2. [s] Cf. cap. 13. 16. [t] Joan. 1. 43; 21. 15—17. [u] 1 Cor. 15. 50. Gal. 1. 16. Eph. 6. 12. Heb. 2. 14. [x] 1 Cor. 2. 10. [y] 1 Cor. 12. 3.

ὑποκριταί[1], [a]τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε
διακρίνειν, τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε;[2]
[b]γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ· καὶ 4 ρξγ/ς
σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον [c]Ἰωνᾶ
τοῦ προφήτου[3]." Καὶ καταλιπὼν αὐτούς, ἀπῆλθε.

Καὶ ἐλθόντες οἱ μαθηταὶ **αὐτοῦ**[4] εἰς τὸ πέραν 5 ΛΒ'.
ἐπελάθοντο **ἄρτους λαβεῖν**[5]. ὁ δὲ Ἰησοῦς εἶπεν αὐ- 6 ρξδ/β
τοῖς, "Ὁρᾶτε καὶ [d]προσέχετε ἀπὸ [e]τῆς ζύμης τῶν
Φαρισαίων καὶ Σαδδουκαίων." Οἱ δὲ διελογίζοντο 7 ρξε/ς
ἐν ἑαυτοῖς, λέγοντες, "Ὅτι ἄρτους οὐκ ἐλάβομεν."
Γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν **αὐτοῖς**[6], "Τί διαλογίζεσθε 8
ἐν ἑαυτοῖς, [f]ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ **ἐλάβετε**[7];
[g]οὔπω νοεῖτε, οὐδὲ μνημονεύετε [h]τοὺς πέντε ἄρτους 9
τῶν πεντακισχιλίων, καὶ πόσους [i]κοφίνους ἐλάβετε;
οὐδὲ [k]τοὺς ἑπτὰ ἄρτους τῶν τετρακισχιλίων, καὶ πό- 10
σας [l]**σπυρίδας**[8] ἐλάβετε; πῶς οὐ νοεῖτε, ὅτι οὐ περὶ 11
ἄρτου[9] εἶπον ὑμῖν [d]**προσέχειν**[10] ἀπὸ τῆς ζύμης τῶν
Φαρισαίων καὶ Σαδδουκαίων;" Τότε συνῆκαν, ὅτι 12
οὐκ εἶπε προσέχειν ἀπὸ τῆς ζύμης **τοῦ ἄρτου**[11], **ἀλλ'**[12]
ἀπὸ τῆς διδαχῆς τῶν Φαρισαίων καὶ Σαδδουκαίων.

[m]Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη **Καισαρείας**[13] τῆς 13 ΛΓ'.
Φιλίππου ἠρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων, "Τίνα ρξϛ/α
με[14] λέγουσιν οἱ ἄνθρωποι εἶναι, τὸν υἱὸν τοῦ ἀνθρώ-
που;" Οἱ δὲ **εἶπον**[15], [n]"Οἱ μὲν **Ἰωάννην**[16] τὸν Βαπ- 14
τιστήν· [o]**ἄλλοι**[17] δὲ **Ἡλίαν**[18]· ἕτεροι δὲ Ἱερεμίαν, [o]ἢ
ἕνα τῶν προφητῶν." Λέγει αὐτοῖς[19], "Ὑμεῖς δὲ 15
τίνα με λέγετε εἶναι;" Ἀποκριθεὶς δὲ Σίμων Πέτρος 16
εἶπε, "Σὺ εἶ [p]ὁ Χριστός, [q]ὁ υἱὸς [r]τοῦ Θεοῦ τοῦ ζῶντος."
Καὶ ἀποκριθεὶς[20] ὁ Ἰησοῦς εἶπεν αὐτῷ, [s]"Μακάριος εἶ, 17 ρξζ/ι
[t]Σίμων **Βὰρ Ἰωνᾶ**[21], ὅτι [u]σὰρξ καὶ αἷμα [x]οὐκ ἀπεκάλυψέ
σοι, [y]ἀλλ' ὁ πατήρ μου ὁ ἐν **τοῖς**[22] οὐρανοῖς. Κἀγὼ 18

[1] —ὑποκριταί LTTrWHR. +καὶ L. [2] . *pro* ; WHR. [3] —τοῦ προφήτου LTTrWHR. [4] —αὐτοῦ LTTrWHR. [5] λαβεῖν ἄρτους WH *marg.* [6] —αὐτοῖς LTTrWHR. [7] ἔχετε LWHR. [8] σφυρίδας LWH. [9] ἄρτων LTTrWHR. [10] ; προσέχετε δὲ LTTrWHR. [11] τῶν ἄρτων LTrR, [τῶν ἄρτων] WH, *at* τῶν Φαρισαίων καὶ Σαδδουκαίων T. [12] ἀλλὰ TTrWH. [13] Καισαρίας T *secundis curis*, WH. [14] —με TTr[LTr *marg.*]WH.R (*non marg.*). [15] εἶπαν LTTrWH. [16] Ἰωάνην WH. [17] οἱ L. [18] Ἠλίαν SE *passim*, Ἡλείαν T, Ἠλείαν WH. [19] +[ὁ Ἰησοῦς] L. [20] ἀποκριθεὶς δὲ LTTrWHR. [21] Βαριωνᾶ LTWH. [22] —τοῖς L[Tr WH].

δέ σοι λέγω, ὅτι σὺ εἶ [a] Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ
πέτρᾳ [b] οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ [c] πύλαι
19 ᾅδου οὐ κατισχύσουσιν αὐτῆς, καὶ[1] δώσω σοὶ [d] τὰς
κλεῖς[2] τῆς βασιλείας τῶν οὐρανῶν· καὶ [e] ὃ ἐὰν[3] δήσῃς
ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον[4] ἐν τοῖς οὐρανοῖς· καὶ ὃ
ἐὰν[5] λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐ-
ρξη β 20 ρανοῖς." [f] Τότε διεστείλατο[6] τοῖς μαθηταῖς αὐτοῦ[7]
ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν Ἰησοῦς[8] [g] ὁ
Χριστός.
21 Ἀπὸ τότε [h] ἤρξατο ὁ[9] Ἰησοῦς[10] δεικνύειν τοῖς μαθη-
ταῖς αὐτοῦ, ὅτι δεῖ αὐτὸν [i] ἀπελθεῖν εἰς Ἱεροσόλυμα[11],
καὶ [k] πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέ-
ων καὶ γραμματέων, καὶ [k] ἀποκτανθῆναι, καὶ [l] τῇ τρίτῃ
ρξθ ς 22 ἡμέρᾳ ἐγερθῆναι. καὶ προσλαβόμενος αὐτὸν ὁ Πέ-
τρος ἤρξατο ἐπιτιμᾶν αὐτῷ λέγων[12], "Ἵλεώς σοι, κύριε·
23 οὐ μὴ ἔσται σοι τοῦτο." Ὁ δὲ στραφεὶς εἶπε τῷ
Πέτρῳ, [m] "Ὕπαγε ὀπίσω μου, Σατανᾶ, [n] σκάνδαλόν μου
εἶ[13]· ὅτι οὐ [o] φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώ-
ρο β 24 πων." Τότε ὁ[14] Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ,
"Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω
ἑαυτόν, καὶ [p] ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ [q] ἀκολου-
25 θείτω μοι. ὃς [r] γὰρ ἂν[15] θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶ-
σαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν
26 αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν· [s] τί γὰρ ὠφελεῖται[16]
ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν
αὐτοῦ ζημιωθῇ; [s] ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα
ροα ι 27 τῆς ψυχῆς αὐτοῦ; [t] μέλλει γὰρ [u] ὁ υἱὸς τοῦ ἀνθρώ-
που ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ [ux] μετὰ
τῶν ἀγγέλων αὐτοῦ· [y] καὶ τότε ἀποδώσει ἑκάστῳ
ροβ β 28 κατὰ τὴν πρᾶξιν αὐτοῦ. Ἀμὴν λέγω ὑμῖν,[17] εἰσί
τινες τῶν ὧδε ἑστηκότων[18], οἵτινες οὐ μὴ [z] γεύσωνται

[1] —καὶ TWHR. [2] κλεῖδας LTTrWH. [3] ὃ ἂν LTr, at ὅσα ἂν L marg. [4] δεδεμένα L marg. [5] ἂν Tr. [6] ἐπετίμησεν LWH marg. [7] —αὐτοῦ LTTrWHR. [8] —Ἰησοῦς LTTrWHR. [9] —ὁ L[Tr]WH. [10] +Χριστὸς WH.R marg. [11] εἰς Ἱεροσόλυμα ἀπελθεῖν LTTrWH. [12] αὐτῷ ἐπιτιμᾶν L, at λέγει αὐτῷ ἐπιτιμῶν WH marg. [13] εἶ ἐμοῦ LTTr (non marg.) WHR. [14] [ὁ] WH. [15] ἐὰν LTTrWH. [16] ὠφεληθήσεται LTTrWHR. [17] + ὅτι LTWH. [18] ἑστώτων LTTrWH.

[y] Ps. 62. 12. Rom. 2. 6; 14. 12. 2 Cor. 5. 10. Eph. 6. 8. Col. 3. 25. Rev. 2. 23; 20. 12; 22. 12. [z] Joan. 8. 52. Heb. 2. 9.

[a] Vid. cap. 10. 2.
[b] Eph. 2. 20.
[c] Esa. 38. 10.
[d] Esa. 22. 22. Rev. 1. 18; 3. 7.
[e] Cf. cap. 18. 18. Joan. 20. 23.
[f] Cf. Marc. 8. 30. Luc. 9. 21. Vid. cap. 17. 9.
[g] ver. 16.
[h] ver. 21—28, Marc. 8. 31—9. 1. Luc. 9. 22—27.
[i] cap. 20. 18.
[k] cap. 17. 12, 22, 23. Marc. 9. 12. Luc. 17. 25.
[l] cap. 20. 19; 27. 63. Cf. cap. 17. 9.
[m] cap. 4. 10.
[n] Vid. cap. 13. 41.
[o] Rom. 8. 5. Phil. 3. 19.
[p] Vid. cap. 10. 38.
[q] Joan. 8. 12; 12. 26; 21. 19.
[r] Vid. cap. 10. 39.
[s] Cf. Ps. 49. 7, 8
[t] Dan. 7. 13. cap. 19. 28; 24. 30; 26. 64. Act. 1. 11. 1 Thess. 1. 10. 2 Thess. 1. 10. Rev. 1. 7.
[u] cap. 25. 31. 1 Thess. 4. 16. 2 Thess. 1. 7.
[x] Dan. 7. 10. Zech. 14. 5. Jude 14.
1 Pet. 1. 17.

[a] Cf. cap. 10. 28; 23. 36; 24. 34.
[b] Luc. 23. 42.
[c] ver. 1—8, Marc. 9. 2—8. Luc. 9. 28—36.
[d] cap. 26. 37. Marc. 5. 37.
[e] Vid. cap. 11. 25.
[f] Cf. Marc. 9. 5. Luc. 9. 33.
[g] 2 Pet. 1. 17, 18.
[h] Vid. cap. 12. 18.
[i] Dan. 8. 18; 9. 21; 10. 10, 18.
[k] cap. 14. 27.
[l] ver. 9—13, Marc. 9. 9—13.
[m] cap. 16. 20. Vid. cap. 8. 4.
[n] Cf. cap. 16. 21.
[o] Vid. cap. 11. 14.
[p] Mal. 4. 5, 6. Luc. 1. 16, 17.
[q] Act. 3. 21. Cf. Act. 1. 6.
[r] Cf. cap. 14. 3, 10.
[s] ver. 22, 23. Vid. cap. 16. 21.

θανάτου, [a] ἕως ἂν ἴδωσι τὸν υἱὸν τοῦ ἀνθρώπου [b] ἐρχό-
μενον ἐν τῇ βασιλείᾳ αὐτοῦ."
[c] ΚΑΙ μεθ᾽ ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν 17 ΛΔ´.
[d] Πέτρον καὶ [1] [d] Ἰάκωβον καὶ [d] **Ἰωάννην** [2] τὸν ἀδελφὸν αὐ-
τοῦ, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ᾽ ἰδίαν.
καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ 2
πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγέ-
νετο λευκὰ ὡς τὸ φῶς. καὶ ἰδού, **ὤφθησαν** [3] αὐτοῖς 3
Μωσῆς [4] καὶ **Ἡλίας** [5], **μετ᾽ αὐτοῦ συλλαλοῦντες** [6]. [e] ἀπο- 4
κριθεὶς δὲ ὁ Πέτρος εἶπε τῷ Ἰησοῦ, "Κύριε, καλόν
ἐστιν ἡμᾶς ὧδε εἶναι· εἰ θέλεις, [f] **ποιήσωμεν** [7] ὧδε **τρεῖς
σκηνάς** [8], σοὶ μίαν, καὶ **Μωσῇ** [9] μίαν, καὶ **μίαν Ἡλίᾳ** [10]."
Ἔτι αὐτοῦ λαλοῦντος, ἰδού, [g] νεφέλη **φωτεινὴ** [11] ἐπεσκί- 5
ασεν αὐτούς· καὶ ἰδού, [g] φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα,
[h] "Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ **εὐδόκησα** [12]·
αὐτοῦ ἀκούετε [13]." Καὶ ἀκούσαντες οἱ μαθηταὶ **ἔπεσον** [14] 6
ἐπὶ πρόσωπον αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα. καὶ 7
προσελθὼν [15] ὁ Ἰησοῦς [i] **ἥψατο** [16] αὐτῶν, **καὶ** [17] εἶπεν,
"Ἐγέρθητε καὶ [k] μὴ φοβεῖσθε." Ἐπάραντες δὲ τοὺς 8
ὀφθαλμοὺς αὐτῶν, οὐδένα εἶδον, εἰ μὴ **τὸν** [18] Ἰησοῦν
μόνον.
[l] Καὶ καταβαινόντων αὐτῶν **ἀπὸ** [19] τοῦ ὄρους, ἐνετεί- 9
λατο αὐτοῖς ὁ Ἰησοῦς, λέγων, [m] "Μηδενὶ εἴπητε τὸ ὅρα-
μα, [n] ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν **ἀναστῇ** [20]."
Καὶ ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ **αὐτοῦ** [21], λέγοντες, 10 ρογ
"Τί οὖν οἱ γραμματεῖς λέγουσιν, ὅτι [o] **Ἠλίαν** [22] δεῖ ἐλθεῖν ς
πρῶτον;" Ὁ δὲ **Ἰησοῦς** [23] [e] ἀποκριθεὶς εἶπεν **αὐτοῖς** [24], 11
[p] "Ἠλίας [5] μὲν ἔρχεται **πρῶτον** [25], καὶ [q] ἀποκαταστήσει
πάντα· λέγω δὲ ὑμῖν, ὅτι **Ἠλίας** [5] ἤδη ἦλθε, καὶ οὐκ 12
ἐπέγνωσαν αὐτόν, **ἀλλ᾽** [26] [r] ἐποίησαν ἐν αὐτῷ ὅσα ἠθέ-
λησαν· [s] οὕτω καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσ-

[1] + τὸν WH *marg.* [2] Ἰωάνην WH. [3] ὤφθη LTTrWH. [4] Μωϋσῆς LTTrWH. [5] Ἠλ. SE, Ἡλείας T, Ἠλείας WH. [6] συλ(συν TWH)λαλοῦντες μετ᾽ αὐτοῦ LTTr (*non marg.*) WH. [7] ποιήσω LTTr *marg.* WHR. [8] σκηνὰς τρεῖς WH *marg.* [9] Μωϋσεῖ LTTrWH. [10] Ἡλίᾳ μίαν LTTr (Ἡλείᾳ T, Ἠλείᾳ WH) WHR. [11] φωτινὴ WH. [12] ηὐδόκησα LTr. [13] ἀκούετε αὐτοῦ LTTrWH. [14] ἔπεσαν LTTrWH. [15] προσῆλθεν LTTrWH. [16] καὶ ἁψάμενος LTWH, καὶ ἥψατο Tr. [17] —καὶ LTWH. [18] αὐτὸν WH (*non marg.*). [19] ἐκ LTTrWHR. [20] ἐγερθῇ LTTrWH (*non marg.*). [21] —αὐτοῦ LTTrWH. [22] Ἠλείαν T, Ἠλείαν WH. [23] —Ἰησοῦς LTTrWHR. [24] —αὐτοῖς LTTrWHR. [25] —πρῶτον LTTrWHR. [26] ἀλλὰ TrWH.

13 χειν ὑπ' αὐτῶν." Τότε συνῆκαν οἱ μαθηταί, ὅτι περὶ
Ἰωάννου[1] τοῦ Βαπτιστοῦ εἶπεν αὐτοῖς.
ΛΕ'.14 [a]Καὶ ἐλθόντων **αὐτῶν**[2] πρὸς τὸν ὄχλον, προσῆλθεν
ροδ β 15 αὐτῷ ἄνθρωπος γονυπετῶν **αὐτῷ**[3], καὶ λέγων, "Κύ-
ριε, ἐλέησόν μου τὸν υἱόν, ὅτι [b]σεληνιάζεται καὶ κακῶς
πάσχει[4]· πολλάκις γὰρ πίπτει εἰς τὸ πῦρ, καὶ πολ-
16 λάκις εἰς τὸ ὕδωρ. καὶ προσήνεγκα αὐτὸν τοῖς
μαθηταῖς σου, καὶ οὐκ ἠδυνήθησαν αὐτὸν θεραπεῦ-
17 σαι." **Ἀποκριθεὶς δὲ**[5] ὁ Ἰησοῦς εἶπεν, "Ὦ γενεὰ
ἄπιστος καὶ [c]διεστραμμένη, ἕως πότε **ἔσομαι μεθ'**
ὑμῶν[6]; ἕως πότε [d]ἀνέξομαι ὑμῶν; φέρετέ μοι αὐτὸν
18 ὧδε." Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐξῆλθεν
ἀπ' αὐτοῦ τὸ δαιμόνιον, καὶ ἐθεραπεύθη ὁ παῖς ἀπὸ
ροε ε 19 τῆς ὥρας ἐκείνης. Τότε προσελθόντες οἱ μαθηταὶ τῷ
Ἰησοῦ [e]κατ' ἰδίαν **εἶπον**[7], "Διατί[8] ἡμεῖς οὐκ ἠδυνήθη-
20 μεν ἐκβαλεῖν αὐτό;" Ὁ δὲ **Ἰησοῦς**[9] **εἶπεν**[10] αὐτοῖς,
[f]"Διὰ τὴν **ἀπιστίαν**[11] ὑμῶν. ἀμὴν γὰρ λέγω ὑμῖν,
[g]ἐὰν ἔχητε πίστιν [h]ὡς κόκκον σινάπεως, ἐρεῖτε [i]τῷ
ὄρει τούτῳ, **Μετάβηθι ἐντεῦθεν**[12] ἐκεῖ, καὶ μεταβήσε-
21 ται· καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν. [k]**τοῦτο δὲ τὸ γένος**
οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ[13]."
ρος β 22 [l]**Ἀναστρεφομένων**[14] δὲ αὐτῶν ἐν τῇ Γαλιλαίᾳ,
εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, [m]"Μέλλει ὁ υἱὸς τοῦ ἀν-
23 θρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων, καὶ ἀπο-
κτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ **ἐγερθήσεται**[15]."
Καὶ ἐλυπήθησαν σφόδρα.
ΛϚ'.24 [n]Ἐλθόντων δὲ αὐτῶν εἰς **Καπερναούμ**[16], προσῆλθον
ροζ ι οἱ [o]τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ, καὶ **εἶπον**[17],
25 "Ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ **τὰ**[18] δίδραχμα;" Λέ-
γει, "Ναί." Καὶ **ὅτε εἰσῆλθεν**[19] εἰς τὴν οἰκίαν,
προέφθασεν αὐτὸν ὁ Ἰησοῦς, λέγων, [p]"Τί σοι δοκεῖ,

[1] Ἰωάνου WH. [2] —αὐτῶν LTTrWHR. [3] αὐτόν LTTrWHR. [4] ἔχει LTr (*non marg.*) WH (*non marg.*). [5] [τότε] ἀποκριθεὶς WH *marg.* [6] μεθ' ὑμῶν ἔσομαι LTTr. [7] εἶπαν WH. [8] Διὰ τί WH. [9] —Ἰησοῦς LTTrWHR. [10] λέγει LTTrWHR. [11] ὀλιγοπιστίαν LTTrWHR. [12] Μετάβα ἔνθεν LTTrWH. [13] *Vers.* 21 *omittunt* TTr *marg.* WH.R (*text., non marg.*), *uncinis includit* Tr *text.* [14] Συστρεφομένων LTTr (*non marg.*) WH.R *marg.* [15] ἀναστήσεται LWH *marg.* [16] Καφαρναούμ LTTrWH. [17] εἶπαν LTTrWH. [18] —τὰ T. [19] εἰσελθόντα LTWH *marg.*, ἐλθόντα TrWH *text.*

[a] ver. 14—19, Marc. 9. 14—28. ver. 14—18, Luc. 9. 37—42.
[b] cap. 4. 24.
[c] Phil. 2. 15.
[d] Act. 18. 14. 2 Cor. 11. 1, 4, 19, 20. Eph. 4. 2. Col. 3. 13.
[e] Cf. Marc. 9. 28.
[f] Cf. cap. 13. 58.
Joan. 11. 40.
[g] cap. 21. 21, 22. Marc. 11. 23. Luc. 17. 6.
[h] Vid. cap. 13. 31.
[i] 1 Cor. 13. 2.
[k] (var. lect.) Marc. 9. 29.
[l] ver. 22, 23, Marc. 9. 30—32. Luc. 9. 43—45.
[m] ver. 12.
[n] Marc. 9. 33. Cf. cap. 19. 1.
[o] Ex. 30. 13; 38. 26.
[p] cap. 18. 12; 21. 28.

Σίμων; οἱ βασιλεῖς τῆς γῆς ἀπὸ **τίνων**[1] λαμβάνουσι
[a]τέλη ἢ [b]κῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλ-
λοτρίων;" **Λέγει αὐτῷ ὁ Πέτρος**[2], "Ἀπὸ τῶν ἀλλο- 26
τρίων[3]." Ἔφη αὐτῷ ὁ Ἰησοῦς, "Ἄραγε ἐλεύθεροί
εἰσιν οἱ υἱοί. ἵνα δὲ μὴ [c]**σκανδαλίσωμεν**[4] αὐτούς, 27
πορευθεὶς εἰς **τὴν**[5] θάλασσαν, βάλε ἄγκιστρον, καὶ
τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον· καὶ ἀνοίξας τὸ
στόμα αὐτοῦ, εὑρήσεις στατῆρα· ἐκεῖνον λαβὼν δὸς
αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ."

[d]ΕΝ ἐκείνῃ[6] τῇ **ὥρᾳ**[7] [e]προσῆλθον οἱ μαθηταὶ **τῷ** 18 ΛΖʹ.
Ἰησοῦ, λέγοντες, "Τίς ἄρα μείζων ἐστὶν **ἐν** τῇ ροη
βασιλείᾳ τῶν οὐρανῶν;" Καὶ προσκαλεσάμενος **ὁ** 2 β
Ἰησοῦς[8] παιδίον ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν, καὶ 3
εἶπεν, "Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ [f]στραφῆτε καὶ
[g]γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν
βασιλείαν τῶν οὐρανῶν. ὅστις οὖν **ταπεινώσῃ**[9] ἑαυ- 4
τὸν ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν τῇ
βασιλείᾳ τῶν οὐρανῶν. καὶ ὃς **ἐὰν**[10] δέξηται **παιδίον** 5
τοιοῦτον ἓν[11] ἐπὶ τῷ ὀνόματί μου, [h]ἐμὲ δέχεται· ὃς δ' 6 ροθ
ἂν [c]σκανδαλίσῃ [i]ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόν- β
των εἰς ἐμέ, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος
ὀνικὸς **ἐπὶ**[12] τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ
ἐν τῷ πελάγει τῆς θαλάσσης. Οὐαὶ τῷ κόσμῳ ἀπὸ 7
[k]τῶν σκανδάλων· [l]ἀνάγκη γάρ **ἐστιν**[13] ἐλθεῖν τὰ σκάν-
δαλα. [m]πλὴν οὐαὶ τῷ ἀνθρώπῳ **ἐκείνῳ**[14], δι' οὗ τὸ
σκάνδαλον ἔρχεται. [n]Εἰ δὲ ἡ χείρ σου ἢ ὁ πούς σου 8 ρπ
[c]σκανδαλίζει σε, ἔκκοψον **αὐτὰ**[15] καὶ βάλε ἀπὸ σοῦ· ς
καλόν σοι ἐστὶν εἰσελθεῖν εἰς τὴν ζωὴν [o]**χωλὸν ἢ κυλ-
λὸν**[16], ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι εἰς
τὸ πῦρ τὸ αἰώνιον. [p]καὶ εἰ ὁ ὀφθαλμός σου [c]σκαν- 9
δαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· καλόν
σοι ἐστὶ μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ δύο

[a] Rom. 13. 7.
[b] cap. 22. 17, 19.
[c] cap. 5. 29, 30; 18. 6, 8, 9. Marc. 9. 42, 43, 45, 47. Luc. 17. 2. Joan. 6. 61. 1 Cor. 8. 13.
[d] cap. 17. 24.
[e] ver. 1—5, Marc. 9. 33—37. Luc. 9. 46—48.
[f] Cf. cap. 13. 15.
[g] cap. 19. 14. Marc. 10. 15. Luc. 18. 17. Cf. 1 Cor. 14. 20. 1 Pet. 2. 2.
[h] Vid. cap. 10. 40.
[i] ver. 10, 14.
[k] Vid. cap. 13. 41.
[l] Luc. 17. 1. Cf. 1 Cor. 11. 19.
[m] Cf. cap. 26. 24.
[n] Vid. cap. 5. 30.
[o] Vid. cap. 15. 30.
[p] Vid. cap. 5. 29.

[1] τινὸς WH *marg.* [2] εἰπόντος δέ LTTrWHR. [3] ἀλλοτρίων, LTTrWHR. [4] σκανδαλίζωμεν TWH *marg.* [5] —τὴν LTTrWH. [6] + δὲ WH *marg.* [7] ἡμέρᾳ LTr *marg.* [8] —ὁ Ἰησοῦς TTrWHR. [9] ταπεινώσει LTTrWH. [10] ἂν LTr. [11] ἓν παιδίον τοιοῦτον LT (τοιοῦτο TWH) TrWH. [12] περὶ LTTrWHR. [13] —ἐστιν LTrWH. [14] —ἐκείνῳ LTTrWH. [15] αὐτὸν LTTrWHR. [16] κυλλὸν ἢ χωλόν LTWHR.

ὀφθαλμοὺς ἔχοντα βληθῆναι [a] εἰς τὴν γέενναν τοῦ
ρπα 10 πυρός. Ὁρᾶτε μὴ καταφρονήσητε [b] ἑνὸς τῶν μικρῶν
ι τούτων· λέγω γὰρ ὑμῖν, ὅτι [c] οἱ ἄγγελοι αὐτῶν ἐν οὐ-
ρανοῖς[1] διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πα-
ΛΗ′. 11 τρός μου τοῦ ἐν οὐρανοῖς. [d] ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώ-
ρπβ 12 που σῶσαι τὸ ἀπολωλός[2]. [e] Τί ὑμῖν δοκεῖ; [f] ἐὰν γένη-
ε ταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα, καὶ πλανηθῇ ἓν
ἐξ αὐτῶν· οὐχὶ ἀφεὶς[3] τὰ ἐννενηκονταεννέα[4], ἐπὶ τὰ
13 ὄρη[5] πορευθεὶς ζητεῖ τὸ πλανώμενον; καὶ ἐὰν γέ-
νηται εὑρεῖν αὐτό, ἀμὴν λέγω ὑμῖν, ὅτι χαίρει ἐπ᾽
αὐτῷ μᾶλλον, ἢ ἐπὶ τοῖς ἐννενηκονταεννέα[4] τοῖς μὴ
14 πεπλανημένοις. οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν
τοῦ πατρὸς ὑμῶν[6] τοῦ ἐν οὐρανοῖς, ἵνα ἀπόληται
ρπγ 15 [b] εἷς[7] τῶν μικρῶν τούτων. [g] Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ[8]
ε ὁ ἀδελφός σου, ὕπαγε καὶ[9] ἔλεγξον αὐτὸν μεταξὺ
σοῦ καὶ αὐτοῦ μόνου. ἐάν σου ἀκούσῃ, [h] ἐκέρδησας
ρπδ 16 τὸν ἀδελφόν σου· ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ
ι σοῦ[10] ἔτι ἕνα ἢ δύο, [i] ἵνα ἐπὶ στόματος δύο μαρτύρων
17 ἢ τριῶν σταθῇ πᾶν ῥῆμα. [k] ἐὰν δὲ παρακούσῃ αὐτῶν,
εἰπὲ[11] τῇ ἐκκλησίᾳ· ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακού-
ρπε 18 σῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ [l] ὁ τελώνης. Ἀμὴν
ζ λέγω ὑμῖν, [m] ὅσα ἐὰν[12] δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδε-
μένα ἐν τῷ[13] οὐρανῷ· καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς,
ρπϛ 19 ἔσται λελυμένα ἐν τῷ[13] οὐρανῷ. πάλιν[14] λέγω ὑμῖν,
ι ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν[15] ἐπὶ τῆς γῆς περὶ
παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, [n] γενήσεται αὐ-
20 τοῖς παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. οὗ γάρ
εἰσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ
εἰμὶ ἐν μέσῳ αὐτῶν."

ρπζ 21 Τότε προσελθὼν αὐτῷ ὁ Πέτρος εἶπε[16], "Κύριε,
ε ποσάκις ἁμαρτήσει εἰς ἐμὲ [o] ὁ ἀδελφός μου, καὶ ἀφήσω

[a] Vid. cap. 5. 22.
[b] cap. 10. 42. ver. 6, 14. Cf. Zech. 13. 7.
[c] Act. 12. 15. Cf. Ps. 34. 7.
[d] (var. lect.) Luc. 19. 10.
[e] cap. 17. 25; 21. 28; 26. 66.
[f] ver. 12—14, Luc. 15. 4—7.
[g] Luc. 17. 3. 2 Thess. 3. 15. Cf. Lev. 19. 17. Ecclus. 19. 13. Jac. 5. 19.
[h] 1 Cor. 9. 19—22. 1 Pet. 3. 1.
[i] Deut. 19. 15. Joan. 8. 17. 2 Cor. 13. 1. 1 Tim. 5. 19. Heb. 10. 28.
[k] Cf. 2 Thess. 3. 14, 15.
[l] Vid. cap. 11. 19.
[m] Cf. cap. 16. 19. Joan. 20. 23.
[n] Vid. cap. 7. 7.
[o] ver. 15.

[1] [ἐν τῷ οὐρανῷ] LWH *marg.* [2] *v.* 11 *deest in* LTTrWH.R *text.* (*non marg.*). [3] ἀφήσει LTrWH. [4] ἐνενήκοντα ἐννέα LTTrWH. [5] +καὶ LTrWH. [6] μου LTrWH (*non marg.*) R *marg.* [7] ἓν LTTrWH. [8] —εἰς σὲ LT[Tr *marg.*]WH.R *marg.* [9] —καὶ LTTrWHR. [10] μετὰ σεαυτοῦ T, μετὰ σοῦ *legitur post* δύο *apud* LWH *marg.* [11] εἰπὸν TWH. [12] ἂν LTr. [13] —τῷ LT[Tr]WH. [14] ἀμὴν L, πάλιν ἀμὴν Tr, Πάλιν [ἀμὴν] WH. [15] συμφωνήσωσιν ἐξ ὑμῶν WH, συμφωνήσουσιν ἐξ ὑμῶν TTr. [16] ὁ Πέτρος εἶπεν αὐτῷ LTTrR, ὁ Πέτρος εἶπεν [αὐτῷ] WH.

αὐτῷ; [a]ἕως ἑπτάκις;" Λέγει αὐτῷ ὁ Ἰησοῦς, "Οὐ 22
λέγω σοι ἕως ἑπτάκις, **ἀλλ'**[1] ἕως [b]ἑβδομηκοντάκις ἑπτά.
Διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώ- 23 ΛΘ'.
πῳ βασιλεῖ, ὃς ἠθέλησε [c]συνᾶραι λόγον μετὰ τῶν ρπη
δούλων αὐτοῦ. ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, **προσ-** 24
ηνέχθη[2] **αὐτῷ εἷς**[3] ὀφειλέτης μυρίων ταλάντων. [d]μὴ 25
ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν ὁ κύ-
ριος **αὐτοῦ**[4] [e]πραθῆναι, καὶ τὴν γυναῖκα **αὐτοῦ**[5] καὶ [f]τὰ
τέκνα, καὶ πάντα ὅσα **εἶχε**[6], καὶ ἀποδοθῆναι. πεσὼν 26
οὖν ὁ δοῦλος[7] [g]προσεκύνει αὐτῷ, λέγων, **Κύριε**[8], μα-
κροθύμησον ἐπ' **ἐμοί**[9], καὶ πάντα **σοι**[10] ἀποδώσω.
σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου **ἐκείνου**[11] ἀπέ- 27
λυσεν αὐτόν, καὶ τὸ **δάνειον**[12] ἀφῆκεν αὐτῷ. Ἐξελ- 28
θὼν δὲ ὁ δοῦλος **ἐκεῖνος**[13] εὗρεν ἕνα τῶν συνδούλων
αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν [h]δηνάρια, καὶ κρατή-
σας αὐτὸν ἔπνιγε, λέγων, Ἀπόδος **μοι**[14] **ὅ τι**[15] ὀφεί-
λεις. πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ **εἰς τοὺς πόδας** 29
αὐτοῦ[16] παρεκάλει αὐτόν, λέγων, Μακροθύμησον ἐπ'
ἐμοί[17], καὶ **πάντα**[18] ἀποδώσω σοι. ὁ δὲ οὐκ ἤθελεν, 30
ἀλλὰ[19] ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς φυλακήν, ἕως **οὗ**[20]
ἀποδῷ τὸ ὀφειλόμενον. ἰδόντες **δὲ οἱ σύνδουλοι αὐ-** 31
τοῦ[21] τὰ **γενόμενα**[22] ἐλυπήθησαν σφόδρα· καὶ ἐλθόν-
τες [i]διεσάφησαν τῷ κυρίῳ **αὐτῶν**[23] πάντα τὰ γενό-
μενα. Τότε προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ 32
λέγει αὐτῷ, Δοῦλε πονηρέ, πᾶσαν τὴν ὀφειλὴν
ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με· [k]οὐκ ἔδει 33
καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς **καὶ ἐγώ**[24] σε
ἠλέησα; καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ παρέδωκεν 34
αὐτὸν τοῖς βασανισταῖς, ἕως **οὗ**[25] ἀποδῷ πᾶν τὸ
ὀφειλόμενον **αὐτῷ**[26]. [l]Οὕτω καὶ ὁ πατήρ μου ὁ 35

[a] Luc. 17. 4.
[b] Gen. 4. 24.
[c] cap. 25. 19.
[d] Luc. 7. 42.
[e] Ex. 21. 2. Lev. 25. 39.
[f] 2 Reg. 4. 1. Neh. 5. 5.
[g] Vid. cap. 8. 2.
[h] cap. 20. 2, 9, 10, 14; 22. 19. Marc. 6. 37; 12. 15; 14. 5. Luc. 7. 41; 10. 35; 20. 24. Joan. 6. 7; 12. 5. Rev. 6. 6.
[i] cap. 13. 36 (var. lect.).
[k] Cf. 1 Joan. 4. 11.
[l] cap. 6. 12, 14, 15. Marc. 11. 26 (var. lect.).

[1] ἀλλὰ LTrWH. [2] *προσήχθη* LTrWH. [3] *εἷς αὐτῷ* TWH. [4] —*αὐτοῦ* TTrWH. [5] —*αὐτοῦ* TWH. [6] *ἔχει* LTrWH. [7] +*ἐκεῖνος* T. [8] —Κύριε LTTrWH. [9] *ἐμέ* Tr. [10] *σοι post ἀποδώσω legunt* LTTrWH. [11] —*ἐκείνου* L, [Tr *marg.* WH]. [12] *δάνιον* WH. [13] —*ἐκεῖνος* L. [14] —*μοι* LTTrWHR. [15] *εἴ τι* LTTrWHR. [16] —*εἰς τοὺς πόδας αὐτοῦ* LTTrWHR. [17] *ἐμέ* LTr. [18] —*πάντα* [L]TTrWHR. [19] *ἀλλ'* BE. [20] —*οὗ* LTTrWH. [21] *οὖν αὐτοῦ οἱ σύνδουλοι* L, *οὖν οἱ σύνδουλοι αὐτοῦ* TTrWHR. [22] *γινόμενα* T. [23] *ἑαυτῶν* LTTrWH. [24] *κἀγὼ* LTTrWH. [25] —*οὗ* L[WH]. [26] —*αὐτῷ* LTrWHR.

ἐπουράνιος[1] ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ
ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν **τὰ παραπτώ-
ματα αὐτῶν**[2]."

ρπθ 19 ΚΑΙ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους
ς τούτους, [a] μετῆρεν ἀπὸ **τῆς**[3] [b] Γαλιλαίας, καὶ ἦλθεν εἰς
2 [c] τὰ ὅρια τῆς Ἰουδαίας πέραν τοῦ Ἰορδάνου. καὶ
[d] ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν
Μ'. 3 αὐτοὺς ἐκεῖ. Καὶ **προσῆλθον**[4] αὐτῷ **οἱ**[5] Φαρισαῖοι
πειράζοντες αὐτόν, καὶ λέγοντες **αὐτῷ**[6], [e] "Εἰ ἔξεστιν
ἀνθρώπῳ[7] ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν
4 αἰτίαν;" Ὁ δὲ ἀποκριθεὶς εἶπεν **αὐτοῖς**[8], [f] "Οὐκ ἀνέ-
γνωτε ὅτι ὁ **ποιήσας**[9] ἀπ' ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποί-
5 ησεν αὐτούς, καὶ εἶπεν, [g] '**Ἕνεκεν**[10] τούτου καταλείψει
ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα· καὶ **προσκολ-
ληθήσεται**[11] τῇ γυναικὶ αὐτοῦ, καὶ [h] ἔσονται οἱ δύο εἰς
6 σάρκα μίαν;' ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία·
ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω."
7 Λέγουσιν αὐτῷ, "Τί οὖν **Μωσῆς**[12] ἐνετείλατο [i] δοῦναι
8 βιβλίον ἀποστασίου, καὶ ἀπολῦσαι **αὐτήν**[13];" Λέγει
αὐτοῖς, "Ὅτι **Μωσῆς**[12] πρὸς τὴν [k] σκληροκαρδίαν ὑμῶν
ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν· ἀπ'
ρϟ β 9 ἀρχῆς δὲ οὐ γέγονεν οὕτω. [l] λέγω δὲ ὑμῖν, **ὅτι**[14] ὃς ἂν
ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, **εἰ μὴ ἐπὶ πορνείᾳ**[15], **καὶ
γαμήσῃ ἄλλην, μοιχᾶται**[16]. **καὶ ὁ ἀπολελυμένην γαμή-
ρϟα ι 10 σας μοιχᾶται**[17]." Λέγουσιν αὐτῷ οἱ μαθηταὶ **αὐτοῦ**[18],
"Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς
11 γυναικός, οὐ συμφέρει γαμῆσαι." Ὁ δὲ εἶπεν αὐτοῖς,
[m] "Οὐ πάντες χωροῦσι τὸν λόγον **τοῦτον**[19], [n] ἀλλ' [o] οἷς
12 δέδοται. εἰσὶ γὰρ εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς
ἐγεννήθησαν οὕτω· καί εἰσιν εὐνοῦχοι, [p] οἵτινες εὐνου-
χίσθησαν ὑπὸ τῶν ἀνθρώπων· καί εἰσιν εὐνοῦχοι,

[a] ver. 1—9, Marc. 10. 1—12.
[b] Cf. cap. 17. 24.
[c] Cf. Luc. 9. 51; 17. 11. Joan. 10. 40; 11. 7.
[d] cap. 12. 15.
[e] cap. 5. 31,
[f] Gen. 1. 27; 5. 2.
[g] Gen. 2. 24. Eph. 5. 31.
[h] Mal. 2. 15. 1 Cor. 6. 16.
[i] Deut. 24. 1—4.
[k] Marc. 16. 14.
[l] Vid. cap. 5. 32.
[m] Cf. 1 Cor. 7. 2, 7, 9.
[n] Cf. cap. 20. 23.
[o] cap. 13. 11.
[p] 2 Reg. 20. 18.

[1] οὐράνιος LTTr. [2] —τὰ παραπτώματα αὐτῶν LTTrWHR. [3] —τῆς E. [4] προσῆλθαν WH. [5] —οἱ LTrWH.R (*non marg.*). [6] —αὐτῷ LTTrWHR. [7] —ἀνθρώπῳ LTWHR. [8] —αὐτοῖς LTTrWHR. [9] κτίσας TrWHR *marg.* [10] Ἕνεκα LTTrWH. [11] κολληθήσεται LTTrWH. [12] Μωϋσῆς LTTrWH. [13] —αὐτήν LTTrWH (*non marg.*). [14] —ὅτι LTrWH *marg.* [15] παρεκτὸς λόγου πορνείας LWH *marg.* R *marg.* [16] ποιεῖ αὐτὴν μοιχευθῆναι WH *marg.* R *marg.*, *at* —εἰ *tantum* TTrWH *text.* [17] —καὶ ὁ ἀπολ. *ad fin. vers.* T[Tr]WH *text.* (*non marg.*) R *marg.*, *at* γαμῶν Tr *marg.* [18] —αὐτοῦ TWHR. [19] —τοῦτον [L]WH.

[a] Cf. 1 Cor. 7. 32, 34.
[b] ver. 13—15, Marc. 10. 13—16. Luc. 18. 15—17.
[c] Vid. cap. 18. 3.
[d] ver. 16—29, Marc. 10. 17—30. Luc. 18. 18—30. Cf. Luc. 10. 25—28.
[e] Lev. 18. 5. Neh. 9. 29. Ezek. 20. 21.
[f] Ex. 20. 12—16. Deut. 5. 16—20.
[g] Vid. cap. 15. 4.
[h] Lev. 19. 18. cap. 22. 39. Rom. 13. 9. Gal. 5. 14. Jac. 2. 8.
[i] Vid. cap. 5. 48.
[k] Luc. 12. 33. Cf. Luc. 16. 9. Act. 2. 45; 4. 34, 35.
[l] cap. 6. 19.
[m] Cf. cap. 13. 22.
[n] Marc. 10. 24, 25. 1 Tim. 6. 9, 10.
[o] cap. 23. 24.

[a] οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν
οὐρανῶν. ὁ δυνάμενος χωρεῖν χωρείτω."
[b] Τότε **προσηνέχθη**[1] αὐτῷ παιδία, ἵνα τὰς χεῖρας 13 ρλβ
ἐπιθῇ αὐτοῖς, καὶ προσεύξηται· οἱ δὲ μαθηταὶ ἐπετί- β
μησαν αὐτοῖς· ὁ δὲ Ἰησοῦς εἶπεν[2], "Ἄφετε τὰ παιδία, 14
καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν **πρός με**[3]· [c] τῶν γὰρ τοιού-
των ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν." Καὶ ἐπιθεὶς 15
αὐτοῖς τὰς χεῖρας[4], ἐπορεύθη ἐκεῖθεν.
[d] ΚΑΙ ἰδού, εἷς προσελθὼν **εἶπεν αὐτῷ**[5], "Διδάσκαλε 16 ΜΑ′.
ἀγαθέ[6], τί ἀγαθὸν ποιήσω, ἵνα **ἔχω**[7] ζωὴν αἰώνιον;" ρλγ
Ὁ δὲ εἶπεν αὐτῷ, "**Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθός,** 17 β
εἰ μὴ εἷς, ὁ Θεός[8]. [e] εἰ δὲ θέλεις **εἰσελθεῖν εἰς τὴν ζωήν**[9],
τήρησον[10] τὰς ἐντολάς." **Λέγει**[11] **αὐτῷ**, "**Ποίας**[12];" Ὁ 18
δὲ Ἰησοῦς **εἶπε**[13], [f] "Τό, **οὐ φονεύσεις· οὐ μοιχεύσεις**[14]·
οὐ κλέψεις· οὐ ψευδομαρτυρήσεις· [g] τίμα τὸν πατέρα 19
σου[15] καὶ τὴν μητέρα· καί, [h] ἀγαπήσεις τὸν πλησίον
σου ὡς σεαυτόν." Λέγει αὐτῷ ὁ νεανίσκος, "**Πάντα** 20
ταῦτα[16] **ἐφυλαξάμην**[17] **ἐκ νεότητός μου**[18]· τί ἔτι ὑστε-
ρῶ;" **Ἔφη**[19] αὐτῷ ὁ Ἰησοῦς, "Εἰ θέλεις [i] τέλειος 21 ρλδ
εἶναι, ὕπαγε, [k] πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς[20] β
πτωχοῖς· καὶ [l] ἕξεις θησαυρὸν ἐν **οὐρανῷ**[21]· καὶ δεῦρο,
ἀκολούθει μοι." Ἀκούσας δὲ ὁ νεανίσκος **τὸν λό-** 22 ρλε
γον[22][23], ἀπῆλθε λυπούμενος· ἦν γὰρ ἔχων κτήματα β
πολλά.
Ὁ δὲ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ, "Ἀμὴν 23
λέγω ὑμῖν, [m] ὅτι **δυσκόλως** [n] **πλούσιος**[24] εἰσελεύσεται εἰς
τὴν βασιλείαν τῶν οὐρανῶν. πάλιν δὲ λέγω ὑμῖν,[25] 24
[m] εὐκοπώτερόν ἐστι [o] κάμηλον διὰ **τρυπήματος**[26] ῥαφίδος
διελθεῖν[27], ἢ πλούσιον εἰς τὴν βασιλείαν **τοῦ Θεοῦ**[28] **εἰσ-**

[1] προσηνέχθησαν LTTrWH. [2] + αὐτοῖς TWH *marg.* [3] πρὸς ἐμέ T. [4] τὰς χεῖρας αὐτοῖς LTTrWH. [5] αὐτῷ εἶπεν LTTrWHR. [6] —ἀγαθέ LTTrWHR (*non marg.*). [7] σχῶ LTTrWH, *at* ζωὴν αἰώνιον κληρονομήσω L *marg.* [8] Τί με ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ; εἷς ἐστὶν ὁ ἀγαθός LTTrWHR (*non marg.*). [9] εἰς τὴν ζωὴν εἰσελθεῖν LTTrWH. [10] τήρει LTr (*non marg.*) WH (*non marg.*). [11] ἔφη L. [12] ποίας; φησίν (—λέγει αὐτῷ) TWH *marg.* [13] ἔφη LWH (*non marg.*). [14] οὐ μοιχεύσεις, οὐ φονεύσεις L *marg.* [15] —σου LTTrWH. [16] Ταῦτα πάντα LTrWH (*non marg.*). [17] ἐφύλαξα LTTrWH. [18] —ἐκ νεότητός μου LTTrWHR. [19] λέγει LWH *marg.* [20] + τοῖς LTr[WH]R. [21] οὐρανοῖς L *marg.* TrWH. [22] — τὸν λόγον T. [23] + [τοῦτον] LWH. [24] πλούσιος δυσκόλως LTTrWH. [25] + ὅτι TWH *marg.* [26] τρήματος WH (*non marg.*). [27] εἰσελθεῖν TTr (*non marg.*) WH (*non marg.*). [28] τῶν οὐρανῶν LTTr (*non marg.*).

25 ἐλθεῖν[1].” Ἀκούσαντες δὲ οἱ μαθηταὶ **αὐτοῦ**[2] ἐξε-
πλήσσοντο σφόδρα, λέγοντες, “Τίς ἄρα δύναται
26 σωθῆναι;” Ἐμβλέψας δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς,
[a]“Παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστι, παρὰ δὲ
Θεῷ **πάντα δυνατά**[3] **ἐστι**[4].”
27 Τότε ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ, “Ἰδού,
[b]ἡμεῖς ἀφήκαμεν πάντα, καὶ [b]ἠκολουθήσαμέν σοι· τί
ρϟϛ 28 ἄρα ἔσται ἡμῖν;” Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, “Ἀμὴν
ι λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ
παλιγ[5]γενεσίᾳ, [c]ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ
ρϟζ θρόνου δόξης αὐτοῦ, [d]**καθίσεσθε**[6] καὶ **ὑμεῖς**[7] ἐπὶ δώδεκα
ε θρόνους, [e]κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.
ρϟη 29 καὶ [f]πᾶς **ὃς**[8] ἀφῆκεν **οἰκίας, ἢ**[9] ἀδελφούς, ἢ ἀδελφάς,
β **ἢ πατέρα, ἢ μητέρα**[10], [g]**ἢ γυναῖκα**[11], ἢ τέκνα, ἢ ἀγρούς[12],
ἕνεκεν τοῦ ὀνόματός μου[13], **ἑκατονταπλασίονα λήψεται**[14],
ρϟθ 30 καὶ ζωὴν αἰώνιον κληρονομήσει. [h]πολλοὶ δὲ ἔσονται
β ΜΒ′. 20 πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι. Ὁμοία γάρ
σ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσ-
ι πότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας
2 [i]εἰς τὸν ἀμπελῶνα αὐτοῦ. συμφωνήσας δὲ μετὰ τῶν
ἐργατῶν ἐκ [k]δηναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς
3 εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Καὶ ἐξελθὼν περὶ **τὴν**[15]
τρίτην ὥραν, εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ
4 ἀργούς· **κἀκείνοις**[16] εἶπεν, Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν
ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον δώσω ὑμῖν. οἱ δὲ
5 ἀπῆλθον. Πάλιν[17] ἐξελθὼν περὶ ἕκτην καὶ **ἐννάτην**[18]
6 ὥραν, ἐποίησεν ὡσαύτως. [l]Περὶ δὲ τὴν ἑνδεκάτην
ὥραν[19] ἐξελθών, εὗρεν ἄλλους ἑστῶτας **ἀργούς**[20], καὶ
λέγει αὐτοῖς, Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν
7 ἀργοί; λέγουσιν αὐτῷ, Ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώ-
σατο. λέγει αὐτοῖς, Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν

[a] Gen. 18. 14. Job 42. 2. Jer. 32. 17. Zech. 8. 6. Luc. 1. 37.
[b] cap. 4. 20.
[c] Vid. cap. 16. 27.
[d] Luc. 22. 30. Rev. 3. 21. Cf. cap. 20. 21.
[e] Cf. 1 Cor. 6. 2.
[f] Marc. 10. 29, 30. Cf. Luc. 18. 29, 30.
[g] Luc. 18. 29 (var. lect.).
[h] cap. 20. 16 (var. lect.). Marc. 10. 31. Luc. 13. 30.
[i] cap. 21. 28, 33.
[k] ver. 9, 10, 13. Vid. cap. 18. 28.
[l] Cf. 1 Cor. 15. 8.

[1] —εἰσελθεῖν TWH (*non marg.*), *at post* πλούσιον *ponunt* L[Tr]. [2] —αὐτοῦ LTTrWHR. [3] δυνατὰ πάντα T. [4] —ἐστι LTTrWH. [5] παλινγ. TWH. [6] καθήσεσθε WH. [7] αὐτοὶ TTr (*non marg.*) WH *marg.* [8] ὅστις LTTrWH. [9] —οἰκίας, ἢ TTr (*non marg.*) WH (*non marg.*). [10] ἢ γονεῖς L *marg.* [11] —ἢ γυναῖκα LTTrWH.R (*non marg.*). [12] + ἢ οἰκίας TTrWH *marg.* [13] ἕνεκα (ἕνεκεν WH) τοῦ ἐμοῦ ὀνόματος TWH. [14] πολλαπλασίονα λήμψεται (λήψ- R) LTTrWHR *marg.* [15] —τὴν LTTrWH. [16] καὶ ἐκείνοις TWH. [17] + δὲ TTr (*at* [δὲ] Tr *marg.*) + [δὲ] WH. [18] ἐνάτην LTTrWH. [19] —ὥραν LTTrWHR. [20] —ἀργούς LTTrWHR.

ἀμπελῶνα[1], καὶ ὃ ἐὰν ᾖ δίκαιον λήψεσθε[2]. [a]Ὀψίας δὲ 8
γενομένης λέγει ὁ κύριος τοῦ ἀμπελῶνος τῷ [b]ἐπι-
τρόπῳ αὐτοῦ, Κάλεσον τοὺς ἐργάτας, καὶ ἀπόδος
αὐτοῖς[3] τὸν μισθόν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως
τῶν πρώτων. καὶ ἐλθόντες[4] οἱ περὶ τὴν ἑνδεκάτην 9
ὥραν ἔλαβον ἀνὰ [c]δηνάριον. ἐλθόντες δὲ[5] οἱ πρῶτοι 10
ἐνόμισαν ὅτι πλείονα λήψονται[6]· καὶ ἔλαβον καὶ
αὐτοὶ ἀνὰ [c]δηνάριον[7]. λαβόντες δὲ ἐγόγγυζον κατὰ 11
τοῦ οἰκοδεσπότου, λέγοντες, Ὅτι[8] οὗτοι οἱ ἔσχατοι 12
μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς[9] ἐποίη-
σας, τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν
[d]καύσωνα.[10] ὁ δὲ ἀποκριθεὶς εἶπεν ἑνὶ αὐτῶν[11], [e]Ἑταῖρε, 13
οὐκ ἀδικῶ σε· οὐχὶ [c]δηναρίου συνεφώνησάς μοι[12]; ἆρον 14
[f]τὸ σὸν καὶ ὕπαγε. θέλω δὲ[13] τούτῳ τῷ ἐσχάτῳ δοῦναι
ὡς καὶ σοί· ἢ[14] οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω[15] ἐν τοῖς 15
ἐμοῖς; εἰ[16] ὁ [g]ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ
ἀγαθός εἰμι; οὕτως [h]ἔσονται οἱ ἔσχατοι πρῶτοι, καὶ 16
οἱ πρῶτοι ἔσχατοι· [i]πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ
ἐκλεκτοί[17].”

[k]ΚΑΙ ἀναβαίνων ὁ Ἰησοῦς[18] εἰς Ἱεροσόλυμα παρέ- 17 σα/β
λαβε τοὺς δώδεκα μαθητὰς[19] κατ' ἰδίαν ἐν τῇ ὁδῷ,
καὶ[20] εἶπεν αὐτοῖς, “Ἰδού, ἀναβαίνομεν εἰς Ἱεροσό- 18
λυμα, καὶ [l]ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς
ἀρχιερεῦσι καὶ γραμματεῦσι· καὶ κατακρινοῦσιν αὐ-
τὸν θανάτῳ[21], καὶ [m]παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν 19
[l]εἰς τὸ ἐμπαῖξαι καὶ μαστιγῶσαι καὶ σταυρῶσαι· [l]καὶ
τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται[22].”

[n]Τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ [o]τῶν υἱῶν Ζεβε- 20 ΜΓ'.
δαίου μετὰ τῶν υἱῶν αὐτῆς, [p]προσκυνοῦσα καὶ αἰτοῦ- σβ/ς
σά τι παρ'[23] αὐτοῦ. ὁ δὲ εἶπεν αὐτῇ, “Τί θέλεις;” 21

[a] Lev. 19. 13. [b] Luc. 8. 3. Gal. 4. 2. [c] Vid. ver. 2. [d] Jonah 4. 8. Luc. 12. 55. Jac. 1. 11. [e] cap. 22. 12; 26. 50. [f] cap. 25. 25. [g] Deut. 15. 9. Vid. cap. 6. 23. [h] Vid. cap. 19. 30. [i] cap. 22. 14. [k] ver. 17—19, Marc. 10. 32—34. Luc. 18. 31—33. [l] Vid. cap. 16. 21. [m] cap. 27. 2. Act. 2. 23; 3. 13; 21. 11. Cf. Joan. 18. 32. [n] ver. 20—28, Marc. 10. 35—45. [o] cap. 4. 21. [p] Vid. cap. 8. 2.

[1] + [μου] L. [2] —καὶ ὃ *ad fin. vers.* LTTrWHR. [3] —αὐτοῖς T[Tr]WH (*non marg.*). [4] ἐλθόντες δὲ LWH. [5] καὶ ἐλθόντες TrWHR. [6] πλεῖον λήμψονται LTrWH, λήμψονται *tantum* T. [7] τὸ [τὸ WH] ἀνὰ δηνάριον καὶ αὐτοὶ TTrWH (*at* καὶ αὐτοὶ [τὸ] ἀνὰ δηνάριον Tr *marg.*). [8] —ὅτι LTTrWH. [9] αὐτοὺς ἡμῖν L (*text. non marg.*) TTr *marg.* WH (*non marg.*). [10] ; L. [11] ἑνὶ αὐτῶν εἶπεν TWH (*non marg.*). [12] συνεφώνησά σοι Tr *marg.* [13] [ἐγὼ] WH *marg.* [14] —ἢ LTrWHR. [15] ὃ θέλω ποιῆσαι LTTrWH. [16] ἢ BELTTrWHR. [17] πολλοὶ γὰρ *ad fin. vers. deest in* TWH (*non marg.*) R, *uncinis includit* Tr. [18] Μέλλων δὲ ἀναβαίνειν ὁ (—ὁ WH) Ἰησοῦς Tr *marg.* WH (*non marg.*). [19] —μαθητὰς TTr[WH]. [20] καὶ ἐν τῇ ὁδῷ LTTr (*non marg.*) WHR. [21] εἰς θάνατον T, [θανάτῳ] WH. [22] ἐγερθήσεται TTr (*non marg.*) WH (*non marg.*) R. [23] ἀπ' LTr (*non marg.*) WH (*non marg.*).

Λέγει αὐτῷ[1], "Εἰπὲ ἵνα [a]καθίσωσιν **οὗτοι**[2] οἱ δύο υἱοί
μου, εἷς ἐκ δεξιῶν **σου**[3], καὶ εἷς ἐξ εὐωνύμων[4], ἐν τῇ
22 βασιλείᾳ σου." Ἀποκριθεὶς δὲ[5] ὁ Ἰησοῦς εἶπεν,
"Οὐκ οἴδατε τί αἰτεῖσθε. [b]δύνασθε πιεῖν τὸ ποτήριον,
ὃ ἐγὼ μέλλω πίνειν, **καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζο-
μαι, βαπτισθῆναι**[6];" Λέγουσιν αὐτῷ, "Δυνάμεθα."
23 **Καὶ**[7] λέγει αὐτοῖς, [c]"Τὸ μὲν ποτήριόν μου πίεσθε,
καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε[8]·
τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου **καὶ**[9] ἐξ εὐωνύμων **μου**[10],
οὐκ ἔστιν ἐμὸν[11] δοῦναι, [d]ἀλλ' οἷς [e]ἡτοίμασται ὑπὸ τοῦ
σγ β 24 πατρός μου." **Καὶ ἀκούσαντες**[12] οἱ δέκα ἠγανάκτη-
25 σαν περὶ τῶν δύο ἀδελφῶν. ὁ δὲ Ἰησοῦς προσκαλε-
σάμενος αὐτοὺς εἶπεν, [f]"Οἴδατε ὅτι οἱ ἄρχοντες τῶν
ἐθνῶν [g]κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι κατεξ-
26 ουσιάζουσιν αὐτῶν. [h]οὐχ οὕτως **δὲ**[13] **ἔσται**[14] ἐν ὑμῖν·
ἀλλ' ὃς **ἐὰν**[15] θέλῃ **ἐν ὑμῖν μέγας**[16] γενέσθαι, **ἔστω**[17]
27 ὑμῶν [i]διάκονος· καὶ ὃς **ἐὰν**[18] θέλῃ **ἐν ὑμῖν εἶναι**[19] πρῶ-
σδ δ 28 τος, **ἔστω**[20] ὑμῶν [k]δοῦλος· [l]ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώ-
που οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ
[m]δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ [n]πολλῶν."
ΜΔ'.29 [o]ΚΑΙ ἐκπορευομένων αὐτῶν ἀπὸ **Ἱεριχώ**[21], ἠκολού-
σε β 30 θησεν αὐτῷ ὄχλος πολύς. καὶ ἰδού, δύο τυφλοὶ
καθήμενοι παρὰ τὴν ὁδόν, ἀκούσαντες ὅτι Ἰησοῦς
παράγει, ἔκραξαν, λέγοντες, "**Ἐλέησον ἡμᾶς, κύριε**[22],
31 [p]**υἱὸς**[23] **Δαβίδ**[24]." Ὁ δὲ ὄχλος ἐπετίμησεν αὐτοῖς ἵνα
σιωπήσωσιν. οἱ δὲ μεῖζον **ἔκραζον**[25], λέγοντες, "**Ἐλέ-
32 ησον ἡμᾶς, κύριε**[26], **υἱὸς**[23] **Δαβίδ**[24]." Καὶ στὰς **ὁ**[27]
Ἰησοῦς ἐφώνησεν αὐτούς, καὶ εἶπε, "Τί θέλετε[28]
33 ποιήσω ὑμῖν;" Λέγουσιν αὐτῷ, "Κύριε, ἵνα ἀνοιχ-

[a] Cf. cap. 19. 28.
[b] cap. 26. 39, 42. Joan. 18. 11. Cf. Esa. 51. 22.
[c] Act. 12. 2. Rev. 1. 9.
[d] Cf. cap. 19. 11.
[e] cap. 25. 34.
[f] ver. 25—28, cf. Luc. 22. 25—27.
[g] 1 Pet. 5. 3.
[h] cap. 23. 11.
[i] cap. 22. 13.
[k] cap. 22. 3.
[l] Joan. 13. 4, 13—15. Phil. 2. 7. Cf. 2 Cor. 8. 9.
[m] Esa. 53. 10. Dan. 9. 26. Joan. 11. 51, 52. Rom. 4. 25. 1 Tim. 2. 6. Tit. 2. 14. 1 Pet. 1. 18, 19.
[n] Esa. 53. 11, 12. cap. 26. 28. Heb. 2. 10; 9. 28.
[o] ver. 29—34, Marc. 10. 46—52. Luc. 18. 35—43. Cf. cap. 9. 27—31.
[p] Vid. cap. 9. 27.

[1] ἡ δὲ εἶπεν WH *marg.* [2] [οὗτοι] L. [3] —σου LTWH. [4] + σου LTTrWHR. [5] ὁ δὲ S *errore.* [6] —καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι LTTrWHR. [7] —καὶ LTTrWHR. [8] —καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε LTTrWHR. [9] ἢ WH *marg.* [10] —μου LTTr (ἢ ἐξ εὐων. Tr *marg.*) WHR. [11] + τοῦτο TWH *marg.* [12] ἀκούσαντες δὲ TTr *marg.* [13] —δὲ LTTrWHR. [14] ἐστὶν LTrWH. [15] ἂν LTrWH. [16] μέγας ἐν ὑμῖν WH *marg.* [17] ἔσται LTTrWHR. [18] ἂν LTTrWH. [19] εἶναι ὑμῶν WH *marg.* [20] ἔσται LTTrWHR. [21] Ἱεριχὼ E, Ἱερειχὼ T, Ἰερειχώ WH. [22] Κύριε ἐλέησον ἡμᾶς LTrWHR, —Κύριε T. [23] υἱὲ LTTr *marg.* WH. [24] Δαυείδ LTTrWH. [25] ἔκραξαν LTTrWH. [26] Κύριε ἐλέησον ἡμᾶς LTTrWHR *marg.* [27] [ὁ] WH. [28] + [ἵνα] L.

θῶσιν[1] ἡμῶν οἱ ὀφθαλμοί[2]." Σπλαγχνισθεὶς δὲ ὁ 34
[a] cap. 9. 29.
Ἰησοῦς [a]ἥψατο τῶν ὀφθαλμῶν[3] αὐτῶν· καὶ εὐθέως ἀνέ-
βλεψαν αὐτῶν οἱ ὀφθαλμοί[4], καὶ ἠκολούθησαν αὐτῷ.

[b] ver. 1—9, Marc. 11. 1—10. Luc. 19. 29—38. [c] cap. 24. 3; 26. 30. Joan. 8. 1. Act. 1. 12.
[b]ΚΑΙ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα, καὶ ἦλθον εἰς 21 ΜΕ′.
Βηθφαγῇ[5] πρὸς[6] [c]τὸ ὄρος τῶν ἐλαιῶν, τότε ὁ[7] Ἰησοῦς σς
ἀπέστειλε δύο μαθητάς, λέγων αὐτοῖς, "Πορεύθητε[8] 2 β
εἰς τὴν κώμην τὴν ἀπέναντι[9] ὑμῶν· καὶ εὐθέως[10] εὑρή-
σετε ὄνον δεδεμένην, καὶ πῶλον μετ' αὐτῆς· λύσαντες
ἀγάγετέ[11] μοι. καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε, Ὅτι ὁ 3
Κύριος αὐτῶν χρείαν ἔχει· εὐθέως[12] δὲ ἀποστελεῖ αὐ-
[d] ver. 4—9, Joan. 12. 12—15. [e] Esa. 62. 11. [f] Zech. 9. 9.
τούς." [d]Τοῦτο δὲ ὅλον[13] γέγονεν, ἵνα πληρωθῇ τὸ 4 σζ
ῥηθὲν διὰ τοῦ προφήτου, λέγοντος, [e][f]'Εἴπατε τῇ θυ- 5 ζ
γατρὶ Σιών, [f]Ἰδού, ὁ βασιλεύς σου ἔρχεταί σοι, πραῢς
καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ[14] πῶλον υἱὸν ὑποζυ-
γίου.' Πορευθέντες δὲ οἱ μαθηταί, καὶ ποιήσαντες 6 ση
καθὼς προσέταξεν[15] αὐτοῖς ὁ Ἰησοῦς, ἤγαγον τὴν ὄνον 7 β
καὶ τὸν πῶλον, καὶ ἐπέθηκαν ἐπάνω[16] αὐτῶν τὰ ἱμά-
τια αὐτῶν[17], καὶ ἐπεκάθισεν[18] ἐπάνω αὐτῶν. ὁ δὲ 8
[g] 2 Reg. 9. 13.
πλεῖστος ὄχλος [g]ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ
ὁδῷ· ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων,
καὶ ἐστρώννυον[19] ἐν τῇ ὁδῷ. οἱ δὲ ὄχλοι οἱ προά- 9 σθ
γοντες[20] καὶ οἱ ἀκολουθοῦντες ἔκραζον, λέγοντες, α
[h] Ps. 118. 25, 26. [i] cap. 23. 39. [k] Luc. 2. 14.
[h]"Ὡσαννὰ[21] τῷ υἱῷ Δαβίδ[22]· [i]εὐλογημένος ὁ ἐρχόμενος
ἐν ὀνόματι Κυρίου· Ὡσαννὰ[21] [k]ἐν τοῖς ὑψίστοις."
Καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα, ἐσείσθη 10 σι
πᾶσα ἡ πόλις, λέγουσα, "Τίς ἐστιν οὗτος;" Οἱ δὲ 11 ι
[l] ver. 46. Luc. 7. 16, 39; 13. 33; 24. 19. Joan. 1. 21; 4. 19; 6. 14; 7. 40; 9. 17. [m] cap. 2. 23.
ὄχλοι ἔλεγον, "Οὗτός ἐστιν Ἰησοῦς [l]ὁ προφήτης[23], ὁ
[m]ἀπὸ Ναζαρὲτ[24] τῆς Γαλιλαίας."

[n] ver. 12—16, Marc. 11. 15—18. Luc. 19. 45—47. Cf. Joan. 2. 13.
[n]ΚΑΙ εἰσῆλθεν ὁ[25] Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ Θεοῦ[26], 12 σια
καὶ ἐξέβαλε πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας α

1 ἀνοιγῶσιν LTTrWH. 2 οἱ ὀφθαλμοὶ ἡμῶν LTTrWH. 3 ὀμμάτων LTTrWH. 4 —αὐτῶν οἱ ὀφθαλμοὶ LTTrWHR. 5 Βηθφαγὴ TWH. 6 εἰς LTTr (non marg.) WHR. 7 —ὁ TWH. 8 Πορεύεσθε LTTrWH. 9 κατέναντι LTTrWH. 10 εὐθὺς TWH. 11 ἄγετέ LTrWH marg. 12 εὐθὺς TTrWH. 13 —ὅλον LTTrWHR. 14 + ἐπὶ LTTrWHR. 15 συνέταξεν LTrWHR. 16 ἐπ' LTTrWH. 17 —αὐτῶν TTr[LTr marg.]WH. 18 ἐπεκάθισαν BE. 19 ἔστρωσαν L marg. T. 20 + αὐτὸν LTTrWHR. 21 'Ωσαννὰ LT. 22 Δαυείδ LTTrWH. 23 ὁ προφήτης Ἰησοῦς LTTrWHR. 24 Ναζαρὲθ BELTTrWHR. 25 —ὁ LTTrWH. 26 —τοῦ Θεοῦ LTr ([τοῦ θεοῦ] Tr marg.) WH (non marg.) R marg.

ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας [a]τῶν κολλυβιστῶν
κατέστρεψε, καὶ τὰς καθέδρας τῶν πωλούντων [b]τὰς
13 περιστεράς. καὶ λέγει αὐτοῖς, "Γέγραπται, [c]'Ὁ οἶκός
μου οἶκος προσευχῆς κληθήσεται' ὑμεῖς δὲ αὐτὸν
ΜϚʹ. 14 **ἐποιήσατε**[1] [d]σπήλαιον λῃστῶν." Καὶ προσῆλθον
σιβ αὐτῷ τυφλοὶ καὶ χωλοὶ ἐν τῷ ἱερῷ· καὶ ἐθεράπευσεν
ι/σιγ/ε 15 αὐτούς. [e]Ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς
τὰ θαυμάσια ἃ ἐποίησε, καὶ τοὺς παῖδας[2] κράζοντας
ἐν τῷ ἱερῷ, καὶ λέγοντας, "**Ὡσαννὰ**[3] τῷ υἱῷ **Δα-**
16 **βίδ**[4]," ἠγανάκτησαν, καὶ **εἶπον**[5] αὐτῷ, "Ἀκούεις τί
οὗτοι λέγουσιν;" Ὁ δὲ Ἰησοῦς λέγει αὐτοῖς, "Ναί·
οὐδέποτε ἀνέγνωτε, 'Ὅτι [f]ἐκ στόματος [g]νηπίων καὶ
σιδ/ϛ 17 θηλαζόντων κατηρτίσω αἶνον';" καὶ καταλιπὼν αὐ-
τοὺς [h]ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς [i]Βηθανίαν, καὶ
ηὐλίσθη ἐκεῖ.
ΜΖʹ. 18 [k]**Πρωΐας**[6] δὲ **ἐπανάγων**[7] εἰς τὴν πόλιν, ἐπείνασε·
19 καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ, ἦλθεν ἐπ' αὐτήν,
καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ εἰ μὴ φύλλα μόνον· καὶ
λέγει αὐτῇ, [8]"Μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς
τὸν αἰῶνα." Καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ.
20 Καὶ ἰδόντες οἱ μαθηταὶ ἐθαύμασαν, λέγοντες, "Πῶς
σιε/ϛ 21 παραχρῆμα ἐξηράνθη ἡ συκῆ;" Ἀποκριθεὶς δὲ ὁ
Ἰησοῦς εἶπεν αὐτοῖς, "Ἀμὴν λέγω ὑμῖν, [l]ἐὰν ἔχητε
πίστιν, [m]καὶ μὴ [n]διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς
ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε, Ἄρθητι
22 καὶ βλήθητι εἰς τὴν θάλασσαν, γενήσεται· καὶ
σιϛ/δ [o]πάντα ὅσα **ἂν**[9] αἰτήσητε ἐν τῇ προσευχῇ, πιστεύ-
οντες, **λήψεσθε**[10]."
ΜΗʹ. 23 [p]ΚΑΙ **ἐλθόντι αὐτῷ**[11] εἰς τὸ ἱερόν, **προσῆλθον**[12] αὐτῷ
σιζ/β διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ,
λέγοντες, "Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τίς
24 σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην;" Ἀποκριθεὶς **δὲ**[13] ὁ

[a] Cf. Ex. 30. 13.
[b] Lev. 1. 14; 5. 7; 12. 8.
[c] Esa. 56. 7.
[d] Jer. 7. 11.
[e] Cf. Luc. 19. 39, 40.
[f] Ps. 8. 2.
[g] cap. 11. 25.
[h] Marc. 11. 19.
[i] cap. 26. 6. Marc. 11. 1, 11, 12. Luc. 19. 29; 24. 50. Joan. 11. 1, 18; 12. 1.
[k] ver. 18—22, Marc. 11. 12—14; 20—24.
[l] cap. 17. 20.
[m] Joan. 14. 12.
[n] Act. 10. 20. Rom. 4. 20; 14. 23. Jac. 1. 6.
[o] Vid. cap. 7. 7.
[p] ver. 23—27, Marc. 11. 27—33. Luc. 20. 1—8. Cf. Act. 4. 7.

[1] *ποιεῖτε* LTTrWHR. [2] + *τοὺς* LTTrWHR. [3] *Ὡσαννὰ* LT. [4] *Δαυείδ* LTTrWH. [5] *εἶπαν* LTTrWH. [6] Πρωῒ TTr (*non marg.*) WH. [7] *ἐπαναγαγὼν* TTr *marg.* WH (*non marg.*). [8] + Οὐ LTTr *marg.* WH. [9] *ἐὰν* Tr. [10] *λήμψεσθε* LTTrWH. [11] *ἐλθόντος αὐτοῦ* LTTrWHR. [12] *προσῆλθαν* WH. [13] —δὲ L, [δὲ] WH.

Ἰησοῦς εἶπεν αὐτοῖς, "Ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον
ἕνα, ὃν ἐὰν εἴπητέ μοι, κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ
ἐξουσίᾳ ταῦτα ποιῶ. τὸ βάπτισμα[1] Ἰωάννου[2] πόθεν 25
ἦν; ἐξ οὐρανοῦ, ἢ ἐξ ἀνθρώπων;" Οἱ δὲ διελογί-
ζοντο παρ'[3] ἑαυτοῖς, λέγοντες, "Ἐὰν εἴπωμεν, ἐξ
οὐρανοῦ, ἐρεῖ ἡμῖν, Διατί[4] οὖν οὐκ ἐπιστεύσατε αὐτῷ;
ἐὰν δὲ εἴπωμεν, ἐξ ἀνθρώπων, [a]φοβούμεθα τὸν ὄχλον· 26
πάντες γὰρ [a]ἔχουσι τὸν Ἰωάννην [b]ὡς προφήτην[5]." Καὶ 27
ἀποκριθέντες τῷ Ἰησοῦ εἶπον[6], "Οὐκ οἴδαμεν." Ἔφη
αὐτοῖς καὶ αὐτός, "Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ
ἐξουσίᾳ[7] ταῦτα ποιῶ. [c]Τί δὲ ὑμῖν δοκεῖ; ἄνθρωπος[8] 28 ΜΘ΄.
εἶχε τέκνα δύο[9], καὶ[10] προσελθὼν τῷ πρώτῳ εἶπε, σιη
Τέκνον, ὕπαγε, σήμερον ἐργάζου [d]ἐν τῷ ἀμπελῶνί ι
μου[11]. Ὁ δὲ ἀποκριθεὶς εἶπεν, Οὐ θέλω· ὕστερον 29
δὲ[12] [e]μεταμεληθείς, ἀπῆλθε[13]. Καὶ προσελθὼν[14] τῷ 30
δευτέρῳ[15] εἶπεν ὡσαύτως. ὁ δὲ ἀποκριθεὶς εἶπεν, Ἐγώ,
κύριε· καὶ οὐκ ἀπῆλθε[16]. Τίς ἐκ τῶν δύο ἐποίησε τὸ 31
θέλημα τοῦ πατρός;" Λέγουσιν αὐτῷ[17], "Ὁ πρῶ-
τος[18]." Λέγει αὐτοῖς ὁ Ἰησοῦς, "Ἀμὴν λέγω ὑμῖν,
ὅτι οἱ [f]τελῶναι καὶ αἱ [g]πόρναι προάγουσιν ὑμᾶς εἰς
τὴν βασιλείαν τοῦ Θεοῦ. ἦλθε γὰρ πρὸς ὑμᾶς Ἰωάν- 32
νης[19] ἐν ὁδῷ δικαιοσύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ,
[h]οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐπίστευσαν αὐτῷ· ὑμεῖς
δὲ ἰδόντες οὐ[20] [e]μετεμελήθητε ὕστερον τοῦ πιστεῦσαι
αὐτῷ.

"[i]Ἄλλην παραβολὴν ἀκούσατε. [i]ἄνθρωπός τις[21] 33 Ν΄.
ἦν οἰκοδεσπότης, ὅστις [k]ἐφύτευσεν ἀμπελῶνα, καὶ σιθ
φραγμὸν αὐτῷ περιέθηκε, καὶ ὤρυξεν ἐν αὐτῷ ληνόν, β
καὶ [l]ᾠκοδόμησε πύργον, καὶ [m]ἐξέδοτο[22] αὐτὸν γεωργοῖς,
καὶ [n]ἀπεδήμησεν. ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρ- 34
πῶν, ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωρ-
γούς, [o]λαβεῖν τοὺς καρποὺς αὐτοῦ· καὶ λαβόντες οἱ 35

[a] cap. 14. 5.
[b] ver. 46. Vid. cap. 11. 9.
[c] cap. 17. 25; 18. 12; 26. 66.
[d] ver. 33. cap. 20. 1.
[e] ver. 32. cap. 27. 3. 2 Cor. 7. 8, 10. Heb. 7. 21.
[f] Cf. Luc. 7. 29. Vid. cap. 11. 19.
[g] Cf. Luc. 7. 37—50.
[h] Luc. 3. 12.
[i] ver. 33—46, Marc. 12. 1—12. Luc. 20. 9—19.
[k] Ps. 80. 8. Esa. 5. 1. Jer. 2. 21.
[l] Esa. 5. 2.
[m] Cant. 8. 11.
[n] cap. 25. 14, 15. Luc. 15. 13.
[o] Cant. 8. 12.

[1] + τὸ LTTrWH. [2] Ἰωάνου WH. [3] ἐν LTrWH (*non marg.*). [4] Διὰ τί WH. [5] ὡς προφήτην ἔχουσιν τὸν Ἰωάννην (Ἰωάνην WH) LTTrWH. [6] εἶπαν TWH. [7] ποίᾳ ἐν ἐξουσίᾳ B. [8] + τις L. [9] δύο τέκνα TWH *marg.* [10] —καὶ TWH (*non marg.*). [11] —μου TTrWH (*non marg.*) R. [12] —δὲ [L]T (WH *in ver.* 30). [13] Ἐγώ, κύριε· καὶ οὐκ ἀπῆλθεν WH. [14] προσελθὼν δὲ LTTrWH. [15] ἑτέρῳ T. [16] Οὐ θέλω· ὕστερον μεταμεληθεὶς ἀπῆλθεν WH. [17] —αὐτῷ LTTrWHR. [18] ὕστερος LTrWH. [19] Ἰωάννης (Ἰωάνης WH) πρὸς ὑμᾶς LTTrWH. [20] οὐδὲ LTrWHR. [21] —τις LTTrWHR. [22] ἐξέδετο TWH.

γεωργοὶ τοὺς δούλους αὐτοῦ, ὃν μὲν [a]ἔδειραν, ὃν δὲ
36 [b]ἀπέκτειναν, ὃν δὲ [c]ἐλιθοβόλησαν. [d]πάλιν ἀπέστειλεν
ἄλλους δούλους πλείονας τῶν πρώτων· καὶ ἐποίησαν
37 αὐτοῖς ὡσαύτως. ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς
τὸν υἱὸν αὐτοῦ, λέγων, Ἐντραπήσονται τὸν υἱόν μου.
38 Οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν εἶπον ἐν ἑαυτοῖς, [e]Οὗτός
ἐστιν ὁ κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτόν, καὶ
39 **κατάσχωμεν**[1] τὴν κληρονομίαν αὐτοῦ. καὶ λαβόντες
αὐτὸν [f]ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος καὶ ἀπέκτειναν.
40 ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει
41 τοῖς γεωργοῖς ἐκείνοις;" Λέγουσιν αὐτῷ, "Κακοὺς
κακῶς ἀπολέσει αὐτούς· καὶ [g]τὸν ἀμπελῶνα **ἐκδόσε-
ται**[2] ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ
42 τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν." Λέγει αὐτοῖς
ὁ Ἰησοῦς, "Οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς,
[h]'Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος
ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ Κυρίου ἐγένετο
43 αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν;' Διὰ
τοῦτο λέγω ὑμῖν, **ὅτι**[3] ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασι-
λεία τοῦ Θεοῦ, καὶ [g]δοθήσεται ἔθνει ποιοῦντι τοὺς
44 καρποὺς αὐτῆς. [i k]**καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον
συνθλασθήσεται· [k l]ἐφ' ὃν δ' ἂν πέσῃ, [l]λικμήσει αὐτόν**[4]."
σκ/α 45 **Καὶ ἀκούσαντες**[5] οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι τὰς
παραβολὰς αὐτοῦ ἔγνωσαν ὅτι περὶ αὐτῶν λέγει·
46 καὶ [m]ζητοῦντες αὐτὸν κρατῆσαι, [n]ἐφοβήθησαν **τοὺς
ὄχλους**[6], **ἐπειδὴ**[7] **ὡς**[8] προφήτην αὐτὸν εἶχον.
ΝΑ΄.22 ΚΑΙ [o]ἀποκριθεὶς ὁ Ἰησοῦς πάλιν εἶπεν **αὐτοῖς ἐν**
σκα/ε 2 **παραβολαῖς**[9], λέγων, [p]"Ὡμοιώθη ἡ βασιλεία τῶν οὐ-
ρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμους τῷ
3 υἱῷ αὐτοῦ· καὶ [q]ἀπέστειλε τοὺς [r]δούλους αὐτοῦ καλέ-
σαι τοὺς κεκλημένους εἰς τοὺς γάμους, καὶ οὐκ
4 ἤθελον ἐλθεῖν. [d]Πάλιν ἀπέστειλεν ἄλλους [r]δούλους,
λέγων, Εἴπατε τοῖς κεκλημένοις, Ἰδού, τὸ ἄριστόν

[1] *σχῶμεν* LTTrWHR. [2] *ἐκδώσεται* LTTrWH. [3] —*ὅτι* WH *marg.* [4] *v.* 44 *deest in* TR *marg.*, *uncinis includunt* LWH, *etiam* Tr *in margine.* [5] *ἀκούσαντες δὲ* TTr *marg.* WH *marg.* [6] *τὸν ὄχλον* L *marg.* [7] *ἐπεὶ* TTrWH. [8] *εἰς* LTTrWHR. [9] *ἐν παραβολαῖς αὐτοῖς* LTTrWHR.

[a] Heb. 11. 36. Cf. 2 Chr. 24. 19; 36. 15, 16.
[b] 1 Thess. 2. 15. Heb. 11. 37. Cf. 2 Chr. 24. 21.
[c] cap. 22. 6; 23. 37.
[d] cap. 22. 4.
[e] Heb. 1. 2.
[f] Heb. 13. 12.
[g] ver. 43. cap. 8. 11, 12. Cf. Act. 13. 46; 18. 6; 28. 28.
[h] Ps. 118. 22, 23. Act. 4. 11. 1 Pet. 2. 7. Cf. Esa. 28. 16.
[i] (var. lect.) Luc. 20. 18.
[k] Cf. Esa. 8. 14, 15. Rom. 9. 33. 1 Pet. 2. 8.
[l] Dan. 2. 44, 45. Amos 9. 9.
[m] Marc. 11. 18. Luc. 19. 47. Joan. 7. 30.
[n] ver. 26. Cf. cap. 14. 5.
[o] cap. 11. 25.
[p] ver. 2—14, cf. Luc. 14. 16—24. Rev. 19. 7—9.
[q] Cf. Prov. 9. 3, 5.
[r] cap. 20. 27.

μου ἡτοίμασα[1], [a]οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυ-
μένα, καὶ πάντα ἕτοιμα· δεῦτε εἰς τοὺς γάμους. Οἱ 5
δὲ ἀμελήσαντες ἀπῆλθον, ὁ μὲν[2] εἰς τὸν ἴδιον ἀγρόν,
ὁ δὲ[3] εἰς[4] τὴν ἐμπορίαν αὐτοῦ· οἱ δὲ λοιποὶ κρατή- 6
σαντες τοὺς δούλους αὐτοῦ [b]ὕβρισαν καὶ [c]ἀπέκτειναν.
Ἀκούσας δὲ ὁ βασιλεὺς[5] ὠργίσθη, καὶ πέμψας τὰ 7
στρατεύματα[6] αὐτοῦ ἀπώλεσε τοὺς φονεῖς ἐκείνους,
καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησε. Τότε λέγει τοῖς 8
δούλοις αὐτοῦ, Ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ
κεκλημένοι οὐκ ἦσαν [d]ἄξιοι. πορεύεσθε οὖν ἐπὶ τὰς 9
[e]διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἂν[7] εὕρητε, καλέσατε
εἰς τοὺς γάμους. Καὶ ἐξελθόντες οἱ δοῦλοι ἐκεῖνοι 10
εἰς τὰς ὁδοὺς συνήγαγον πάντας ὅσους[8] εὗρον, [f]πονη-
ρούς τε καὶ ἀγαθούς· καὶ ἐπλήσθη ὁ γάμος[9] ἀνακει-
μένων. εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς 11 σκβ
ἀνακειμένους εἶδεν ἐκεῖ ἄνθρωπον [g]οὐκ ἐνδεδυμένον ι
ἔνδυμα γάμου· καὶ λέγει αὐτῷ, [h]Ἑταῖρε, πῶς εἰσῆλθες 12
ὧδε μὴ ἔχων ἔνδυμα γάμου; Ὁ δὲ ἐφιμώθη. τότε 13
εἶπεν ὁ βασιλεὺς[10] τοῖς [i]διακόνοις, Δήσαντες αὐτοῦ
πόδας καὶ χεῖρας, ἄρατε αὐτὸν καὶ[11] ἐκβάλετε[12] [k]εἰς τὸ
σκότος τὸ ἐξώτερον· [k]ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ
βρυγμὸς τῶν ὀδόντων. [l]πολλοὶ γάρ εἰσι [m]κλητοί, 14
ὀλίγοι δὲ [m]ἐκλεκτοί."

[n]Τότε πορευθέντες οἱ Φαρισαῖοι συμβούλιον ἔλα- 15 NB'.
βον ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ. καὶ ἀπο- 16 σκγ
στέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν β
[o]Ἡρωδιανῶν[13], λέγοντες[14], "Διδάσκαλε, οἴδαμεν ὅτι
ἀληθὴς εἶ, καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδά-
σκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός, [p]οὐ γὰρ βλέπεις
εἰς πρόσωπον ἀνθρώπων. εἰπὲ[15] οὖν ἡμῖν, τί σοι 17
δοκεῖ[16]; ἔξεστι δοῦναι [q]κῆνσον [r]Καίσαρι, ἢ οὔ;" Γνοὺς 18
δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν εἶπε, "Τί με πει-

[a] Cf. Prov. 9. 2.
[b] Act. 14. 5. 1 Thess. 2. 2.
[c] Vid. cap. 21. 35.
[d] cap. 10. 11, 13. Act. 13. 46. Rev. 3. 4.
[e] Ezek. 21. 21. Obad. 14.
[f] Cf. cap. 13. 38, 47.
[g] Cf. 2 Reg. 10. 22.
[h] cap. 20. 13; 26. 50.
[i] cap. 20. 26.
[k] Vid. cap. 8. 12.
[l] cap. 20. 14 (var. lect.).
[m] Rev. 17. 14.
[n] ver. 15—32, Marc. 12. 13—27. Luc. 20. 20—38.
[o] Marc. 3. 6. Cf. Marc. 8. 15. Luc. 23. 7.
[p] Cf. Jac. 2. 1, 9. Jud. 16.
[q] ver. 19. cap. 17. 25.
[r] Luc. 2. 1; 3. 1.

1 ἡτοίμακα LTTrWHR. 2 ὃς μὲν LTTrWH. 3 ὃς δὲ LTTr WH. 4 ἐπὶ LTTrWHR. 5 ὁ δὲ βασιλεὺς ἀκούσας L, ὁ δὲ βασιλεὺς (—ἀκούσας) TTrWHR. 6 τὸ στράτευμα Tr *marg.* 7 ἐὰν LTTrWH. 8 οὓς T *secundis curis* WH. 9 νυμφὼν TTr *marg.* WH. 10 ὁ βασιλεὺς εἶπεν LTTr (*non marg.*) WHR. 11 —ἄρατε αὐτὸν καὶ LTTrWHR. 12 + αὐτὸν LTTrWHR. 13 Ἡρῳδιανῶν WH. 14 λέγοντας LTTr (*non marg.*) WHR. 15 εἰπὸν TTr *marg.* WH. 16 ἡμῖν τί σοι δοκεῖ· WH.

19 ῥάζετε, ὑποκριταί; ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ
20 [a]κήνσου." Οἱ δὲ προσήνεγκαν αὐτῷ [b]δηνάριον. καὶ — [a] ver. 18. [b] Vid. cap. 18. 28.
λέγει αὐτοῖς[1], "Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπι-
21 γραφή;" Λέγουσιν αὐτῷ[2], "Καίσαρος." Τότε λέγει
αὐτοῖς, [c]"'Απόδοτε οὖν τὰ Καίσαρος Καίσαρι· καὶ — [c] Rom. 13. 7.
22 τὰ τοῦ Θεοῦ τῷ Θεῷ." Καὶ ἀκούσαντες ἐθαύμασαν·
[d]καὶ ἀφέντες αὐτὸν ἀπῆλθον[3]. — [d] Marc. 12. 12.
ΝΓ'. 23 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ [e]Σαδδουκαῖοι, — [e] cap. 3. 7. Act. 23. 8.
οἱ[4] λέγοντες μὴ εἶναι ἀνάστασιν, καὶ ἐπηρώτησαν
24 αὐτόν, λέγοντες, "Διδάσκαλε, Μωσῆς[5] εἶπεν, [f]'Ἐάν — [f] Deut. 25. 5.
τις ἀποθάνῃ μὴ ἔχων τέκνα,[6] ἐπιγαμβρεύσει ὁ ἀδελ-
φὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἀναστήσει σπέρμα
25 τῷ ἀδελφῷ αὐτοῦ.' Ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ ἀδελ-
φοί· καὶ ὁ πρῶτος **γαμήσας**[7] ἐτελεύτησε· καὶ μὴ
ἔχων σπέρμα, ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ
26 αὐτοῦ. ὁμοίως καὶ ὁ δεύτερος, καὶ ὁ τρίτος, ἕως τῶν
27 ἑπτά. ὕστερον δὲ πάντων ἀπέθανε **καὶ**[8] ἡ γυνή.
28 ἐν τῇ **οὖν ἀναστάσει**[9], τίνος τῶν ἑπτὰ ἔσται γυνή;
29 πάντες γὰρ ἔσχον αὐτήν." Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς
εἶπεν αὐτοῖς, "Πλανᾶσθε, μὴ [g]εἰδότες τὰς γραφάς, — [g] Joan. 20. 9.
30 μηδὲ [h]τὴν δύναμιν τοῦ Θεοῦ. ἐν γὰρ τῇ ἀναστάσει — [h] 1 Cor. 6. 14.
οὔτε [i]γαμοῦσιν, οὔτε [i]**ἐκγαμίζονται**[10], ἀλλ' ὡς ἄγγελοι — [i] cap. 24. 38. Luc. 17. 27.
31 **τοῦ Θεοῦ**[11] ἐν[12] οὐρανῷ εἰσι. περὶ δὲ τῆς ἀναστάσεως
τῶν νεκρῶν, οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ
32 Θεοῦ, λέγοντος, [k]'Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ — [k] Ex. 3. 6. Act. 7. 32. Cf. Heb. 11. 16.
Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ;' Οὐκ ἔστιν **ὁ**[13] Θεὸς
33 **Θεὸς**[14] νεκρῶν, ἀλλὰ ζώντων." Καὶ ἀκούσαντες οἱ
ὄχλοι [l]ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. — [l] Vid. cap. 7. 28.
ΝΔ'. 34 [m]Οἱ δὲ Φαρισαῖοι, ἀκούσαντες ὅτι ἐφίμωσε τοὺς — [m] ver. 34—40, Marc. 12. 28—31. Cf. Luc. 10. 25—28.
σκδ 35 Σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ αὐτό, καὶ ἐπηρώτη-
ς σεν εἷς ἐξ αὐτῶν [n]νομικός, πειράζων αὐτόν, **καὶ λέγων**[15], — [n] Luc. 7. 30; 10. 25; 11. 45, 46, 52; 14. 3. Tit. 3. 13.
36, 37 "Διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ;" Ὁ δὲ

[1] +ὁ Ἰησοῦς LTWH *marg.* [2] —αὐτῷ TWH. [3] ἀπῆλθαν LTTrWH. [4] —οἱ LTTrWHR. [5] Μωϋσῆς LTTrWH. [6] +ἵνα L. [7] γήμας LTTrWH. [8] —καὶ T[Tr]WHR. [9] ἀναστάσει οὖν LTTrWHR. [10] γαμίζονται LTTrWH. [11] —τοῦ T, —τοῦ Θεοῦ LTrWH.R (*non marg.*). [12] +τῷ LTTrWH. [13] —ὁ T[WH]. [14] —Θεὸς LTTrWHR. [15] — καὶ λέγων LTTrWHR.

᾿Ιησοῦς[1] εἶπεν[2] αὐτῷ, [a]“᾿Αγαπήσεις Κύριον τὸν Θεόν
σου, ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου,
καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου. αὕτη ἐστὶ πρώτη καὶ με- 38
γάλη[3] ἐντολή. δευτέρα δὲ[4] ὁμοία[5] αὐτῇ[6], [b]᾿Αγαπήσεις 39
τὸν πλησίον σου ὡς σεαυτόν. [c]ἐν ταύταις ταῖς δυσὶν 40
ἐντολαῖς ὅλος [d]ὁ νόμος καὶ οἱ προφῆται κρέμανται[7].”
[e]Συνηγμένων δὲ τῶν Φαρισαίων, ἐπηρώτησεν αὐ- 41 ΝΕ.
τοὺς ὁ ᾿Ιησοῦς, λέγων, “Τί ὑμῖν δοκεῖ περὶ τοῦ 42 σκε β
Χριστοῦ; τίνος υἱός ἐστι;” Λέγουσιν αὐτῷ, [f]“Τοῦ
Δαβὶδ[8].” Λέγει αὐτοῖς, “Πῶς οὖν Δαβὶδ[8] [g]ἐν πνεύ- 43
ματι κύριον αὐτὸν καλεῖ[9]; λέγων, [h]‘Εἶπεν ὁ[10] Κύριος 44
τῷ κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς
ἐχθρούς σου ὑποπόδιον[11] τῶν ποδῶν σου.’ Εἰ οὖν 45
Δαβὶδ[8] καλεῖ αὐτὸν κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι;”
[i]Καὶ οὐδεὶς ἐδύνατο αὐτῷ ἀποκριθῆναι[12] λόγον· οὐδὲ 46 σκϛ β
ἐτόλμησέ τις ἀπ᾿ ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι
αὐτὸν οὐκέτι.

23 [k]ΤΟΤΕ ὁ[13] ᾿Ιησοῦς ἐλάλησε τοῖς ὄχλοις καὶ τοῖς ΝϚ.
μαθηταῖς αὐτοῦ, λέγων, [l]“᾿Επὶ τῆς Μωσέως[14] καθ- 2 σκζ ι
έδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι·
πάντα οὖν ὅσα ἂν[15] εἴπωσιν ὑμῖν τηρεῖν[16], τηρεῖτε καὶ 3
ποιεῖτε[17]· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε· [m]λέγουσι
γὰρ καὶ οὐ ποιοῦσι. [n]δεσμεύουσι γὰρ[18] φορτία βαρέα 4 σκη ε
καὶ δυσβάστακτα[19], καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους
τῶν ἀνθρώπων· τῷ δὲ[20] δακτύλῳ αὐτῶν[21] οὐ θέλουσι
κινῆσαι αὐτά. πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι [o]πρὸς 5 σκθ β
τὸ θεαθῆναι τοῖς ἀνθρώποις. [p]πλατύνουσι δὲ[22] τὰ
φυλακτήρια αὐτῶν, καὶ [q]μεγαλύνουσι τὰ κράσπεδα
τῶν ἱματίων αὐτῶν[23]· [r]φιλοῦσί τε[24] τὴν πρωτοκλισίαν 6
ἐν τοῖς δείπνοις, καὶ [r]τὰς πρωτοκαθεδρίας ἐν ταῖς

[a] Deut. 6. 5.
[b] Lev. 19. 18. Vid. cap. 19. 19.
[c] Cf. Rom. 13. 10.
[d] cap. 7. 12.
[e] ver. 41—45, Marc. 12. 35—37. Luc. 20. 41—44.
[f] Vid. cap. 1. 1.
[g] Rev. 1. 10; 4. 2. Cf. 2 Sam. 23. 2.
[h] Ps. 110. 1. Act. 2. 34, 35. Heb. 1. 13. Cf. 1 Cor. 15. 25. Heb. 10. 13.
[i] Marc. 12. 34. Luc. 14. 6; 20. 40.
[k] ver. 1—7, Marc. 12. 38, 39. Luc. 20. 45, 46.
[l] Cf. Ezra 7. 6, 10, 25. Neh. 8. 4.
[m] Cf. Rom. 2. 19—23.
[n] Luc. 11. 46. Cf. Act. 15. 10.
[o] cap. 6. 1, 2, 5, 16.
[p] Ex. 13. 9. Deut. 6. 8; 11. 18.
[q] Num. 15. 38. Deut. 22. 12. Cf. cap. 9. 20.
[r] Luc. 11. 43; 14. 7. Cf. 3 Joan. 9.

[1] —᾿Ιησοῦς LTTrWHR. [2] ἔφη LTTrWH. [3] ἐστὶν ἡ μεγάλη καὶ πρώτη LTTrWHR. [4] —δὲ TWH. [5] ὁμοίως WH *marg.* [6] αὕτη WH *text.* (*non marg.*) R (*non marg.*). [7] κρέμαται καὶ οἱ προφῆται LTTrWHR. [8] Δαυείδ LTTrWH. [9] καλεῖ αὐτὸν κύριον LTr *marg.* WH *text.*, καλεῖ κύριον αὐτόν TWH *marg.* [10] —ὁ LTTrWH. [11] ὑποκάτω LTTrWHR. [12] ἀποκριθῆναι αὐτῷ LTTrWH. [13] [ὁ] WH. [14] Μωϋσέως LTTrWH. [15] ἐὰν TWH. [16] —τηρεῖν LTTrWHR. [17] ποιήσατε καὶ τηρεῖτε LTTrWHR. [18] δὲ LTTrWHR. [19] —καὶ δυσβάστακτα T[Tr]WH (*non marg.*) R *marg.* [20] αὐτοὶ δὲ τῷ LTTrWHR. [21] αὐτῶν LTTrWH. [22] γὰρ LTTrWHR. [23] —τῶν ἱματίων αὐτῶν LTTrWHR. [24] δὲ LTTrWHR.

7 συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς,
καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων, [a]**ῥαββί, ῥαββί**[1]·
σλ 8 [b]ὑμεῖς δὲ μὴ κληθῆτε, **ῥαββί**[2]· εἷς γάρ ἐστιν ὑμῶν ὁ
ι [c]**καθηγητής**[3], **ὁ Χριστός**[4]· πάντες δὲ ὑμεῖς ἀδελφοί
9 ἐστε. καὶ [d]πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς·
[e]εἷς γάρ ἐστιν **ὁ πατὴρ ὑμῶν**[5], ὁ **ἐν τοῖς οὐρανοῖς**[6].
10 μηδὲ κληθῆτε, καθηγηταί· **εἷς γὰρ ὑμῶν ἐστιν ὁ καθη-**
σλα 11 **γητής**[7], ὁ Χριστός. [f]ὁ δὲ μείζων ὑμῶν ἔσται ὑμῶν
ε 12 διάκονος. [g]ὅστις δὲ ὑψώσει ἑαυτόν, ταπεινωθήσεται·
καὶ ὅστις ταπεινώσει ἑαυτόν, ὑψωθήσεται.
13 “**Οὐαὶ δὲ ὑμῖν, γραμματεῖς καὶ [h]Φαρισαῖοι, ὑποκριταί,**
ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει
μακρὰ προσευχόμενοι· διὰ τοῦτο λήψεσθε περισσότερον
σλβ 14 **κρίμα.**[8] [h]Οὐαὶ[9] ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι,
ε ὑποκριταί, [i]ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν
ἔμπροσθεν τῶν ἀνθρώπων· ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε,
σλγ 15 οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν. Οὐαὶ
ι ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι
περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν ποιῆσαι ἕνα
[k]προσήλυτον, καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν
16 γεέννης διπλότερον ὑμῶν. Οὐαὶ ὑμῖν, [l]ὁδηγοὶ τυφλοί,
οἱ λέγοντες, [m]Ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν·
ὃς δ᾽ ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει.
17 μωροὶ καὶ τυφλοί· [n]**τίς**[10] γὰρ **μείζων**[11] ἐστίν, ὁ χρυσός,
18 ἢ ὁ ναὸς ὁ **ἁγιάζων**[12] τὸν χρυσόν; καί, Ὃς **ἐὰν**[13]
ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ, οὐδέν ἐστιν· ὃς δ᾽ ἂν
19 ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω αὐτοῦ, ὀφείλει. **μωροὶ**
καὶ[14] τυφλοί· τί γὰρ μεῖζον, [o]τὸ δῶρον, ἢ τὸ θυσια-
20 στήριον τὸ ἁγιάζον τὸ δῶρον; ὁ οὖν ὀμόσας ἐν τῷ
[p]θυσιαστηρίῳ ὀμνύει ἐν αὐτῷ καὶ ἐν πᾶσι τοῖς ἐπάνω
21 αὐτοῦ· καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ ὀμνύει ἐν αὐτῷ καὶ

[a] Vid. Joan. 1. 39.
[b] Jac. 3. 1.
[c] (var. lect.) Joan. 13. 13.
[d] Mal. 1. 6.
[e] cap. 6. 9; 7. 11.
[f] cap. 20. 26.
[g] Luc. 14. 11; 18. 14. Cf. Prov. 29. 23. Ezek. 21. 26. Jac. 4. 6. 1 Pet. 5. 5.
[h] cap. 3. 7.
[i] Luc. 11. 52.
[k] Act. 2. 10; 6. 5; 13. 43.
[l] ver. 24. cap. 15. 14.
[m] Cf. cap. 5. 33.
[n] Cf. Ex. 30. 29.
[o] cap. 5. 23.
[p] Ex. 29. 37.

[1] ῥαββεί TWH (*deest unum* ῥαββί *etiam apud* LTrWHR). [2] ῥαββεί TWH. [3] διδάσκαλος LTTrWHR. [4] —ὁ Χριστός LTTrWHR. [5] ὑμῶν ὁ πατὴρ LTTrWH. [6] οὐράνιος LTTrWHR. [7] ὅτι καθηγητὴς ὑμῶν ἐστὶν εἷς LTTrWH. [8] *v.* 13 *omittunt* LTTrWH.R (*non marg.*), *post v.* 14 *ponunt* BE (—δὲ *v.* 13 BE, *at* [9] +δὲ *v.* 14 *post* Οὐαὶ BELTTrWH). [10] τί L. [11] μεῖζον L. [12] ἁγιάσας LTTrWHR. [13] ἂν LTTrWH. [14] —μωροὶ καὶ TTrWH (*non marg.*) R, [μωροὶ καὶ] L.

[a]ἐν τῷ **κατοικοῦντι**[1] αὐτόν· καὶ ὁ ὀμόσας ἐν τῷ 22
οὐρανῷ ὀμνύει [b]ἐν τῷ θρόνῳ τοῦ Θεοῦ καὶ ἐν τῷ
καθημένῳ ἐπάνω αὐτοῦ.

[c]"Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκρι- 23 σλδ
ταί, [c]ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον ε
καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου,
τὴν κρίσιν καὶ **τὸν ἔλεον**[2] καὶ τὴν πίστιν· [d]ταῦτα[3]
ἔδει ποιῆσαι, κἀκεῖνα μὴ **ἀφιέναι**[4]. [e]ὁδηγοὶ τυφλοί, 24 σλε
οἱ[5] διϋλίζοντες τὸν κώνωπα, [f]τὴν δὲ κάμηλον κατα- ι
πίνοντες. Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, 25 σλϛ
ὑποκριταί, [g]ὅτι καθαρίζετε [h]τὸ ἔξωθεν τοῦ ποτηρίου ε
καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν **ἐξ**[6] ἁρπαγῆς
καὶ [i]ἀκρασίας. Φαρισαῖε τυφλέ, καθάρισον πρῶτον 26
τὸ ἐντὸς [k]τοῦ ποτηρίου **καὶ τῆς παροψίδος**[7], ἵνα γένη-
ται καὶ τὸ ἐκτὸς **αὐτῶν**[8] καθαρόν.

"Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκρι- 27 σλζ
ταί, [l]ὅτι **παρομοιάζετε**[9] τάφοις [m]κεκονιαμένοις, οἵτινες ε
ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν
[n]ὀστέων νεκρῶν καὶ [o]πάσης ἀκαθαρσίας. οὕτω καὶ 28
ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι,
ἔσωθεν δὲ **μεστοί ἐστε**[10] ὑποκρίσεως καὶ ἀνομίας.
[p]Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί, 29 σλη
[p]ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν, καὶ ε
κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων, καὶ λέγετε, Εἰ 30
ἤμεν[11] ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν
ἤμεν[11] **κοινωνοὶ αὐτῶν**[12] ἐν τῷ αἵματι τῶν προφητῶν.
[q]ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευ- 31
σάντων τοὺς προφήτας· καὶ [r]ὑμεῖς **πληρώσατε**[13] τὸ 32 σλθ
μέτρον τῶν πατέρων ὑμῶν. ὄφεις, [s]γεννήματα ἐχιδ- 33 ι
νῶν, πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης;
[t]Διὰ τοῦτο, ἰδού[14], ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προ- 34 σμ
φήτας καὶ σοφοὺς καὶ [u]γραμματεῖς· **καὶ**[15] ἐξ αὐτῶν ε

[a] 1 Reg. 8. 13. 2 Chr. 6. 2. Ps. 26. 8; 132. 14.
[b] Vid. cap. 5. 34.
[c] Luc. 11. 42.
[d] Cf. 1 Sam. 15. 22.
[e] Vid. ver. 16.
[f] cap. 19. 24.
[g] Luc. 11. 39.
[h] Cf. cap. 15. 20.
[i] 1 Cor. 7. 5.
[k] Marc. 7. 4.
[l] Luc. 11. 44.
[m] Act. 23. 3.
[n] Num. 19. 16.
[o] Eph. 5. 3.
[p] Luc. 11. 47.
[q] Cf. Luc. 11. 48. Act. 7. 51, 52.
[r] 1 Thess. 2. 16. Cf. Gen. 15. 16. Dan. 8. 23.
[s] cap. 3. 7; 12. 34.
[t] ver. 34—36, cf. Luc. 11. 49—51.
[u] cap. 13. 52.

[1] κατοικήσαντι TrWH *marg.* [2] τὸ ἔλεος LTTrWH. [3] +δὲ LTrWHR. [4] ἀφεῖναι LTTrWHR. [5] —οἱ LTrWH. [6] —ἐξ L[Tr]. [7] —καὶ τῆς παροψίδος T[WH]. [8] αὐτοῦ LTTrWHR. [9] ὁμοιάζετε LTr (*non marg.*) WH *marg.* [10] ἐστε μεστοὶ LTTrWH. [11] ἤμεθα LTTrWH. [12] αὐτῶν κοινωνοὶ LTrWH. [13] πληρώσετε WH *marg.* [14] Ἰδοὺ WH *marg.* [15] —καὶ LTTrWHR.

[a]ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν [b]μαστι-
γώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν, καὶ [c]διώξετε ἀπὸ
35 πόλεως εἰς πόλιν· ὅπως ἔλθῃ ἐφʼ ὑμᾶς πᾶν αἷμα
δίκαιον **ἐκχυνόμενον**[1] ἐπὶ τῆς γῆς, [d]ἀπὸ τοῦ αἵματος
Ἄβελ[2] τοῦ δικαίου, ἕως τοῦ αἵματος Ζαχαρίου [e]υἱοῦ
Βαραχίου, [f]ὃν ἐφονεύσατε μεταξὺ [g]τοῦ ναοῦ καὶ τοῦ
36 [h]θυσιαστηρίου. ἀμὴν λέγω ὑμῖν, [i]ἥξει **ταῦτα πάντα**[3]
σμα 37 ἐπὶ τὴν γενεὰν ταύτην. [k]Ἱερουσαλήμ[4], Ἱερουσαλήμ[4],
ε ἡ [a]ἀποκτείνουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα
τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα
ἐπισυναγαγεῖν τὰ τέκνα σου, [l]ὃν τρόπον **ἐπισυνάγει**
ὄρνις[5] τὰ νοσσία **ἑαυτῆς**[6] [m]ὑπὸ τὰς πτέρυγας[7], καὶ
38 οὐκ ἠθελήσατε; ἰδού, [n]ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν
39 **ἔρημος**[8]. λέγω γὰρ ὑμῖν, Οὐ μή με ἴδητε ἀπʼ ἄρτι,
ἕως ἂν εἴπητε, [o]Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι
Κυρίου."

σμβ 24 [p]ΚΑΙ ἐξελθὼν ὁ Ἰησοῦς **ἐπορεύετο ἀπὸ τοῦ ἱεροῦ**[9]·
β καὶ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ ἐπιδεῖξαι αὐτῷ τὰς
2 οἰκοδομὰς τοῦ ἱεροῦ. ὁ δὲ **Ἰησοῦς**[10] εἶπεν αὐτοῖς,
"Οὐ[11] βλέπετε **πάντα ταῦτα**[12]; ἀμὴν λέγω ὑμῖν, [q]οὐ μὴ
ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ **μὴ**[13] καταλυθή-
ΝΖʹ. 3 σεται." Καθημένου δὲ αὐτοῦ ἐπὶ [r]τοῦ ὄρους τῶν
σμγ ἐλαιῶν, προσῆλθον αὐτῷ οἱ μαθηταὶ[14] κατʼ ἰδίαν,
β λέγοντες, "**Εἰπὲ**[15] ἡμῖν, πότε ταῦτα ἔσται; καὶ τί τὸ
σημεῖον τῆς σῆς [s]παρουσίας, καὶ **τῆς**[16] [t]συντελείας
4 τοῦ αἰῶνος;" Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς,
5 "[u]Βλέπετε, μή τις ὑμᾶς πλανήσῃ. [x]πολλοὶ γὰρ ἐλεύ-
σονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες, Ἐγώ εἰμι ὁ
6 Χριστός· καὶ [y]πολλοὺς πλανήσουσι[17]. Μελλήσετε δὲ
ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων. ὁρᾶτε, μὴ
θροεῖσθε· δεῖ γὰρ **πάντα**[18] γενέσθαι. ἀλλʼ [z]οὔπω ἐστὶ

1 ἐκχυννόμενον LTTrWH. 2 Ἅβελ WH. 3 πάντα ταῦτα LTr (*non marg.*) WH *marg.* 4 Ἰερουσαλήμ WH: *sic passim.* 5 ὄρνις ἐπισυνάγει LTTrWH. 6 —ἑαυτῆς LR, *at* αὐτῆς T, [αὐτῆς] TrWH. 7 +[αὐτῆς] LTr *marg.* 8 —ἔρημος LWH (*non marg.*) R *marg.* 9 ἀπὸ (ἐκ L) τοῦ ἱεροῦ ἐπορεύετο LTTrWHR. 10 ἀποκριθεὶς LTTrWHR. 11 [οὐ] Tr *marg.* 12 ταῦτα πάντα LTTrWH. 13 —μὴ LTTrWHR. 14 +[αὐτοῦ] L. 15 εἰπόν WH. 16 —τῆς LTTrWH. 17 πλανήσουσιν ELTTrWH. 18 —πάντα LTTrWHR.

[a] ver. 37. Vid. cap. 21. 35.
[b] Vid. cap. 10. 17.
[c] Cf. cap. 10. 23.
[d] Gen. 4. 4, 8. Heb. 11. 4.
[e] Cf. Zech. 1. 1.
[f] 2 Chr. 24. 21.
[g] 2 Reg. 6. 2, &c. cap. 27. 5. Luc. 1. 9.
[h] Ex. 40. 6, 29. 2 Reg. 16. 14. Ezek. 40. 47.
[i] Cf. cap. 16. 28.
[k] ver. 37—39, Luc. 13. 34, 35.
[l] 2 Esdras 1. 30. Cf. Deut. 32. 12.
[m] Ruth 2. 12.
[n] Cf. Esa. 64. 11.
[o] cap. 21. 9. Ps. 118. 26.
[p] ver. 1—51, Marc. 13. 1—37. Luc. 21. 5—36.
[q] Luc. 19. 44.
[r] Vid. cap. 21. 1.
[s] ver. 27, 37, 39, 1 Cor. 15. 23. 1 Thess. 2. 19; 3. 13; 4. 15; 5. 23.
[t] Vid. cap. 13. 39.
[u] Jer. 29. 8. Eph. 5. 6. Col. 2. 8. 2 Thess. 2. 3. 1 Joan. 3. 7.
[x] ver. 24. Jer. 14. 14; 23. 21, 25. Cf. 1 Joan. 2. 18; 4. 3.
[y] ver. 11.
[z] 2 Thess. 2. 2. Cf. Jer. 4. 27; 5. 18.

τὸ τέλος. [a] Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ[1] ἔθνος, καὶ 7
[b] βασιλεία ἐπὶ βασιλείαν· καὶ ἔσονται [c] λιμοὶ καὶ λοι-
μοί[2], καὶ σεισμοὶ κατὰ τόπους. πάντα δὲ ταῦτα ἀρχὴ 8
[d] ὠδίνων. [e] Τότε παραδώσουσιν ὑμᾶς [f] εἰς θλίψιν[3], 9 σμδ
καὶ [g] ἀποκτενοῦσιν ὑμᾶς· καὶ [h] ἔσεσθε μισούμενοι ὑπὸ α
πάντων τῶν[4] ἐθνῶν διὰ τὸ ὄνομά μου. καὶ τότε 10 σμε
[i] σκανδαλισθήσονται πολλοί, καὶ ἀλλήλους παραδώ- ι
σουσι, καὶ μισήσουσιν ἀλλήλους· καὶ πολλοὶ [k] ψευδο- 11
προφῆται ἐγερθήσονται, καὶ [l] πλανήσουσι πολλούς·
καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ 12
ἀγάπη τῶν πολλῶν· [m] ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος 13
σωθήσεται. καὶ κηρυχθήσεται τοῦτο [n] τὸ εὐαγγέλιον 14 σμϛ
τῆς βασιλείας [o] ἐν ὅλῃ [p] τῇ οἰκουμένῃ [q] εἰς μαρτύριον ϛ
πᾶσι τοῖς ἔθνεσι. καὶ τότε ἥξει τὸ τέλος. [r] Ὅταν 15 σμζ
οὖν ἴδητε [r] τὸ βδέλυγμα τῆς ἐρημώσεως, [r] τὸ ῥηθὲν διὰ ϛ
Δανιὴλ τοῦ προφήτου, ἑστὸς[5] [s] ἐν τόπῳ ἁγίῳ· ([t] ὁ
ἀναγινώσκων νοείτω·[6]) τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέ- 16 σμη
τωσαν ἐπὶ[7] τὰ ὄρη· [u] ὁ [x] ἐπὶ τοῦ δώματος μὴ κατα- 17 β
βαινέτω[8] ἆραί τι[9] ἐκ τῆς οἰκίας αὐτοῦ· καὶ ὁ ἐν τῷ 18
ἀγρῷ μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι [y] τὰ ἱμάτια[10] αὐτοῦ.
[z] οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζού- 19 σμθ
σαις ἐν ἐκείναις ταῖς ἡμέραις. προσεύχεσθε δὲ ἵνα 20 β σν
μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος, μηδὲ ἐν[11] σαβ- ϛ
βάτῳ. [y] Ἔσται γὰρ τότε [a] θλίψις μεγάλη, οἵα οὐ γέ- 21 σνα
γονεν[12] ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδ' οὐ μὴ β
γένηται. καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι 22 σνβ
οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· [b] διὰ δὲ τοὺς ἐκλεκτοὺς ϛ
κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι. [c] Τότε ἐάν τις 23 σνγ
ὑμῖν εἴπῃ, Ἰδού, ὧδε ὁ Χριστός, ἤ ὧδε, μὴ πιστεύ- β
σητε[13]. [d] Ἐγερθήσονται γὰρ [e] ψευδόχριστοι καὶ [k] ψευ- 24 σνδ
δοπροφῆται, καὶ [f] δώσουσι σημεῖα μεγάλα καὶ τέρατα, ϛ
[g] ὥστε πλανῆσαι[14], εἰ δυνατόν, καὶ [h] τοὺς ἐκλεκτούς. 25
ἰδού, προείρηκα ὑμῖν. ἐὰν οὖν εἴπωσιν ὑμῖν, Ἰδού, 26 σνε ε

[1] ἐπ' T. [2] —καὶ λοιμοί LTTr ([Tr marg.]) WHR. [3] θλῖψιν LTr passim. [4] —τῶν E. [5] ἑστὼς BE. [6] νοείτω; Tr. [7] εἰς LTrWH (non marg.). [8] καταβάτω LTTrWH. [9] τὰ LTTr WHR. [10] τὸ ἱμάτιον LTTrWHR. [11] —ἐν LTTrWHR. [12] οὐκ ἐγένετο T. [13] πιστεύετε L. [14] πλανᾶσθαι L marg. TrWH (non marg.), πλανηθῆναι T.

[a] 2 Chr. 15. 6. [b] Esa. 19. 2. [c] Act. 11. 28. [d] Act. 2. 24. [e] cap. 10. 17, 21. [f] Rev. 2. 10. [g] Joan. 16. 2. [h] cap. 10. 22. Joan. 15. 18—20. [i] Vid. cap. 11. 6. [k] ver. 24. Vid. cap. 7. 15. [l] ver. 5. [m] cap. 10. 22. [n] cap. 4. 23. [o] Rom. 1. 8. Col. 1. 6, 23. [p] Luc. 2. 1; 4. 5. Act. 11. 28; 17. 6, 31; 19. 27. Rom. 10. 18. Heb. 1. 6; 2. 5. Rev. 3. 10; 16. 14. [q] cap. 8. 4; 10. 18. [r] Dan. 9. 27; 11. 31; 12. 11. [s] Joan. 11. 48. Act. 6. 13, 14; 21. 28. [t] Cf. Dan. 9. 23, 25. [u] Luc. 17. 31. [x] cap. 10. 27. Luc. 5. 19; 12. 3. Act. 10. 9. Cf. 1 Sam. 9. 25. 2 Sam. 11. 2. [y] (var. lect.) cap. 5. 40. [z] Luc. 23. 29. [a] ver. 29. Dan. 12. 1. [b] ver. 24, 31. Cf. Esa. 65. 8, 9. [c] Luc. 17. 23.
[d] Vid. ver. 4. [e] Cf. 1 Joan. 2. 18; 4. 1. 2 Joan. 7. [f] Cf. Deut. 13. 1—3. 2 Thess. 2. 9—11. Rev. 13. 13, 14; 16. 14; 19. 20. [g] ver. 5. [h] Luc. 18. 7.

[a]ἐν τῇ ἐρήμῳ ἐστί, μὴ ἐξέλθητε· Ἰδού, ἐν τοῖς
σνϛ 27 ταμείοις, μὴ πιστεύσητε. [b]ὥσπερ γὰρ ἡ ἀστραπὴ
ε ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται ἕως δυσμῶν,
οὕτως ἔσται καὶ[1] ἡ [c]παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώ-
σνζ 28 που. [d]ὅπου γὰρ[2] ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσον-
ε/σνη 29 ται οἱ ἀετοί. Εὐθέως δὲ μετὰ [e]τὴν θλίψιν τῶν ἡμε-
β ρῶν ἐκείνων, [f]ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη
οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ [g]οἱ ἀστέρες πεσοῦνται
ἀπὸ[3] τοῦ οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σα-
σνθ 30 λευθήσονται. καὶ τότε φανήσεται [h]τὸ σημεῖον τοῦ
β υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ[4] οὐρανῷ· καὶ τότε[5] [i]κόψον-
ται πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ [k]ὄψονται τὸν υἱὸν
τοῦ ἀνθρώπου, ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρα-
31 νοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. καὶ [l]ἀποστελεῖ
τοὺς ἀγγέλους αὐτοῦ μετὰ [m]σάλπιγγος φωνῆς[6] μεγά-
λης, καὶ ἐπισυνάξουσι [n]τοὺς ἐκλεκτοὺς αὐτοῦ [o]ἐκ τῶν
τεσσάρων ἀνέμων, [p]ἀπ' ἄκρων οὐρανῶν ἕως[7] ἄκρων
αὐτῶν.

32 "Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν· ὅταν
ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλός, καὶ τὰ φύλλα
33 ἐκφύῃ[8], γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος· οὕτω καὶ
ὑμεῖς, ὅταν ἴδητε πάντα ταῦτα[9], γινώσκετε ὅτι ἐγγύς
34 ἐστιν [q]ἐπὶ θύραις. [r]ἀμὴν λέγω ὑμῖν[10], οὐ μὴ παρέλθῃ
35 ἡ γενεὰ αὕτη, ἕως ἂν[11] πάντα ταῦτα[12] γένηται. [s]Ὁ
οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται[13], [t]οἱ δὲ λόγοι μου
ΝΗ'. 36 οὐ μὴ παρέλθωσι. Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ
σξ τῆς[14] ὥρας [u]οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν,
ε/σξα 37 εἰ[15] μὴ [u][x]ὁ πατήρ μου[16] μόνος. [y]Ὥσπερ δὲ[17] αἱ ἡμέραι
ε τοῦ Νῶε, οὕτως ἔσται καὶ[18] ἡ [c]παρουσία τοῦ υἱοῦ τοῦ
38 ἀνθρώπου. [y]ὥσπερ[19] γὰρ ἦσαν ἐν ταῖς ἡμέραις[20] ταῖς
πρὸ τοῦ κατακλυσμοῦ, τρώγοντες καὶ πίνοντες,
[z]γαμοῦντες καὶ ἐκγαμίζοντες[21], ἄχρι ἧς ἡμέρας εἰσῆλθε

[1] —καὶ LTTrWHR. [2] —γὰρ LTTrWHR. [3] ἐκ T. [4] —τῷ LTTrWH. [5] —τότε T. [6] —φωνῆς TWH (*non marg.*) R *marg.* [7] +τῶν LTr[WH]. [8] ἐκφυῇ LTr. [9] ταῦτα πάντα TTr (*non marg.*). [10] +ὅτι LTrWH. [11] [ἂν] WH. [12] ταῦτα πάντα Tr *marg.* [13] παρελεύσεται LTTrWH. [14] —τῆς LTTrWHR. [15] +οὐδὲ ὁ υἱὸς LTWHR (*text., non marg.*). [16] —μου LTTrWHR. [17] γὰρ LTrWH. [18] —καὶ LTTrWHR. [19] ὡς LTWH, ὧς Tr. [20] +ἐκείναις L[TrWH]R. [21] γαμίσκοντες L, γαμίζοντες TWH, [ἐκ]γαμίζοντες Tr *marg.*

[a] Act. 21. 38.
[b] Luc. 17. 24.
[c] ver. 37, 39, vid. ver. 3.
[d] Luc. 17. 37. Cf. Job 39. 30.
[e] ver. 21.
[f] Esa. 13. 10, 24. 23. Ezek. 32. 7. Joel 2. 10, 31; 3. 15. Act. 2. 20. Cf. Amos 5. 20; 8. 9. Zeph. 1. 15. Rev. 6. 12; 8. 12.
[g] Rev. 6. 13.
[h] Dan. 7. 13.
[i] ver. 3. Rev. 1. 7.
[k] Vid. cap. 16. 27. cap. 26. 64.
[l] cap. 13. 41.
[m] Esa. 27. 13. 1 Cor. 15. 52. 1 Thess. 4. 16.
[n] ver. 22.
[o] Dan. 7. 2. Rev. 7. 1.
[p] Deut. 4. 32.
[q] Jac. 5. 9. Rev. 3. 20.
[r] Cf. cap. 16. 28.
[s] Ps. 102. 26. Esa. 51. 6. cap. 5. 18. 2 Pet. 3. 10.
[t] Ps. 119. 89. Esa. 40. 8.
[u] Act. 1. 7.
[x] Zech. 14. 7.
[y] Luc. 17. 26, 27.
[z] cap. 22. 30.

[a]Νῶε εἰς τὴν κιβωτόν, καὶ οὐκ ἔγνωσαν, ἕως ἦλθεν 39
ὁ κατακλυσμὸς καὶ ἦρεν ἅπαντας, οὕτως ἔσται **καὶ**[1]
ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.
[b]"Τότε **δύο ἔσονται**[2] ἐν τῷ ἀγρῷ· ὁ[3] εἷς παραλαμ- 40 σξβ
βάνεται, καὶ ὁ[3] εἷς ἀφίεται. [c]δύο ἀλήθουσαι [d]ἐν τῷ 41 ε
μύλωνι[4]· μία παραλαμβάνεται, καὶ μία ἀφίεται.
[e]"Γρηγορεῖτε οὖν, [f]ὅτι οὐκ οἴδατε ποίᾳ **ὥρᾳ**[5] ὁ 42 σξγ
κύριος ὑμῶν ἔρχεται· [g]ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει 43 ς
ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ [h]κλέπτης ἔρχεται, σξδ β
[e]ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν εἴασε [i]**διορυγῆναι**[6] τὴν
οἰκίαν αὐτοῦ. διὰ τοῦτο [k]καὶ ὑμεῖς γίνεσθε [l]ἕτοιμοι· 44
[f]ὅτι ᾗ **ὥρᾳ οὐ δοκεῖτε**[7], ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.
[m]Τίς ἄρα ἐστὶν ὁ [n]πιστὸς δοῦλος καὶ [o]φρόνιμος, ὃν 45 σξε
κατέστησεν ὁ κύριος **αὐτοῦ**[8] ἐπὶ τῆς **θεραπείας**[9] αὐτοῦ, ε
τοῦ **διδόναι**[10] αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ; [p]μακάριος 46 σξς
ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ε
ποιοῦντα οὕτως[11]. Ἀμὴν λέγω ὑμῖν, [q]ὅτι ἐπὶ πᾶσι 47
τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. Ἐὰν δὲ 48 σξζ
εἴπῃ ὁ κακὸς δοῦλος **ἐκεῖνος**[12] ἐν τῇ καρδίᾳ αὐτοῦ, [r]Χρο- ε
νίζει **ὁ κύριός μου**[13] **ἐλθεῖν**[14], καὶ ἄρξηται τύπτειν τοὺς 49
συνδούλους[15], **ἐσθίειν**[16] δὲ καὶ **πίνειν**[17] μετὰ τῶν μεθυόν-
των, ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου [s]ἐν ἡμέρᾳ ᾗ οὐ 50
προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, καὶ διχοτομή- 51
σει αὐτόν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν
θήσει· [t]ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν
ὀδόντων.
"ΤΟΤΕ ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν 25 ΝΘʹ.
[u]δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς [x]λαμπάδας σξη
αὐτῶν[18] ἐξῆλθον εἰς **ἀπάντησιν**[19] [y]τοῦ νυμφίου[20]. πέντε 2 ι
δὲ **ἦσαν ἐξ αὐτῶν**[21] [o]**φρόνιμοι**[22], καὶ **αἱ**[23] πέντε **μωραί**[24].

[a] Gen. 6. 9; 7. 5.
[b] Luc. 17. 36 (var. lect.).
[c] Luc. 17. 35.
[d] Ex. 11. 5. Esa. 47. 2.
[e] ver. 43. Luc. 12. 37. Act. 20. 31. 1 Cor. 16. 13. Col. 4. 2. 1 Thess. 5. 6, 10. 1 Pet. 5. 8. Rev. 3. 2, 3; 16. 15.
[f] ver. 44. cap. 25. 13.
[g] Luc. 12. 39.
[h] 1 Thess. 5. 2. 2 Pet. 3. 10. Rev. 3. 3; 16. 15.
[i] Vid. cap. 6. 19.
[k] Luc. 12. 40.
[l] cap. 25. 10.
[m] ver. 45—51. Luc. 12. 42—46.
[n] 1 Cor. 4. 2. Heb. 3. 5. Cf. ch. 25. 21, 23.
[o] cap. 7. 24; 10. 16; 25. 2.
[p] Rev. 16. 15.
[q] Cf. cap. 25. 21, 23.
[r] cap. 25. 5.
[s] Cf. 2 Pet. 3. 12.
[t] Vid. cap. 8. 12.
[u] Luc. 19. 13.
[x] Joan. 18. 3. Act. 20. 8. Rev. 4. 5; 8. 10.
[y] cap. 9. 15. Joan. 3. 29. Rev. 19. 7; 21. 2, 9.

[1] —καὶ LTrWHR. [2] ἔσονται δύο LTWH. [3] —ὁ LTTrWHR. [4] μύλῳ LTTrWHR. [5] ἡμέρᾳ LTTrWHR. [6] διορυχθῆναι TTrWH. [7] οὐ δοκεῖτε ὥρᾳ LTTrWH. [8] —αὐτοῦ LTTrWHR. [9] οἰκετείας LTTrWHR. [10] δοῦναι LTTrWH. [11] οὕτως ποιοῦντα LTTrWH. [12] —ἐκεῖνος T. [13] μου ὁ κύριος LTTrWH. [14] —ἐλθεῖν LTTr ([Tr *marg.*]) WHR. [15] +αὐτοῦ LTTrWHR. [16] ἐσθίῃ LTTrWHR. [17] πίνῃ LTTrWHR. [18] ἑαυτῶν LTrWH. [19] ὑπάντησιν LTTrWH. [20] +καὶ τῆς νύμφης WH *marg.* [21] ἐξ αὐτῶν ἦσαν LTTrWH. [22] μωραὶ LTTrWHR. [23] —αἱ ELTTrWHR. [24] φρόνιμοι LTTrWHR.

3 **αἵτινες**[1] μωραί, λαβοῦσαι τὰς λαμπάδας **ἑαυτῶν**[2], οὐκ
4 ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον
ἔλαιον ἐν τοῖς ἀγγείοις **αὐτῶν**[3] μετὰ τῶν λαμπάδων
5 **αὐτῶν**[4]. [a]χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν
6 πᾶσαι καὶ [b]ἐκάθευδον. μέσης δὲ νυκτὸς κραυγὴ
γέγονεν, Ἰδού, ὁ νυμφίος **ἔρχεται**[5], ἐξέρχεσθε εἰς
7 ἀπάντησιν **αὐτοῦ**[6]. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρ-
θένοι ἐκεῖναι, καὶ [c]ἐκόσμησαν τὰς λαμπάδας **αὐτῶν**[7].
8 αἱ δὲ μωραὶ ταῖς φρονίμοις **εἶπον**[8], Δότε ἡμῖν ἐκ τοῦ
ἐλαίου ὑμῶν, ὅτι αἱ [d]λαμπάδες ἡμῶν σβέννυνται.
9 Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγουσαι, Μήποτε
οὐκ[9] ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· πορεύεσθε **δὲ**[10] μᾶλλον
10 πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς. ἀπερ-
χομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος· καὶ
[e]αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς [f]γάμους, καὶ
11 [g]ἐκλείσθη ἡ θύρα. ὕστερον δὲ ἔρχονται **καὶ**[11] αἱ λοι-
παὶ παρθένοι, [h]λέγουσαι, Κύριε, κύριε, ἄνοιξον ἡμῖν.
12 Ὁ δὲ ἀποκριθεὶς εἶπεν, Ἀμὴν λέγω ὑμῖν, [i]οὐκ οἶδα
13 ὑμᾶς. [k]Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν
οὐδὲ τὴν ὥραν, **ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται**[12].
Ξ'. 14 [l]"Ὥσπερ γὰρ ἄνθρωπος [m]ἀποδημῶν ἐκάλεσε τοὺς
σξθ/β ἰδίους δούλους, καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα
σο/ε 15 αὐτοῦ· καὶ ᾧ μὲν ἔδωκε πέντε [n]τάλαντα, ᾧ δὲ δύο, ᾧ
δὲ ἕν, [o]ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν· καὶ [m]ἀπεδή-
16 μησεν εὐθέως[13]. πορευθεὶς **δὲ**[14] ὁ τὰ πέντε τάλαντα
λαβὼν **εἰργάσατο**[15] ἐν αὐτοῖς, καὶ **ἐποίησεν**[16] ἄλλα
17 πέντε **τάλαντα**[17]. ὡσαύτως **καὶ**[18] ὁ τὰ δύο ἐκέρδησε
18 **καὶ αὐτὸς**[19] ἄλλα δύο. ὁ δὲ τὸ ἓν[20] λαβὼν ἀπελθὼν
ὤρυξεν **ἐν τῇ γῇ**[21], καὶ **ἀπέκρυψε**[22] τὸ ἀργύριον τοῦ
19 κυρίου αὐτοῦ. Μετὰ δὲ **χρόνον πολὺν**[23] ἔρχεται ὁ

[a] cap. 24. 48.
[b] 1 Thess. 5. 6.
[c] Cf. Luc. 12. 35.
[d] Vid. ver. 1.
[e] cap. 24. 44.
[f] cap. 22. 2.
[g] Luc. 13. 25.
[h] cap. 7. 22.
[i] cap. 7. 23.
[k] Vid. cap. 24. 42.
[l] ver. 14—30, cf. Luc. 19. 12—27.
[m] ver. 15. cap. 21. 33. Cf. Marc. 13. 34.
[n] cap. 18. 24.
[o] Rom. 12. 6. 1 Cor. 12. 11. Eph. 4. 7.

[1] *αἱ δὲ* L, *αἱ γὰρ* TWHR, *αἳ γὰρ* Tr. [2] *αὐτῶν* LTr[WH], —*ἑαυτῶν* T. [3] —*αὐτῶν* LTTrWH. [4] *ἑαυτῶν* LTWH. [5] —*ἔρχεται* LTTrWHR. [6] —*αὐτοῦ* TWH. [7] *ἑαυτῶν* LTTrWH. [8] *εἶπαν* TTrWH. [9] *οὐ μὴ* LTrWH (*non marg.*) R. [10] —*δὲ* LTTrWHR. [11] —*καὶ* L[Tr]. [12] —*ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται* LTTrWHR. [13] *Jungunt* TWHR *εὐθέως cum vers.* 16. [14] —*δὲ* T[LTr]WHR. [15] *ἠργάσατο* TWH. [16] *ἐκέρδησεν* LTrWH. [17] —*τάλαντα* LTrWH. [18] —*καὶ* T[LTr *marg.*] WH (*non marg.*). [19] —*καὶ αὐτὸς* LTTrWHR. [20] +*τάλαντον* L. [21] *γῆν* TTrWHR. [22] *ἔκρυψεν* LTTrWH. [23] *πολὺν χρόνον* LTTrWH.

κύριος τῶν δούλων ἐκείνων, καὶ [a]συναίρει μετ' αὐ-
τῶν λόγον[1]. καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα 20
λαβὼν προσήνεγκεν ἄλλα πέντε τάλαντα, λέγων,
Κύριε, πέντε τάλαντά μοι παρέδωκας· ἴδε, ἄλλα
πέντε τάλαντα[2] ἐκέρδησα ἐπ' αὐτοῖς[3]. Ἔφη δὲ[4] 21
αὐτῷ ὁ κύριος αὐτοῦ, [b]Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ,
[b]ἐπὶ ὀλίγα ἦς [c]πιστός, ἐπὶ πολλῶν σε καταστήσω·
εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. Προσελθὼν 22
δὲ[5] καὶ ὁ τὰ δύο τάλαντα λαβὼν[6] εἶπε, Κύριε, δύο
τάλαντά μοι παρέδωκας· ἴδε, ἄλλα δύο τάλαντα
ἐκέρδησα ἐπ' αὐτοῖς[7]. Ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ, 23
[b]Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, [b]ἐπὶ ὀλίγα ἦς [c]πιστός[8], ἐπὶ
πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ
κυρίου σου. Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον 24
εἰληφὼς εἶπε, Κύριε, ἔγνων σε ὅτι [d]σκληρὸς εἶ ἄν-
θρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ [e]συνάγων
ὅθεν οὐ διεσκόρπισας· καὶ φοβηθείς, ἀπελθὼν ἔκρυψα 25
τὸ τάλαντόν σου ἐν τῇ γῇ· ἴδε, [f]ἔχεις τὸ σόν. Ἀπο- 26
κριθεὶς δὲ ὁ κύριος αὐτοῦ εἶπεν αὐτῷ, Πονηρὲ δοῦλε[9]
καὶ [g]ὀκνηρέ, ᾔδεις ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα, καὶ
συνάγω ὅθεν οὐ διεσκόρπισα; ἔδει οὖν σε[10] βαλεῖν τὸ 27
ἀργύριόν[11] μου τοῖς τραπεζίταις[12]· καὶ ἐλθὼν ἐγὼ ἐκο-
μισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ. ἄρατε οὖν ἀπ' αὐτοῦ 28
τὸ τάλαντον, καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα.
[h]Τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται, καὶ περισσευθήσε- 29 σοα
ται· ἀπὸ δὲ τοῦ[13] μὴ ἔχοντος, καὶ ὃ ἔχει, ἀρθήσεται β
ἀπ' αὐτοῦ. Καὶ τὸν [i]ἀχρεῖον δοῦλον [k]ἐκβάλλετε[14] εἰς 30 σοβ
τὸ σκότος τὸ ἐξώτερον. [k]ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ ε
βρυγμὸς τῶν ὀδόντων.
[l]"Ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ 31 ΞΑ'.
αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι[15] ἄγγελοι μετ' αὐτοῦ, σογ
τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ [m]συναχθή- 32 ι
σεται[16] ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ [n]ἀφοριεῖ[17]

[a] cap. 18. 23.
[b] ver. 23. Cf. Luc. 16. 10.
[c] Vid. cap. 24. 45, 47.
[d] 1 Sam. 25. 3.
[e] Cf. Esa. 28. 25.
[f] cap. 20. 14.
[g] Rom. 12. 11.
[h] Vid. cap. 13. 12. Cf. Luc. 12. 48.
[i] Luc. 17. 10.
[k] Vid. cap. 8. 12.
[l] Vid. cap. 16. 27. Cf. Zech. 14. 5.
[m] Cf. Rom. 14. 10. 2 Cor. 5. 10.
[n] cap. 13. 49.

[1] λόγον μετ' αὐτῶν LTTrWH. [2] [τάλαντα] Tr. [3] —ἐπ' αὐτοῖς LTTrWHR. [4] —δὲ LTTrWHR. [5] —δὲ TWH. [6] —λαβὼν LTTrWHR. [7] —ἐπ' αὐτοῖς LTTrWHR. [8] πιστὸς ἦς WH *marg.* [9] Δοῦλε πονηρὲ L. [10] σε οὖν TTrWH. [11] τὰ ἀργύριά TWH. [12] τραπεζείταις TWH. [13] τοῦ δὲ (—ἀπὸ) LTTrWHR. [14] ἐκβάλετε LTTrWH. [15] —ἅγιοι LTTrWHR. [16] συναχθήσονται LTTrWH. [17] ἀφορίσει TWH.

αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν [a]ἀφορίζει τὰ
33 πρόβατα ἀπὸ τῶν ἐρίφων, καὶ στήσει τὰ μὲν πρό-
βατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων.
34 "Τότε ἐρεῖ [b]ὁ βασιλεὺς τοῖς [c]ἐκ δεξιῶν αὐτοῦ,
Δεῦτε, οἱ εὐλογημένοι τοῦ πατρός μου, [d]κληρονο-
μήσατε τὴν [e]ἡτοιμασμένην ὑμῖν [f]βασιλείαν [g]ἀπὸ κα-
35 ταβολῆς κόσμου. [h]ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι
φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· [i]ξένος ἤμην, καὶ
36 συνηγάγετέ με· [h]γυμνός, καὶ περιεβάλετέ με· [k]ἠσθέ-
νησα, καὶ [l]ἐπεσκέψασθέ με· [m]ἐν φυλακῇ ἤμην, καὶ
37 **ἤλθετε**[1] πρός με. Τότε ἀποκριθήσονται αὐτῷ οἱ
δίκαιοι, λέγοντες, Κύριε, πότε σὲ **εἴδομεν**[2] πεινῶντα,
38 καὶ ἐθρέψαμεν; ἢ διψῶντα, καὶ ἐποτίσαμεν; πότε δέ
σε **εἴδομεν**[3] ξένον, καὶ συνηγάγομεν; ἢ γυμνόν, καὶ
39 περιεβάλομεν; πότε δέ σε εἴδομεν **ἀσθενῆ**[4], ἢ ἐν
40 φυλακῇ, καὶ ἤλθομεν πρός σε; Καὶ ἀποκριθεὶς [b]ὁ
βασιλεὺς ἐρεῖ αὐτοῖς, Ἀμὴν λέγω ὑμῖν, [n]ἐφ' ὅσον
ἐποιήσατε ἑνὶ τούτων **τῶν ἀδελφῶν μου**[5] τῶν ἐλαχί-
στων, ἐμοὶ ἐποιήσατε.
41 "Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων, [o]Πορεύεσθε ἀπ'
ἐμοῦ, **οἱ**[6] κατηραμένοι, εἰς [p]τὸ πῦρ τὸ αἰώνιον, τὸ
ἡτοιμασμένον[7] [q]τῷ διαβόλῳ καὶ [qr]τοῖς ἀγγέλοις αὐτοῦ.
42 [s]ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· [8]ἐδίψησα,
43 καὶ οὐκ ἐποτίσατέ με· ξένος ἤμην, καὶ οὐ συνηγά-
γετέ με· γυμνός, καὶ οὐ περιεβάλετέ με· ἀσθενής,
44 καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με. Τότε
ἀποκριθήσονται **αὐτῷ**[9] καὶ αὐτοί, λέγοντες, Κύριε,
πότε σὲ εἴδομεν πεινῶντα, ἢ διψῶντα, ἢ ξένον, ἢ
γυμνόν, ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ οὐ [t]διηκονήσα-
45 μέν σοι; Τότε ἀποκριθήσεται αὐτοῖς, λέγων, Ἀμὴν
λέγω ὑμῖν, ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν
46 ἐλαχίστων, [u]οὐδὲ ἐμοὶ ἐποιήσατε. Καὶ ἀπελεύσονται
οὗτοι εἰς [x]κόλασιν αἰώνιον· οἱ δὲ δίκαιοι εἰς [y]ζωὴν
αἰώνιον."

[1] ἤλθατε LTTrWH. [2] εἴδαμεν TrWH. [3] εἴδαμεν WH. [4] ἀσθενοῦντα L (*non marg.*) TTrWH. [5] [τῶν ἀδελφῶν μου] L. [6] —οἱ T[Tr *marg.*]WHR. [7] ὃ ἡτοίμασεν ὁ πατήρ μου WH *marg.* [8] +[καὶ] WH. [9] —αὐτῷ LTTrWHR.

[a] Ezek. 34. 17, 20. [b] ver. 40. Luc. 19. 38. Rev. 17. 14; 19. 16. Cf. Esa. 6. 5. [c] 1 Reg. 2. 19. Ps. 45. 9. [d] 1 Pet. 3. 9. Rev. 21. 7. Cf. Rom. 8. 17. [e] cap. 20. 23. 1 Cor. 2. 9. Heb. 11. 16. [f] Luc. 12. 32; 22. 29. Jac. 2. 5. [g] Vid. cap. 13. 35. [h] Esa. 58. 7. Ezek. 18. 7, 16. Jac. 2. 15, 16. [i] Job 31. 32. Rom. 12. 13. Heb. 13. 1, 2. Cf. 3 Joan. 5. [k] Ecclus. 7. 35. [l] Jac. 1. 27. [m] 2 Tim. 1. 16. [n] Vid. cap. 10. 42. Cf. Prov. 19. 17. Heb. 6. 10. [o] cap. 7. 23. Cf. Ps. 6. 8. Luc. 13. 27. [p] Jud. 7. Cf. Marc. 9. 48. Luc. 16. 24. [q] Cf. Rev. 12. 7. [r] 2 Pet. 2. 4. Jud. 6. [s] Job 22. 7. [t] cap. 8. 15; 27. 55. Luc. 8. 3. [u] Cf. 1 Cor. 8. 12. [x] Dan. 12. 2. Cf. Joan. 5. 29. Act. 24. 15. [y] Rom. 2. 7; 5. 21; 6. 23.

ΚΑΙ ἐγένετο [a]ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς πάντας 26 σοδ
τοὺς λόγους τούτους, εἶπε τοῖς μαθηταῖς αὐτοῦ, α
[b]“Οἴδατε ὅτι μετὰ δύο ἡμέρας [c]τὸ πάσχα γίνεται, 2
καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρω-
θῆναι.” [d]Τότε συνήχθησαν οἱ ἀρχιερεῖς **καὶ οἱ γραμ-** 3 σοε
ματεῖς[1] καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν [e]αὐλὴν ς
τοῦ ἀρχιερέως τοῦ λεγομένου [f]Καϊάφα[2], καὶ συνε- 4
βουλεύσαντο ἵνα τὸν Ἰησοῦν **κρατήσωσι δόλῳ**[3], καὶ
ἀποκτείνωσιν. ἔλεγον δέ, “Μὴ ἐν τῇ ἑορτῇ, [g]ἵνα μὴ 5
θόρυβος γένηται ἐν τῷ λαῷ.”
[h]Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν [i]Βηθανίᾳ ἐν οἰκίᾳ 6 ΞΒ'.
Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνὴ **ἀλά-** 7 σος α
βαστρον μύρου ἔχουσα[4] **βαρυτίμου**[5], καὶ κατέχεεν ἐπὶ
τὴν κεφαλὴν[6] αὐτοῦ ἀνακειμένου. ἰδόντες δὲ οἱ μαθη- 8
ταὶ **αὐτοῦ**[7] ἠγανάκτησαν, λέγοντες, “Εἰς τί ἡ ἀπώ-
λεια αὕτη; **ἠδύνατο**[8] γὰρ τοῦτο **τὸ μύρον**[9] πραθῆναι 9
[k]πολλοῦ, καὶ δοθῆναι[10] πτωχοῖς.” Γνοὺς δὲ ὁ Ἰησοῦς 10
εἶπεν αὐτοῖς, “Τί κόπους παρέχετε τῇ γυναικί;
ἔργον γὰρ καλὸν **εἰργάσατο**[11] εἰς ἐμέ. [l]πάντοτε γὰρ 11
τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν· [m]ἐμὲ δὲ οὐ πάντοτε
ἔχετε. βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ 12 σοζ
σώματός μου πρὸς τὸ [n]ἐνταφιάσαι με ἐποίησεν. ἀμὴν 13 δ
λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο
ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη,
[o]εἰς μνημόσυνον αὐτῆς.”
[p]Τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος [q]Ἰού- 14 σοη
δας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς, εἶπε, “Τί 15 β
θέλετέ μοι δοῦναι, **κἀγὼ**[12] ὑμῖν παραδώσω αὐτόν;”
Οἱ δὲ [r]ἔστησαν αὐτῷ [s]τριάκοντα **ἀργύρια**[13]· καὶ ἀπὸ 16
τότε ἐζήτει εὐκαιρίαν ἵνα αὐτὸν παραδῷ.
[t]ΤΗι δὲ πρώτῃ [u]τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ 17 ΞΓ'.
τῷ Ἰησοῦ, λέγοντες **αὐτῷ**[14], “Ποῦ θέλεις ἑτοιμά-
σωμέν σοι φαγεῖν τὸ πάσχα;” Ὁ δὲ εἶπεν, “Ὑπά- 18

[a] cap. 7. 28.
[b] ver. 2—5, Marc. 14. 1, 2. Luc. 22. 1, 2.
[c] Joan. 11. 55; 13. 1.
[d] Joan. 11. 47, 53. Cf. Ps. 2. 2.
[e] ver. 58, 69. Marc. 14. 54, 66; 15. 16. Luc. 11. 21; 22. 55. Joan. 18. 15. Cf. Rev. 11. 2.
[f] ver. 57. Luc. 3. 2. Joan. 11. 49; 18. 13, 14, 24, 28. Act. 4. 6.
[g] cap. 27. 24.
[h] ver. 6—13, Marc. 14. 3—9. Cf. Joan. 12. 1—8. Etiam Luc. 7. 37—39.
[i] Vid. cap. 21. 17.
[k] Cf. Marc. 14. 5. Joan. 12. 5.
[l] Deut. 15. 11.
[m] Joan. 13. 33.
[n] Joan. 19. 40.
[o] Act. 10. 4.
[p] ver. 14—16, Marc. 14. 10, 11. Luc. 22. 3—6.
[q] cap. 10. 4. ver. 25, 47. cap. 27. 3. Joan. 6. 71; 12. 4; 13. 26. Act. 1. 16.
[r] Zech. 11. 12. Cf. Gen. 23. 16.
[s] Ex. 21. 32.
[t] ver. 17—19, Marc. 14. 12—16. Luc. 22. 7—13.
[u] Ex. 12. 18.

1 —καὶ οἱ γραμματεῖς LTTrWHR. 2 Καιάφα WH. 3 δόλῳ κρατήσωσιν LTTrWH. 4 ἔχουσα ἀλάβαστρον μύρου LTTrWH. 5 πολυτίμου LTTr *marg.* 6 τῆς κεφαλῆς LTTrWHR. 7 —αὐτοῦ LTTrWHR. 8 ἐδύνατο TWH. 9 —τὸ μύρον LTTrWHR. 10 +τοῖς L. 11 ἠργάσατο TWH. 12 καὶ ἐγὼ T. 13 στατῆρας WH *marg.* 14 —αὐτῷ LTTrWHR.

γετε εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα, καὶ εἴπατε αὐτῷ,
Ὁ διδάσκαλος λέγει, [a]Ὁ καιρός μου ἐγγύς ἐστι[1]·
πρὸς σὲ ποιῶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μου.”
19 Καὶ ἐποίησαν οἱ μαθηταὶ ὡς συνέταξεν αὐτοῖς ὁ
Ἰησοῦς, καὶ ἡτοίμασαν τὸ πάσχα.
20 [b]Ὀψίας δὲ γενομένης [c]ἀνέκειτο μετὰ τῶν δώδεκα[2].
σοθ 21 καὶ ἐσθιόντων αὐτῶν εἶπεν, [d]“Ἀμὴν λέγω ὑμῖν, ὅτι
δ 22 εἷς ἐξ ὑμῶν παραδώσει με.” Καὶ λυπούμενοι σφόδρα
σπ α [e]ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν[3], “Μήτι ἐγώ
σπα 23 εἰμι, κύριε;” Ὁ δὲ ἀποκριθεὶς εἶπεν, [f]“Ὁ ἐμβάψας
β μετ᾽ ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα[4], οὗτός με παρα-
σπβ 24 δώσει. ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, [g]καθὼς
ς γέγραπται περὶ αὐτοῦ· [h]οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ,
δι᾽ οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· [i]καλὸν ἦν
σπγ 25 αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.” Ἀπο-
ι κριθεὶς δὲ [k]Ἰούδας ὁ παραδιδοὺς αὐτὸν εἶπε, “Μήτι
ἐγώ εἰμι, ῥαββί[5];” Λέγει αὐτῷ, [l]“Σὺ εἶπας.”
ΞΔ΄. 26 [m]Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν[6] ἄρ-
σπδ τον, καὶ [n]εὐλογήσας, ἔκλασε καὶ ἐδίδου[7] τοῖς μαθη-
α ταῖς, καὶ[8] εἶπε, “Λάβετε, φάγετε· [o]τοῦτό ἐστι τὸ
σπε 27 σῶμά μου.” Καὶ λαβὼν τὸ[9] ποτήριον, καὶ[10] [p]εὐχα-
β ριστήσας, ἔδωκεν αὐτοῖς, λέγων, “Πίετε ἐξ αὐτοῦ
28 πάντες· [o]τοῦτο γάρ ἐστι τὸ αἷμά μου, τὸ[11] τῆς και-
νῆς[12] διαθήκης, [q]τὸ περὶ πολλῶν ἐκχυνόμενον[13] [r]εἰς
29 ἄφεσιν ἁμαρτιῶν. λέγω δὲ ὑμῖν, ὅτι[14] οὐ μὴ πίω ἀπ᾽
ἄρτι ἐκ τούτου τοῦ γεννήματος[15] τῆς ἀμπέλου, ἕως
τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω μεθ᾽ ὑμῶν καινὸν[16]
ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου.”
σπϛ ς 30 [s]Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς [t]τὸ ὄρος τῶν ἐλαιῶν.
σπζ 31 τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς, “Πάντες ὑμεῖς [u]σκανδα-
δ λισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ. [v]γέγραπται
σπη ς γάρ, [x]‘Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται[17]

[1] ἔστιν SBEWH. [2] +μαθητῶν LT[WH]R (*non marg.*). [3] εἷς ἕκαστος LTTrWH. [4] τὴν χεῖρα ἐν τῷ τρυβλίῳ LTTrWHR. [5] ῥαββεί TWH. [6] —τὸν LTTrWHR. [7] δοὺς LTTrWHR. [8] —καὶ LTTrWHR. [9] —τὸ TTrWH.R (*non marg.*). [10] —καὶ L[TrWH]. [11] —τὸ LTTrWH. [12] —καινῆς TWH.R (*non marg.*). [13] ἐκχυννόμενον LTTrWH. [14] —ὅτι LTTrWH. [15] γενήματος LTTrWH. [16] καινὸν μεθ᾽ ὑμῶν Tr *marg.* [17] διασκορπισθήσονται LTTrWH.

[a] Joan. 7. 6, 8. Cf. Joan. 8. 20.
[b] ver. 20—24, Marc. 14. 17—21.
[c] Luc. 22. 14.
[d] Luc. 22. 21. Joan. 13. 21.
[e] Luc. 22. 23. Joan. 13. 22.
[f] Joan. 13. 26. Cf. Ps. 41. 9. Joan. 13. 18.
[g] ver. 31, 54, 56. Marc. 9. 12. Luc. 24. 25—27, 46. Act. 17. 2, 3; 26. 22, 23. 1 Cor. 15. 3. 1 Pet. 1. 10, 11.
[h] Luc. 22. 22.
[i] Cf. cap. 18. 7. Joan. 17. 12.
[k] Vid. ver. 14.
[l] ver. 64.
[m] ver. 26—29, Marc. 14. 22—25. Luc. 22. 18—20. 1 Cor. 11. 23—25.
[n] Vid. cap. 14. 19.
[o] Cf. 1 Cor. 10. 16.
[p] Vid. cap. 15. 36.
[q] Vid. cap. 20. 28. Cf. Rom. 5. 15.
[r] Ex. 24. 8.
[s] ver. 30—35, Marc. 14. 26—31.
[t] Vid. cap. 21. 1.
[u] Vid. cap. 11. 6.
[x] Zech. 13. 7. Cf. Joan. 16. 32.

τὰ πρόβατα τῆς ποίμνης.' [a] μετὰ δὲ τὸ ἐγερθῆναί με, 32
προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν." Ἀποκριθεὶς δὲ 33 σπθ
[b] ὁ Πέτρος εἶπεν αὐτῷ, "Εἰ **καὶ**[1] πάντες σκανδαλι- α
σθήσονται ἐν σοί, ἐγὼ οὐδέποτε σκανδαλισθήσο-
μαι." Ἔφη αὐτῷ ὁ Ἰησοῦς, [c] "Ἀμὴν λέγω σοι, ὅτι 34
ἐν ταύτῃ τῇ νυκτί, [d] πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς
ἀπαρνήσῃ με." Λέγει αὐτῷ ὁ Πέτρος, [e] "Κἂν δέῃ 35 σϟ
με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι." ϛ
Ὁμοίως καὶ πάντες οἱ μαθηταὶ **εἶπον**[2].

[f] ΤΟΤΕ ἔρχεται μετ' αὐτῶν ὁ Ἰησοῦς [g] εἰς χωρίον 36 σϟα
λεγόμενον **Γεθσημανῆ**[3], καὶ λέγει τοῖς μαθηταῖς[4], α
"Καθίσατε αὐτοῦ, ἕως οὗ[5] ἀπελθὼν **προσεύξωμαι** σϟβ
ἐκεῖ[6]." Καὶ παραλαβὼν τὸν [h] Πέτρον καὶ [h] τοὺς δύο 37 ϛ
υἱοὺς Ζεβεδαίου, ἤρξατο λυπεῖσθαι καὶ [i] ἀδημονεῖν.
τότε λέγει αὐτοῖς, [k] "Περίλυπός ἐστιν ἡ ψυχή μου 38 σϟγ
ἕως θανάτου· μείνατε ὧδε καὶ [l] γρηγορεῖτε μετ' ἐμοῦ." δ
Καὶ **προελθὼν**[7] μικρόν, ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ 39 σϟδ
[m] προσευχόμενος, καὶ λέγων, "Πάτερ **μου**[8], εἰ δυνατόν α
ἐστι, [n] **παρελθέτω**[9] ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· [o] πλὴν σϟε α
οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ." Καὶ ἔρχεται πρὸς 40 σϟϛ
τοὺς μαθητάς, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ β
λέγει τῷ Πέτρῳ, "Οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν
[l] γρηγορῆσαι μετ' ἐμοῦ; [l] γρηγορεῖτε καὶ προσεύχεσθε, 41
ἵνα[10] μὴ [p] εἰσέλθητε εἰς πειρασμόν. τὸ μὲν πνεῦμα σϟζ
πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής." Πάλιν ἐκ δευτέρου 42 δ
ἀπελθὼν προσηύξατο, λέγων[11], "Πάτερ μου, [n] εἰ οὐ σϟη
δύναται τοῦτο **τὸ ποτήριον**[12] [n] παρελθεῖν **ἀπ' ἐμοῦ**[13], ἐὰν ϛ
μὴ αὐτὸ πίω, [o] [q] γενηθήτω τὸ θέλημά σου." Καὶ 43
ἐλθὼν **εὑρίσκει αὐτοὺς πάλιν**[14] καθεύδοντας· ἦσαν γὰρ
[r] αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι. Καὶ ἀφεὶς αὐτούς, 44
ἀπελθὼν πάλιν[15], προσηύξατο [s] **ἐκ τρίτου**[16], τὸν αὐτὸν
λόγον εἰπών[17]. τότε[18] ἔρχεται πρὸς τοὺς μαθητὰς 45 σϟθ
δ

[a] cap. 28. 7, 10, 16. Marc. 16. 7.
[b] Cf. Luc. 22. 31, 33. Joan. 21. 15.
[c] Luc. 22. 34. Joan. 13. 38.
[d] ver. 75. Cf. Marc. 14. 30.
[e] Luc. 22. 33. Joan. 13. 37.
[f] ver. 36—46, Marc. 14. 32—42. Luc. 22. 40—46.
[g] Cf. Luc. 22. 39. Joan. 18. 1.
[h] Vid. cap. 17. 1.
[i] Phil. 2. 26.
[k] Cf. Joan. 12. 27.
[l] ver. 40, 41. Vid. cap. 24. 42.
[m] Heb. 5. 7, 8.
[n] ver. 42. cap. 20. 22.
[o] ver. 42. Joan. 5. 30; 6. 38. Phil. 2. 8.
[p] Vid. cap. 6. 13.
[q] Vid. cap. 6. 10.
[r] Luc. 9. 32.
[s] 2 Cor. 12. 8.

1 —καὶ LTTrWHR. 2 εἶπαν WH. 3 Γεθσημανεῖ LTr, Γεθσημανεί TWH. 4 +αὐτοῦ LTr *marg.* R. 5 +ἂν L, [οὗ] WH. 6 ἐκεῖ προσεύξωμαι LTTrWHR. 7 προσελθὼν TTrWH *marg.* 8 —μου T[Tr]. 9 παρελθάτω LTTrWH. 10 γρηγορεῖτε, καὶ προσεύχεσθε ἵνα R *marg.* 11 [λέγων] WH. 12 —τὸ ποτήριον LTTrWHR. 13 —ἀπ' ἐμοῦ TTr[L]WHR. 14 πάλιν εὗρεν αὐτοὺς LTTrWHR. 15 πάλιν (, R) ἀπελθὼν LTTrWHR. 16 [ἐκ τρίτου] LTr *marg.* 17 +πάλιν TWHR. 18 εἰπών, πάλιν τότε WH *marg.*

αὐτοῦ[1], καὶ λέγει αὐτοῖς, "Καθεύδετε τὸ[2] λοιπὸν
καὶ ἀναπαύεσθε· ἰδού[3], [a]ἤγγικεν ἡ ὥρα, καὶ ὁ υἱὸς τοῦ
46 ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν. ἐγεί-
ρεσθε, ἄγωμεν. ἰδού, ἤγγικεν ὁ παραδιδούς με."
ΞΕ'. 47 [b]Καὶ ἔτι αὐτοῦ λαλοῦντος, ἰδού, [c]Ἰούδας εἷς τῶν
τ/α δώδεκα ἦλθε, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μα-
χαιρῶν καὶ ξύλων, ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέ-
τα/β 48 ρων τοῦ λαοῦ. ὁ δὲ παραδιδοὺς αὐτὸν ἔδωκεν αὐτοῖς
σημεῖον, λέγων, "[a]Ὃν ἂν[4] φιλήσω, αὐτός ἐστι·
49 κρατήσατε αὐτόν." Καὶ εὐθέως, προσελθὼν τῷ Ἰησοῦ
50 εἶπε, "Χαῖρε, ῥαββί[5]," καὶ [d]κατεφίλησεν αὐτόν. ὁ δὲ
Ἰησοῦς εἶπεν αὐτῷ, [e]"Ἑταῖρε, ἐφ' ᾧ[6] πάρει;[7]" Τότε
προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν,
τβ/α 51 καὶ ἐκράτησαν αὐτόν. Καὶ ἰδού, [f]εἷς τῶν μετὰ Ἰησοῦ,
ἐκτείνας τὴν χεῖρα, ἀπέσπασε [g]τὴν μάχαιραν αὐτοῦ,
καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως ἀφεῖλεν αὐτοῦ
τγ/ι 52 τὸ ὠτίον. τότε λέγει αὐτῷ ὁ Ἰησοῦς, "Ἀπόστρε-
ψόν σου τὴν μάχαιραν[8] εἰς τὸν τόπον αὐτῆς· [h]πάντες
γὰρ οἱ λαβόντες μάχαιραν ἐν μαχαίρᾳ[9] ἀπολοῦνται.
53 ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι[10] παρακαλέσαι τὸν πα-
τέρα μου, καὶ [i]παραστήσει μοι πλείους[11] ἢ[12] δώδεκα
54 [k]λεγεῶνας[13] ἀγγέλων; [l]πῶς οὖν πληρωθῶσιν αἱ γραφαί,
ὅτι οὕτω δεῖ γενέσθαι;"
τδ/α 55 Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις,
"Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε[14] μετὰ μαχαιρῶν καὶ ξύλων
συλλαβεῖν με; καθ' ἡμέραν πρὸς ὑμᾶς[15] [m]ἐκαθεζόμην
τε/ϛ 56 [n]διδάσκων ἐν τῷ ἱερῷ[16], καὶ οὐκ ἐκρατήσατέ με. τοῦτο
δὲ ὅλον γέγονεν, [l]ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν
προφητῶν." Τότε οἱ μαθηταὶ[17] πάντες ἀφέντες αὐ-
τὸν ἔφυγον.
τϛ/α 57 [o]Οἱ δὲ [p]κρατήσαντες τὸν Ἰησοῦν ἀπήγαγον [q]πρὸς

[a] Joan. 12. 27; 18. 1.
[b] ver. 47—56, Marc. 14. 43—50. Luc. 22. 47—53. Joan. 18. 3—11.
[c] Vid. ver. 14.
[d] Marc. 14. 45. Luc. 7. 38, 45; 15. 20. Act. 20. 37.
[e] cap. 20. 13; 22. 12
[f] Cf. Joan. 18. 10.
[g] Luc. 22. 38.
[h] Cf. Gen. 9. 6. Rev. 13. 10.
[i] cap. 4. 11. Cf. Joan. 18. 36.
[k] Marc. 5. 9, 15. Luc. 8. 30.
[l] Vid. ver. 24. Cf. Ps. 88. 8, 18. Esa. 53. 7, 8, 10.
[m] Luc. 2. 46. Joan. 8. 2.
[n] Marc. 12. 35. Luc. 19. 47; 21. 37. Joan. 7. 28; 8. 20; 18. 20.
[o] ver. 57—68, Marc. 14. 53—65. Joan. 18. 12, 13, 19—24.
[p] Luc. 22. 54.
[q] Act. 16. 40 (var. lect.).

1 —αὐτοῦ LTTrWHR. 2 [τὸ] Tr, —τὸ WH. 3 +γὰρ WH *marg.* 4 ἐὰν T. 5 ῥαββεί TWH. 6 ὃ LTTrWHR. 7 . (*non* ;) WHR. 8 τὴν μάχαιράν σου LTTrWH. 9 μαχαίρῃ LTTrWH. 10 ἄρτι *transferunt* TTr (*non marg.*) WHR *in locum post* παραστήσει μοι. 11 πλείω LTTrWH. 12 —ἢ TTr[L]WH. 13 λεγιώνων T, λεγιῶνας WH. 14 ἐξήλθατε LTTrWH. 15 —πρὸς ὑμᾶς T[Tr]WHR. 16 ἐκαθεζόμην ἐν τῷ ἱερῷ διδάσκων L, ἐν τῷ ἱερῷ ἐκαθεζόμην διδάσκων TTrWHR. 17 +αὐτοῦ [L]WH *marg.*

[a]Καϊάφαν[1] τὸν ἀρχιερέα, ὅπου οἱ γραμματεῖς καὶ οἱ
πρεσβύτεροι συνήχθησαν. [b]Ὁ δὲ Πέτρος ἠκολούθει 58 τξ/δ
αὐτῷ ἀπὸ[2] μακρόθεν, ἕως [c]τῆς αὐλῆς τοῦ ἀρχιερέως·
καὶ εἰσελθὼν ἔσω ἐκάθητο μετὰ τῶν [d]ὑπηρετῶν, ἰδεῖν
τὸ τέλος. Οἱ δὲ ἀρχιερεῖς[3] καὶ οἱ πρεσβύτεροι[4] καὶ 59 τη/β
τὸ [e]συνέδριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ
Ἰησοῦ, ὅπως αὐτὸν θανατώσωσι[5], καὶ οὐχ εὗρον· καὶ[6] 60
πολλῶν [f]ψευδομαρτύρων προσελθόντων[7], οὐχ εὗρον[8].
ὕστερον δὲ προσελθόντες [g]δύο ψευδομάρτυρες[9] εἶπον[10], 61 τθ/ϛ
"Οὗτος ἔφη, [h]Δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ Θεοῦ,
καὶ [i]διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν[11]." Καὶ 62
ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ, "Οὐδὲν ἀποκρίνῃ;[12]
τί οὗτοί σου καταμαρτυροῦσιν;" [k]Ὁ δὲ Ἰησοῦς ἐσιώ- 63
πα. [l]καὶ ἀποκριθεὶς[13] ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ, [m]"Ἐξορ-
κίζω σε κατὰ [n]τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς,
εἰ σὺ εἶ ὁ Χριστός, [o]ὁ υἱὸς τοῦ Θεοῦ." Λέγει αὐτῷ 64
ὁ Ἰησοῦς, [p]"Σὺ εἶπας.[14] πλὴν λέγω ὑμῖν, ἀπ' ἄρτι τι/α
[q]ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν
τῆς δυνάμεως καὶ [q]ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ
οὐρανοῦ." Τότε ὁ ἀρχιερεὺς [r]διέρρηξε[15] τὰ ἱμάτια 65 τια/ϛ
αὐτοῦ, λέγων, "Ὅτι[16] ἐβλασφήμησε· τί ἔτι χρείαν τιβ/β
ἔχομεν μαρτύρων; ἴδε, νῦν ἠκούσατε τὴν βλασφη-
μίαν αὐτοῦ[17]. [rr]τί ὑμῖν δοκεῖ;" Οἱ δὲ ἀποκριθέντες 66
εἶπον[10], [s]"Ἔνοχος θανάτου ἐστί." [t]Τότε [u]ἐνέπτυσαν εἰς 67 τιγ/α
τὸ πρόσωπον αὐτοῦ, καὶ [u]ἐκολάφισαν αὐτόν· οἱ δὲ
[x]ἐῤῥάπισαν[18], λέγοντες, "Προφήτευσον ἡμῖν, Χριστέ, 68
τίς ἐστιν ὁ παίσας σε;"

Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο[19] ἐν [c]τῇ αὐλῇ, καὶ προσ- 69 Ξϛ'.
ῆλθεν αὐτῷ μία παιδίσκη, λέγουσα, "Καὶ σὺ ἦσθα τιδ/α
μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου." Ὁ δὲ ἠρνήσατο ἔμ- 70
προσθεν πάντων, λέγων, "Οὐκ οἶδα τί λέγεις."

[a] Vid. ver. 3. [b] Cf. Joan. 18. 15. [c] Vid. ver. 3. [d] cap. 5. 25. Joan. 7. 32, 45, 46; 18. 3; 19. 6. Act. 5. 22, 26. [e] Vid. cap. 5. 22. [f] Ps. 27. 12; 35. 11. [g] Deut. 19. 15. [h] Joan. 2. 19. Cf. Act. 6. 14. [i] Cf. cap. 16. 21. [k] Esa. 53. 7. cap. 27. 12, 14. Joan. 19. 9. [l] ver. 63—66, cf. Luc. 22. 67—71. [m] Cf. Lev. 5. 1. 1 Sam. 14. 24, 26. Marc. 5. 7. [n] Vid. cap. 16. 16. [o] Vid. cap. 14. 33. [p] ver. 25. [q] cap. 24. 30. Vid. cap. 16. 27. [r] Num. 14. 6. Act. 14. 14. [rr] Vid. cap. 21. 28. [s] Vid. cap. 5. 21. [t] ver. 67, 68, cf. Luc. 22. 63—65. Joan. 18. 22. ver. 69—75, Marc. 14. 66—72. Luc. 22. 56—62. Joan. 18. 16, 18, 25—27. [u] Esa. 50. 6. cap. 27. 30. Marc. 10. 34. [x] cap. 5. 39.

[1] Καιάφαν WH. [2] —ἀπὸ T[WH]. [3] Ὁ δὲ ἀρχιερεὺς L *marg.* [4] —καὶ οἱ πρεσβύτεροι LTTrWHR. [5] θανατώσουσιν LTTr. [6] —καὶ LTTrWHR. [7] προσελθόντων ψευδομαρτύρων LTTrWHR. [8] —οὐχ εὗρον TTr[L]WHR. [9] —ψευδομάρτυρες TTrWHR. [10] εἶπαν WH. [11] —αὐτόν Tr[Tr *marg.*]WH *at* αὐτὸν οἰκοδομῆσαι L *marg.* TTr *marg.* [12] *om.* ; LT. [13] —ἀποκριθεὶς TrWHR. [14] εἶπας; WH *marg.* [15] διέρηξεν WH. [16] —Ὅτι LTTrWH. [17] —αὐτοῦ TTr[LTr *marg.*]WHR. [18] ἐράπισαν LTTrWH. [19] ἐκάθητο ἔξω LTTrWH.

τιε 71 Ἐξελθόντα δὲ **αὐτὸν**[1] εἰς τὸν [a]πυλῶνα, εἶδεν αὐτὸν
α ἄλλη, καὶ λέγει **τοῖς**[2] ἐκεῖ, "**Καὶ**[3] οὗτος ἦν μετὰ
72 Ἰησοῦ [b]τοῦ Ναζωραίου." Καὶ πάλιν ἠρνήσατο **μεθ'**[4]
73 ὅρκου, "Ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον." Μετὰ μικρὸν
δὲ προσελθόντες [c]οἱ ἑστῶτες εἶπον τῷ Πέτρῳ, "Ἀλη-
θῶς καὶ σὺ ἐξ αὐτῶν εἶ· καὶ γὰρ ἡ λαλιά σου **δῆλόν**
74 **σε ποιεῖ**[5]." Τότε ἤρξατο **καταναθεματίζειν**[6] καὶ ὀμνύειν,
"Ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον." Καὶ **εὐθέως**[7] ἀλέκτωρ
τιϛ 75 ἐφώνησε. καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος **τοῦ**[8]
β Ἰησοῦ εἰρηκότος **αὐτῷ**[9], [d]"Ὅτι πρὶν ἀλέκτορα φωνῆ-
σαι, τρὶς ἀπαρνήσῃ με·" καὶ ἐξελθὼν ἔξω ἔκλαυσε
πικρῶς.

τιζ 27 [e]ΠΡΩΙΑΣ δὲ γενομένης, συμβούλιον ἔλαβον πάν-
β τες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ
τιη 2 τοῦ Ἰησοῦ, ὥστε θανατῶσαι αὐτόν· καὶ δήσαντες
α αὐτὸν [f]ἀπήγαγον, καὶ [gh]παρέδωκαν **αὐτὸν**[10] **Ποντίῳ**[11]
[i]**Πιλάτῳ**[12] τῷ ἡγεμόνι.
ΞΖʹ. 3 Τότε ἰδὼν [k]Ἰούδας ὁ **παραδιδοὺς**[13] αὐτόν, ὅτι κατε-
τιθ κρίθη, [l]μεταμεληθεὶς **ἀπέστρεψε**[14] [m]τὰ τριάκοντα ἀργύ-
ι 4 ρια τοῖς ἀρχιερεῦσι καὶ **τοῖς**[15] πρεσβυτέροις, λέγων,
"Ἥμαρτον παραδοὺς αἷμα [n]**ἀθῷον**[16]." Οἱ δὲ **εἶπον**[17],
5 "Τί πρὸς ἡμᾶς; [o]σὺ **ὄψει**[18]." Καὶ ῥίψας τὰ ἀργύρια
6 **ἐν** [p]**τῷ ναῷ**[19], ἀνεχώρησε· καὶ [q]ἀπελθὼν ἀπήγξατο. Οἱ
δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια **εἶπον**[20], "Οὐκ
ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν [r]**κορβανᾶν**[21], ἐπεὶ τιμὴ
7 αἵματός ἐστι." Συμβούλιον δὲ λαβόντες, ἠγόρασαν
ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως, εἰς ταφὴν τοῖς
8 ξένοις. διὸ [s]ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος,
9 [t]ἕως τῆς σήμερον. τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ [u]Ἰερε-
μίου[22] τοῦ προφήτου, λέγοντος, [x]'Καὶ ἔλαβον τὰ
τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν

1 —αὐτὸν Tr[L]WH. 2 αὐτοῖς Tr *marg.* 3 —Καὶ T[Tr *marg.*]WH. 4 μετὰ LTTrWH. 5 ὁμοιάζει WH *marg.* 6 καταθεματίζειν LTTrWHR. 7 εὐθὺς TrWH. 8 —τοῦ LTTrWH. 9 —αὐτῷ TTr[L]WHR. 10 —αὐτὸν LTTrWHR. 11 —Ποντίῳ TTrWH (*non marg.*) R. 12 Πειλάτῳ TWH. 13 παραδοὺς LTrWH (*non marg.*). 14 ἔστρεψεν TTrWHR. 15 —τοῖς LTTrWHR. 16 ἀθῷον LTWH *marg.*, δίκαιον Tr *marg.* WH *text.* R *marg.* 17 εἶπαν WH. 18 ὄψῃ LTTrWH. 19 εἰς τὸν ναὸν TTrWHR. 20 εἶπαν LTTrWH. 21 κορβᾶν L *marg.* Tr *marg.* 22 Ἰερεμίου ELTTr.

a Luc. 16. 20. Act. 10. 17; 12. 13, 14; 14. 13. Rev. 21. 12, 13, 15, 21, 25; 22. 14
b Luc. 18. 37. Joan. 18. 5; 19. 19.
c Cf. Luc. 22. 59. Joan. 18. 26.
d Vid. ver. 34.
e Marc. 15. 1.
f Luc. 22. 66.
g Luc. 23. 1. Joan. 18. 28.
h Vid. cap. 20. 19.
i Luc. 3. 1; 13. 1.
k Vid. cap. 26. 14.
l Vid. cap. 21. 29.
m cap. 26. 15.
n ver. 24.
o ver. 24.
p Vid. cap. 23. 35.
q 2 Sam. 17. 23. Cf. Act. 1. 18.
r Cf. Marc. 12. 41, 43. Luc. 21. 1. Joan. 8. 20.
s Act. 1. 19.
t Cf. cap. 28. 15.
u Cf. cap. 16. 14.
x Zech. 11. 12, 13.

ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ· καὶ ἔδωκαν[1] αὐτὰ εἰς 10
τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος.’
[a]Ὁ δὲ Ἰησοῦς ἔστη[2] ἔμπροσθεν τοῦ ἡγεμόνος· καὶ 11 τκ α
ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμών, λέγων, “Σὺ εἶ ὁ βασι-
λεὺς τῶν Ἰουδαίων;” [b]Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ[3], “Σὺ
λέγεις.[4]” Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν 12 τκα δ
ἀρχιερέων καὶ τῶν[5] πρεσβυτέρων, [c]οὐδὲν ἀπεκρίνατο.
τότε λέγει αὐτῷ ὁ Πιλάτος[6], “Οὐκ ἀκούεις πόσα 13
σοῦ καταμαρτυροῦσι;” Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς 14
οὐδὲ ἓν ῥῆμα, ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν.
[d]Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ 15 τκβ
ὄχλῳ δέσμιον, ὃν ἤθελον. εἶχον δὲ τότε δέσμιον 16 β
[e]ἐπίσημον, λεγόμενον Βαραββᾶν. συνηγμένων οὖν 17 τκγ
αὐτῶν, εἶπεν αὐτοῖς ὁ Πιλάτος[6], “Τίνα θέλετε[7] ἀπο-
λύσω ὑμῖν;[8] Βαραββᾶν, ἢ Ἰησοῦν τὸν λεγόμενον
Χριστόν;” ᾔδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν. 18
[f]Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε 19 τκδ ι
πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ, λέγουσα, “Μηδέν σοι
καὶ [g]τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον
[h]κατ’ ὄναρ δι’ αὐτόν.” Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύ- 20 τκε α
τεροι ἔπεισαν τοὺς ὄχλους, ἵνα αἰτήσωνται τὸν Βαρ-
αββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. ἀποκριθεὶς δὲ 21
ὁ ἡγεμὼν εἶπεν αὐτοῖς, “[i]Τίνα θέλετε ἀπὸ τῶν δύο
ἀπολύσω ὑμῖν;” Οἱ δὲ εἶπον[9], “[10]Βαραββᾶν.” Λέ- 22 τκϛ α
γει αὐτοῖς ὁ Πιλάτος[6], “Τί οὖν ποιήσω Ἰησοῦν τὸν
λεγόμενον Χριστόν;” Λέγουσιν αὐτῷ[11] πάντες,
“Σταυρωθήτω.” Ὁ δὲ ἡγεμὼν[12] ἔφη, [k]“Τί γὰρ κα- 23
κὸν ἐποίησεν;” Οἱ δὲ περισσῶς ἔκραζον, λέγοντες,
“Σταυρωθήτω.” Ἰδὼν δὲ ὁ Πιλάτος[6], ὅτι οὐδὲν ὠφε- 24 τκζ ι
λεῖ, [l]ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ,
[m]ἀπενίψατο τὰς χεῖρας ἀπέναντι[13] τοῦ ὄχλου, λέγων,
[n]“Ἀθῶός[14] εἰμι ἀπὸ τοῦ αἵματος [g]τοῦ δικαίου[15] τούτου·
[n]ὑμεῖς ὄψεσθε.” Καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπε, 25

[a] ver. 11–14, Marc. 15. 2–5. Luc. 23. 2, 3. Joan. 18. 29–38.
[b] Luc. 22. 70. 1 Tim. 6. 13.
[c] Vid. cap. 26. 63.
[d] ver. 15–26, Marc. 15. 6–15. Luc. 23. 18–25. Cf. Joan. 18. 39–19. 16.
[e] Rom. 16. 7.
[f] Joan. 19. 13. Act. 12. 21; 18. 12, 16, 17; 25. 6, 10, 17.
[g] ver. 24.
[h] cap. 1. 20; 2. 12, 13, 19, 22. Cf. Gen. 20. 6; 31. 11. Num. 12. 6. Job 33. 15.
[i] Act. 3. 14.
[k] Act. 3. 13.
[l] cap. 26. 5.
[m] Cf. Deut. 21. 6–8.
[n] ver. 4.

[1] ἔδωκα WH *marg.* R *marg.* [2] ἐστάθη LTTrWH. [3] —αὐτῷ TWH *text., non marg.* [4] λέγεις; WH *marg.* [5] —τῶν TWHR. [6] Πιλᾶτος *passim* LTr, Πειλᾶτος TWH. [7] ἐθέλετε B. [8] +[τὸν] Tr *marg.* WH. [9] εἶπαν TTrWH. [10] +τὸν TTrWH. [11] —αὐτῷ LTTrWHR. [12] —ἡγεμὼν TTrWHR, *at* λέγει αὐτοῖς ὁ ἡγεμών Tr *marg.* [13] κατέναντι LTrWH (*non marg.*). [14] ἀθῷός LTWH. [15] —τοῦ δικαίου T[Tr]WH *text.* (*non marg.*) R *marg. at* τούτου [τοῦ δικαίου] L.

[a]"Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν."
τκη 26 Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν· τὸν δὲ Ἰησοῦν
α [b]φραγελλώσας παρέδωκεν ἵνα σταυρωθῇ.
τκθ 27 [c]ΤΟΤΕ οἱ στρατιῶται τοῦ ἡγεμόνος, παραλαβόντες
δ τὸν Ἰησοῦν εἰς [d]τὸ πραιτώριον, [e]συνήγαγον ἐπ' αὐτὸν
28 ὅλην τὴν [f]σπεῖραν· καὶ ἐκδύσαντες[1] αὐτόν, περιέθηκαν
29 αὐτῷ [g]χλαμύδα κοκκίνην[2]· καὶ [e]πλέξαντες στέφανον ἐξ
ἀκανθῶν, ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν[3] αὐτοῦ, καὶ κάλα-
μον ἐπὶ τὴν δεξιὰν[4] αὐτοῦ· καὶ γονυπετήσαντες ἔμ-
προσθεν αὐτοῦ, [h]ἐνέπαιζον[5] αὐτῷ, λέγοντες, "Χαῖρε, ὁ
30 βασιλεὺς[6] τῶν Ἰουδαίων·" καὶ [i]ἐμπτύσαντες εἰς αὐτόν,
ἔλαβον τὸν κάλαμον, καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν
τλ 31 αὐτοῦ. Καὶ ὅτε [e]ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν[7] αὐτὸν τὴν
ς χλαμύδα, καὶ[8] ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ· [k]καὶ
τλα 32 ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. [lm]Ἐξερχόμενοι δὲ
α εὗρον [n]ἄνθρωπον [o]Κυρηναῖον[9], ὀνόματι Σίμωνα· τοῦτον
[p]ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ.
τλβ 33 ΚΑΙ ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθᾶ[10],
α 34 [q]ὅς[11] ἐστι λεγόμενος κρανίου τόπος[12], ἔδωκαν αὐτῷ πιεῖν[13]
τλγ δ [r]ὄξος[14] μετὰ [rs]χολῆς μεμιγμένον· καὶ γευσάμενος οὐκ
τλδ 35 ἤθελε[15] πιεῖν[13]. Σταυρώσαντες δὲ αὐτόν, [t]διεμερίσαντο
α τὰ ἱμάτια αὐτοῦ, βάλλοντες[16] κλῆρον· ἵνα πληρωθῇ τὸ
ῥηθὲν [u]ὑπὸ τοῦ προφήτου, 'Διεμερίσαντο τὰ ἱμάτιά μου
ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον[17].'
36, 37 Καὶ καθήμενοι [x]ἐτήρουν αὐτὸν ἐκεῖ. Καὶ ἐπέθηκαν
τλε ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν [y]αἰτίαν αὐτοῦ γεγραμ-
α μένην, [z]"Οὗτός ἐστιν Ἰησοῦς ὁ βασιλεὺς τῶν Ἰου-
τλϛ 38 δαίων." [a]Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί,
α εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων.
τλζ 39 [b]Οἱ δὲ παραπορευόμενοι [c]ἐβλασφήμουν αὐτόν, [d]κι-
ς 40 νοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες, [e]"Ὁ κατα-
λύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν,

[1] ἐνδύσαντες LWH *marg.* R *marg.* [2] χλαμύδα κοκκίνην περιέθηκαν αὐτῷ LTTrWH. [3] τῆς κεφαλῆς TTrWHR. [4] ἐν τῇ δεξιᾷ LTTrWHR. [5] ἐνέπαιξαν TTr *marg.* WH. [6] βασιλεῦ LTrWH *non marg.* [7] ἐκδύσαντες T. [8] —καὶ T. [9] +εἰς ἀπάντησιν αὐτοῦ WH *marg.* [10] Γολγοθά TrWH. [11] ὅ LTTrWH. [12] κρανίου τόπος λεγόμενος LTTrWH. [13] πεῖν T. [14] οἶνον LTTrWHR. [15] ἠθέλησεν LTTrWH. [16] βαλόντες LTTr *marg.* WH *marg.* [17] —ἵνα πληρωθῇ κ.τ.λ. *ad fin. vers.* LTTrWHR.

[a] Josh. 2. 19. Cf. Act. 5. 28. [b] Esa. 53. 5. Cf. Luc. 23. 16. Joan. 19. 1. [c] ver. 27—32, Marc. 15. 16—21. [d] Joan. 18. 28, 33; 19. 9. Act. 23. 35. Phil. 1. 13. [e] Joan. 19. 2, 3. [f] Marc. 15. 16. Joan. 18. 3, 12; Act. 10. 1; 21. 31; 27. 1. [g] Rev. 17. 4; 18. 12, 16. Cf. Luc. 23. 11. [h] ver. 31, 41. cap. 20. 19. [i] Vid. cap. 26. 67. [k] Esa. 53. 7. [l] ver. 32—50, Marc. 15. 22—37. [m] Vid. Heb. 13. 12. Cf. Num. 15. 35. cap. 21. 39. [n] Luc. 23. 26. [o] Act. 2. 10; 6. 9; 11. 20; 13. 1. [p] Vid. cap. 5. 41. [q] Luc. 23. 33. Joan. 19. 17. [r] Ps. 69. 21. [s] Act. 8. 23. [t] Luc. 23. 34. Joan. 19. 23, 24. [u] Ps. 22. 18. [x] ver. 54. [y] Act. 25. 18, 27. [z] Cf. Luc. 23. 38. Joan. 19. 19. Cf. ver. 42. [a] Luc. 23. 32, 33. Joan. 19. 18. Cf. Esa. 53. 12. [b] Ps. 22. 7; 109. 25. [c] Luc. 22. 65; 23. 39. [d] Job 16. 4. Lament. 2. 15. [e] Vid. cap. 26. 61.

σῶσον σεαυτόν· [a]εἰ υἱὸς εἶ **τοῦ Θεοῦ**[1], [2]κατάβηθι
ἀπὸ τοῦ σταυροῦ." Ὁμοίως **δὲ καὶ**[3] οἱ ἀρχιερεῖς 41 τλη β
[b]ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων
ἔλεγον, [c]"Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι.[4] 42
εἰ[5] [d]βασιλεὺς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ
σταυροῦ, καὶ **πιστεύσομεν**[6] **αὐτῷ**[7]. [e]πέποιθεν ἐπὶ **τὸν** 43
Θεόν[8]· ῥυσάσθω νῦν **αὐτόν**[9], εἰ θέλει αὐτόν. εἶπε
γάρ, [a]"Ὅτι Θεοῦ εἰμι υἱός." [f]Τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ 44 τλθ β
οἱ [10]**συσταυρωθέντες**[11] αὐτῷ ὠνείδιζον **αὐτῷ**[12].

[g]Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν 45 τμ β
γῆν ἕως ὥρας [h]**ἐννάτης**[13]· περὶ δὲ τὴν **ἐννάτην**[14] ὥραν 46 τμα ϛ
ἀνεβόησεν[15] ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων, "**Ἠλί,**
[i]**Ἠλί**[16], **λαμὰ**[17] **σαβαχθανί**[18];" τοῦτ' ἔστι, "Θεέ μου,
Θεέ μου, ἱνατί[19] με ἐγκατέλιπες;" Τινὲς δὲ τῶν ἐκεῖ 47
ἑστώτων[20] ἀκούσαντες ἔλεγον, "Ὅτι **Ἠλίαν**[21] φωνεῖ
οὗτος." Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν, καὶ 48 τμβ β
λαβὼν σπόγγον, [k]πλήσας τε ὄξους, καὶ περιθεὶς κα-
λάμῳ, [l]ἐπότιζεν αὐτόν· οἱ δὲ λοιποὶ **ἔλεγον**[22], "Ἄφες, 49
ἴδωμεν εἰ ἔρχεται **Ἠλίας**[23] σώσων αὐτόν[24]."

Ὁ δὲ Ἰησοῦς πάλιν [m]κράξας φωνῇ μεγάλῃ ἀφῆκε 50 τμγ α
τὸ πνεῦμα.

[n]Καὶ ἰδού, [o]τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη **εἰς** 51 τμδ β
δύο[25] **ἀπὸ**[26] ἄνωθεν ἕως κάτω· [p]καὶ ἡ γῆ ἐσείσθη, καὶ
αἱ πέτραι ἐσχίσθησαν· καὶ τὰ μνημεῖα ἀνεῴχθησαν, 52 τμε ι
καὶ πολλὰ σώματα τῶν [q]κεκοιμημένων ἁγίων **ἠγέρθη**[27],
καὶ ἐξελθόντες ἐκ τῶν μνημείων, μετὰ τὴν ἔγερσιν 53
αὐτοῦ, εἰσῆλθον εἰς [r]τὴν ἁγίαν πόλιν, καὶ ἐνεφανίσθη-
σαν πολλοῖς.

[s]Ὁ δὲ **ἑκατόνταρχος**[28] καὶ οἱ μετ' αὐτοῦ [t]τηροῦντες 54 τμϛ β
τὸν Ἰησοῦν, ἰδόντες [p]τὸν σεισμὸν καὶ τὰ **γενόμενα**[29],

[a] ver. 43. cap. 26. 63. Cf. Sap. 2. 18.
[b] ver. 29.
[c] Luc. 23. 35.
[d] Joan. 1. 50; 12. 13. Cf. ver. 37. Luc. 23. 37.
[e] Ps. 22. 8.
[f] Cf. Luc. 23. 39—43.
[g] Luc. 23. 44.
[h] Act. 3. 1. Cf. 1 Reg. 18. 29.
[i] Ps. 22. 1.
[k] Luc. 23. 36. Joan. 19. 29, 30.
[l] Ps. 69. 21.
[m] Luc. 23. 46. Cf. Joan. 19. 30.
[n] Marc. 15. 38. Luc. 23. 45.
[o] Ex. 26. 31, 33. 2 Chr. 3. 14.
[p] ver. 54.
[q] 1 Cor. 15. 6, 18, 20. 1 Thess. 4. 13, 14, 15. Cf. Joan. 11. 11, (13). Act. 7. 60; 13. 36. 1 Cor. 7. 39; 11. 30; 15. 51. 2 Pet. 3. 4.
[r] Vid. cap. 4. 5.
[s] Marc. 15. 39.
[t] ver. 36.

1 Θεοῦ εἶ LTr *marg.* WH *marg.* 2 +καὶ LT. 3 −δὲ καὶ [L]T, [δὲ] καὶ Tr, −δὲ WHR, [καὶ] WH. 4 σῶσαι; R *marg.* 5 −εἰ TTrWHR. 6 πιστεύομεν L, πιστεύσωμεν T. 7 ἐπ' αὐτὸν TTr (*non marg.*) WHR. 8 τῷ Θεῷ L (*non marg.*) WH *marg.* 9 −αὐτόν T[Tr]WH. 10 συνσταυρωθέντες LTTrWH. 11 +σὺν LTTrWH. 12 αὐτόν LTTrWH. 13 ἐνάτης LTTrWH. 14 ἐνάτην LTTrWH. 15 ἐβόησεν L *marg.* TrWH. 16 Ἡλὶ ἠλὶ L, ἠλεὶ ἠλεὶ T, ἐλωί ἐλωί WH *text.* ἠλεί ἠλεί WH *marg.* 17 λημὰ L, λεμὰ TTrWH (*non marg.*). 18 σαβακθανί L, σαβαχθανεί TTrWH *text, at* ζαφθανεί *marg.* 19 ἵνα τί WH. 20 ἑστηκότων TTrWH. 21 Ἠλίαν E, Ἡλείαν T, Ἠλείαν WH. 22 εἶπαν LTrWH (*non marg.*). 23 Ἠλίας SE, Ἡλείας T, Ἠλείας WH. 24 WH *text.* (*inter* [[ ]]) R *marg.* *addunt* ἄλλος δὲ λαβὼν λόγχην ἔνυξεν αὐτοῦ τὴν πλευράν, καὶ ἐξῆλθεν ὕδωρ καὶ αἷμα. 25 εἰς δύο *post* κάτω *legunt* TTrWH. 26 −ἀπὸ T, ἀπ' Tr, [ἀπ'] WH. 27 ἠγέρθησαν LTTrWH. 28 ἑκατοντάρχης T. 29 γινόμενα LTTrWH.

ἐφοβήθησαν σφόδρα, λέγοντες, [a] "Ἀληθῶς **Θεοῦ υἱὸς**[1]
ἦν οὗτος."
τμζ 55 [b] Ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ [c] ἀπὸ μακρόθεν θεω-
ς ροῦσαι, αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γα-
56 λιλαίας, [d] διακονοῦσαι αὐτῷ· ἐν αἷς ἦν [e] **Μαρία**[2] ἡ Μαγ-
δαληνή, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ **Ἰωσῆ**[3] μήτηρ,
καὶ [f] ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου.
ΞΗ΄. 57 [g] ὈΨΙΑΣ δὲ γενομένης, ἦλθεν ἄνθρωπος πλούσιος
τμη ἀπὸ Ἀριμαθαίας[4], τοὔνομα Ἰωσήφ, ὃς καὶ αὐτὸς
α 58 **ἐμαθήτευσε**[5] τῷ Ἰησοῦ· οὗτος προσελθὼν τῷ Πι-
λάτῳ[6], ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. τότε ὁ **Πιλάτος**[7]
τμθ 59 ἐκέλευσεν ἀποδοθῆναι **τὸ σῶμα**[8]. καὶ λαβὼν τὸ
α σῶμα ὁ Ἰωσὴφ ἐνετύλιξεν αὐτὸ[9] σινδόνι καθαρᾷ,
60 καὶ [h] ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ, [i] ὃ ἐλα-
τόμησεν ἐν τῇ πέτρᾳ· καὶ προσκυλίσας [k] λίθον μέ-
τν 61 γαν[10] τῇ θύρᾳ τοῦ μνημείου, ἀπῆλθεν. ἦν δὲ ἐκεῖ
ς **Μαρία**[11] ἡ Μαγδαληνή, καὶ ἡ ἄλλη Μαρία, καθήμεναι
ἀπέναντι τοῦ τάφου.
τνα 62 ΤΗι δὲ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν [l] παρασκευήν,
ι συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πρὸς Πι-
63 **λάτον**[12], λέγοντες, "Κύριε, ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ
[m] πλάνος εἶπεν ἔτι ζῶν, Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι.
64 κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς
τρίτης ἡμέρας· μήποτε ἐλθόντες οἱ μαθηταὶ **αὐτοῦ**[13]
νυκτὸς[14] κλέψωσιν αὐτόν, καὶ εἴπωσι τῷ λαῷ, [n] Ἠγέρ-
θη ἀπὸ τῶν νεκρῶν· καὶ ἔσται ἡ ἐσχάτη [m] πλάνη
65 χείρων τῆς πρώτης." Ἔφη **δὲ**[15] αὐτοῖς ὁ **Πιλάτος**[7],
"Ἔχετε [o] κουστωδίαν· ὑπάγετε, ἀσφαλίσασθε ὡς οἴ-
66 δατε." Οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον,
[p] σφραγίσαντες [k] τὸν λίθον μετὰ τῆς [o] κουστωδίας.
τνβ 28 [q] ὈΨΕ **δὲ**[16] σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαβ-
α βάτων, ἦλθε [e] **Μαρία**[2] ἡ Μαγδαληνή, καὶ [r] ἡ ἄλλη Μα-
2 ρία, θεωρῆσαι τὸν τάφον. Καὶ ἰδού, σεισμὸς ἐγένετο
μέγας· [s] ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ,

[1] υἱὸς Θεοῦ L (*non marg.*) Tr (*non marg.*) WH *marg.* [2] Μαριὰμ WH *marg.* [3] Ἰωσὴφ TTr *marg.* WH (*non marg.*) [4] Ἀριμαθαίας WH. [5] ἐμαθητεύθη LTTrWH (*non marg.*). [6] Πειλάτῳ TWH. [7] Πειλᾶτος WH. [8] —τὸ σῶμα T[Tr]WHR. [9] +ἐν Tr[WH]. [10] +ἐπὶ L. [11] Μαριὰμ TWH. [12] Πειλᾶτον TWH. [13] —αὐτοῦ TWH (*non marg.*). [14] —νυκτὸς LTTrWHR. [15] —δὲ LTTrWH (*non marg.*) R. [16] [δὲ] Tr *marg.*, ὀψὲ σαββάτων *cum cap.* XXVII *conjuncto.*

[a] ver. 43. Cf. Luc. 23. 47.
[b] ver. 55, 56, Marc. 15. 40, 41. Luc. 23. 49. Cf. Joan. 19. 25.
[c] Ps. 38. 11.
[d] Vid. cap. 25. 44.
[e] cap. 28. 1. Marc. 16. 9. Luc. 8. 2. Joan. 20. 1.
[f] cap. 20. 20.
[g] ver. 57—61, Marc. 15. 42—47. Luc. 23. 50—56. Joan. 19. 38—42.
[h] Esa. 53. 9.
[i] Esa. 22. 16.
[k] Marc. 16. 4. ver. 66. cap. 28. 2.
[l] Marc. 15. 42. Luc. 23. 54. Joan. 19. 14, 31, 42.
[m] 2 Cor. 6. 8. Cf. ver. 64.
[n] Vid. cap. 16. 21.
[o] ver. 66. cap. 28. 11.
[p] Dan. 6. 17.
[q] ver. 1—8, Marc. 16. 1—8. Luc. 24. 1—10. Cf. Joan. 20. 1—8.
[r] cap. 27. 56, 61.
[s] Cf. Luc. 24. 4. Joan. 20. 12.

[1]προσελθὼν ἀπεκύλισε [a]τὸν λίθον ἀπὸ τῆς θύρας[2], καὶ
ἐκάθητο ἐπάνω αὐτοῦ. [b]ἦν δὲ ἡ ἰδέα[3] αὐτοῦ ὡς ἀστρα- 3
πή, καὶ [c]τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ[4] χιών. ἀπὸ δὲ 4
τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγέ-
νοντο ὡσεὶ[5] νεκροί. [d]Ἀποκριθεὶς δὲ ὁ ἄγγελος εἶπε 5 τνγ
ταῖς γυναιξί, "Μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γὰρ ὅτι β
Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε. οὐκ ἔστιν ὧδε· 6
ἠγέρθη γάρ, [e]καθὼς εἶπε. δεῦτε, ἴδετε τὸν τόπον
ὅπου ἔκειτο ὁ Κύριος[6]. καὶ ταχὺ πορευθεῖσαι εἴπατε 7
τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν·
καὶ ἰδού, [f]προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν
ὄψεσθε. ἰδού, εἶπον ὑμῖν." Καὶ ἐξελθοῦσαι[7] ταχὺ 8 τνδ
ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης, β
ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ. ὡς δὲ ἐπο- 9 τνε
ρεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ[8], καὶ ἰδού, [g]ὁ[9] ι
Ἰησοῦς ἀπήντησεν[10] αὐταῖς, λέγων, "Χαίρετε." Αἱ
δὲ προσελθοῦσαι [h]ἐκράτησαν αὐτοῦ τοὺς πόδας, καὶ
[i]προσεκύνησαν αὐτῷ. τότε λέγει αὐταῖς ὁ Ἰησοῦς· 10
"Μὴ φοβεῖσθε· ὑπάγετε, [k]ἀπαγγείλατε [l]τοῖς ἀδελ-
φοῖς μου, ἵνα [f]ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ[11]
με ὄψονται."

Πορευομένων δὲ αὐτῶν, ἰδού, τινὲς [m]τῆς κουστω- 11
δίας ἐλθόντες εἰς τὴν πόλιν ἀπήγγειλαν[12] τοῖς ἀρχιε-
ρεῦσιν ἅπαντα τὰ γενόμενα. καὶ συναχθέντες μετὰ 12
τῶν πρεσβυτέρων, συμβούλιόν τε λαβόντες, ἀργύρια
ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις, λέγοντες, "Εἴπατε, 13
Ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐ-
τὸν ἡμῶν κοιμωμένων, καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ[13] 14
[n]τοῦ ἡγεμόνος, ἡμεῖς [o]πείσομεν αὐτόν[14], καὶ ὑμᾶς ἀμε-
ρίμνους ποιήσομεν." Οἱ δὲ λαβόντες τὰ[15] ἀργύρια 15
ἐποίησαν ὡς ἐδιδάχθησαν. καὶ [p]διεφημίσθη[16] ὁ λόγος
οὗτος παρὰ Ἰουδαίοις [q]μέχρι τῆς σήμερον[17].

[a] cap. 27. 60, 66.
[b] Dan. 10. 6.
[c] Dan. 7. 9. Marc. 9. 3. Joan. 20. 12. Act. 1. 10.
[d] Vid. cap. 11. 25.
[e] cap. 27. 63. Cf. cap. 12. 40; 16. 21; 17. 23.
[f] ver. 10, 16. cap. 26. 32. Marc. 16. 7.
[g] Cf. Marc. 16. 9. Joan. 20. 14.
[h] 2 Reg. 4. 27.
[i] ver. 17. Vid. cap. 8. 2.
[k] Cf. Joan. 20. 18.
[l] Joan. 20. 17. Cf. Ps. 22. 22. Rom. 8. 29. Heb. 2. 11, 12, 17.
[m] cap. 27. 65, 66.
[n] cap. 27. 1.
[o] Act. 12. 20.
[p] (var. lect.) cap. 9. 31. Marc. 1. 45.
[q] Cf. cap. 27. 8.

[1] +καὶ TTrWHR. [2] —ἀπὸ τῆς θύρας LTTrWHR. [3] εἰδέα TTrWH. [4] ὡς LTTrWH. [5] ἐγενήθησαν ὡς LTTrWH. [6] —ὁ Κύριος T[Tr]WH *text.* (*non marg.*) R. [7] ἀπελθοῦσαι TTrWHR. [8] —ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ LTTrWHR. [9] —ὁ TWH. [10] ὑπήντησεν TTrWH. [11] καὶ ἐκεῖ T. [12] ἀνήγγειλαν T. [13] ὑπὸ LTrWH *marg.* [14] —αὐτόν T[Tr]WH. [15] —τὰ WH (*non marg.*). [16] ἐφημίσθη TWH *marg.* [17] +ἡμέρας LTr[WH].

16 Οἱ δὲ ἕνδεκα μαθηταὶ ᵃἐπορεύθησαν εἰς τὴν Γαλι-
17 λαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. καὶ
ἰδόντες αὐτόν, ᵇπροσεκύνησαν αὐτῷ[1]· οἱ δὲ ἐδίστα-
18 σαν. καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς,
λέγων, ᶜ"Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ
19 ἐπὶ[2] γῆς. ᵈπορευθέντες οὖν[3] ᵉμαθητεύσατε ᶠπάντα τὰ
ἔθνη, ᵈᵍ**βαπτίζοντες**[4] αὐτοὺς ᵍεἰς τὸ ὄνομα τοῦ Πατρὸς
20 καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, διδάσκοντες
αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ
ἰδού, ʰἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως ⁱτῆς
συντελείας τοῦ αἰῶνος. **Ἀμήν**[5]." [6]

ΤΟ ΚΑΤΑ ΜΑΡΚΟΝ

ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ[7].

α 1 ἈΡΧΗ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ, ᵏ**υἱοῦ τοῦ**
β 2 **Θεοῦ**[8]· **ὡς**[9] γέγραπται ἐν **τοῖς προφήταις**[10], ˡ"Ἰδού, **ἐγὼ**[11]
ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς
β 3 κατασκευάσει τὴν ὁδόν σου **ἔμπροσθέν σου**[12]. ᵐⁿΦωνὴ
α βοῶντος ἐν τῇ ἐρήμῳ[13], Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου·
γ 4 εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.'" Ἐγένετο **Ἰωάν-**
ς **νης**[14,15] βαπτίζων ἐν τῇ ἐρήμῳ, **καὶ**[16] κηρύσσων ᵒβάπ-
5 τισμα μετανοίας ᵒᵖεἰς ἄφεσιν ἁμαρτιῶν. καὶ ἐξεπο-
ρεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα, καὶ οἱ
Ἱεροσολυμῖται[17]· **καὶ ἐβαπτίζοντο πάντες**[18] **ἐν τῷ Ἰορ-**
δάνῃ ποταμῷ ὑπ' αὐτοῦ[19], ἐξομολογούμενοι τὰς ἁμαρ-
6 τίας αὐτῶν. **ἦν δὲ**[20,21] **Ἰωάννης**[14] ἐνδεδυμένος τρίχας

[1] —αὐτῷ LTTrWHR. [2] +τῆς LTr[WH]. [3] —οὖν T[LTr]. [4] *βαπτίσαντες* Tr (*non marg.*) WH *marg.* [5] —Ἀμήν LTTrWHR. [6] +Κατὰ Μαθθαῖον Tr. [7] Εὐαγγέλιον κατὰ Μάρκον LTr, Κατὰ Μάρκον TWH, —ἅγιον B. [8] —υἱοῦ τοῦ Θεοῦ TR *marg.*, υἱοῦ θεοῦ WH *marg.* (*om. text.*), —τοῦ LTr. [9] καθὼς TTrWHR. [10] τῷ ([τῷ] Tr) Ἡσαΐᾳ (Ἠσ. L, Ἠσαίᾳ WH) τῷ προφήτῃ L (*non marg.*) TTrWHR. [11] —ἐγὼ LTrWH. [12] —ἔμπροσθέν σου LTTrWHR. [13] *Jungit* Tr ἐν τῇ ἐρήμῳ *cum* ἑτοιμάσατε. [14] Ἰωάνης WH. [15] + ὁ TTrWHR. [16] [καὶ] Tr (*omittunt* WHTr *marg.*). [17] Ἱεροσολυμεῖται T, Ἱεροσολυμεῖται WH. [18] πάντες, καὶ ἐβαπτίζοντο LTTrWH (πάντες· καὶ ἐβαπτίζοντο R). [19] ὑπ' αὐτοῦ ἐν τῷ Ἰορδάνῃ ποταμῷ L *marg.* TTr (*non marg.*) WH. [20] καὶ ἦν L (*non marg.*) TTr (*non marg.*) WH. [21] +ὁ TTrWH.

ᵃ ver. 7. ᵇ ver. 9. ᶜ Vid. cap. 11. 27. Cf. Dan. 7. 14. Rom. 14. 9. Eph. 1. 10, 20—22. Phil. 2. 9, 10. Col. 2. 10. Heb. 2. 8. 1 Pet. 3. 22. ᵈ Marc. 16. 15, 16. ᵉ cap. 13. 52. Cf. Act. 14. 21. ᶠ Luc. 24. 47. ᵍ Rom. 6. 3. 1 Cor. 1. 13, 15. Gal. 3. 27. ʰ Josh. 1. 5. Jer. 1. 8, 19. Act. 18. 10. ⁱ Vid. cap. 13. 39.

ᵏ Vid. Matt. 14. 33 (var. lect.). ˡ Mal. 3. 1. Matt. 11. 10. Luc. 7. 27. ᵐ ver. 3—8, Matt. 3. 1—12. Luc. 3. 2—17. ⁿ Esa. 40. 3. Joan. 1. 23. ᵒ Act. 2. 38; 13. 24; 19. 4. ᵖ Col. 1. 14. Cf. Eph. 1. 7.

καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν
αὐτοῦ, καὶ **ἐσθίων**[1] ἀκρίδας καὶ μέλι ἄγριον. Καὶ 7
ἐκήρυσσε, λέγων, "Ἔρχεται ὁ ἰσχυρότερός μου
ὀπίσω **μου**[2], οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν
ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. ἐγὼ **μὲν**[3] ἐβάπτισα 8
ὑμᾶς **ἐν**[4] ὕδατι· αὐτὸς δὲ βαπτίσει ὑμᾶς **ἐν**[5] Πνεύ-
ματι Ἁγίῳ." [a]**Καὶ**[6] ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέ- 9
ραις, ἦλθεν Ἰησοῦς ἀπὸ [b]**Ναζαρὲτ**[7] τῆς Γαλιλαίας,
καὶ ἐβαπτίσθη **ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην**[8]. καὶ 10
εὐθέως[9] ἀναβαίνων **ἀπὸ**[10] τοῦ ὕδατος, εἶδε [c]σχιζομέ-
νους τοὺς οὐρανούς, καὶ τὸ Πνεῦμα **ὡσεὶ**[11] περιστερὰν
καταβαῖνον **ἐπ'**[12] αὐτόν· καὶ φωνὴ **ἐγένετο**[13] ἐκ τῶν 11
οὐρανῶν, "Σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν **ᾧ**[14] εὐ-
δόκησα." [d]Καὶ **εὐθὺς**[15] τὸ Πνεῦμα αὐτὸν ἐκβάλλει 12
εἰς τὴν ἔρημον. καὶ ἦν **ἐκεῖ**[16] ἐν τῇ ἐρήμῳ **ἡμέρας** 13
τεσσαράκοντα[17], πειραζόμενος ὑπὸ τοῦ Σατανᾶ, καὶ
ἦν μετὰ τῶν θηρίων· καὶ οἱ ἄγγελοι διηκόνουν
αὐτῷ.

[e]**ΜΕΤΑ δὲ**[18] τὸ παραδοθῆναι τὸν **Ἰωάννην**[19], ἦλθεν 14
ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν, [f]κηρύσσων [g]τὸ εὐαγ-
γέλιον **τῆς βασιλείας**[20] τοῦ Θεοῦ, **καὶ λέγων**[21], [h]"Ὅτι 15
πεπλήρωται ὁ καιρός, καὶ [h]ἤγγικεν ἡ βασιλεία τοῦ
Θεοῦ· [i]μετανοεῖτε, καὶ [i]πιστεύετε ἐν τῷ εὐαγγελίῳ."

[k]**Περιπατῶν δὲ**[22] παρὰ τὴν θάλασσαν τῆς Γαλι- 16
λαίας, εἶδε Σίμωνα καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐ-
τοῦ[23], **βάλλοντας**[24] **ἀμφίβληστρον**[25] ἐν τῇ θαλάσσῃ·
ἦσαν γὰρ **ἁλιεῖς**[26]. καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, "Δεῦτε 17
ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς γενέσθαι **ἁλιεῖς**[26] ἀνθρώ-
πων." Καὶ **εὐθέως**[27] ἀφέντες τὰ δίκτυα **αὐτῶν**[28], ἠκο- 18

[a] ver. 9—11, Matt. 3. 13—17. Luc. 3. 21, 22.
[b] Matt. 2. 23.
[c] Esa. 64. 1.
[d] ver. 12, 13, Matt. 4. 1—11. Luc. 4. 1—13.
[e] Vid. Matt. 4. 12.
[f] Matt. 4. 17, 23.
[g] Rom. 1. 1; 15. 16. 2 Cor. 11. 7. 1 Thess. 2. 2, 8, 9.
[h] Cf. Dan. 9. 25. Joan. 7. 8. Rom. 5. 6. Gal. 4. 4. Eph. 1. 10. 1 Tim. 2. 6. Tit. 1. 3.
[i] Act. 20. 21.
[k] ver. 16—20, Matt. 4. 18—22. Cf. Luc. 5. 2—11. Joan. 1. 40—42.

[1] ἔσθων TTrWH. [2] [μου] WH. [3] —μὲν TTrWHR, [μὲν] L. [4] —ἐν TTr *marg.* WH, [ἐν] Tr. [5] [ἐν] LTrWH, —ἐν WH. [6] [Καὶ] L, —Καὶ WH *marg.* [7] Ναζαρὲθ BETr (*non marg.*). [8] εἰς τὸν Ἰορδάνην ὑπὸ Ἰωάννου L (*non marg.*) TTrWH (Ἰωάνου WH). [9] εὐθὺς TTrWH. [10] ἐκ LTTrWHR. [11] ὡς LTTrWHR. [12] εἰς L (*non marg.*) TTrWH. [13] —ἐγένετο T[WH]. [14] σοι L (*non marg.*) TTrWHR. [15] εὐθέως L. [16] —ἐκεῖ LTTrWHR. [17] τεσσεράκοντα ἡμέρας TTrWH, τεσσαράκοντα ἡμέρας L *marg.* [18] Καὶ μετὰ LTr (*non marg.*) WH. [19] Ἰωάνην WH. [20] —τῆς βασιλείας [L]TTrWHR. [21] —καὶ λέγων T, [καὶ] λέγων Tr *marg.*, [καὶ λέγων] WH. [22] καὶ παράγων LTTrWHR. [23] τοῦ Σίμωνος LR, Σίμωνος TTrWH. [24] ἀμφιβάλλοντας LTTrWHR. [25] —ἀμφίβληστρον TTrWHR. [26] ἀλεεῖς TWH. [27] εὐθὺς TWH. [28] —αὐτῶν LTTrWHR.

ια 19 λούθησαν αὐτῷ. Καὶ προβὰς ἐκεῖθεν[1] ὀλίγον, εἶδεν
ς Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην[2] τὸν ἀδελ-
φὸν αὐτοῦ, καὶ αὐτοὺς ἐν τῷ πλοίῳ καταρτίζοντας
20 τὰ δίκτυα. καὶ εὐθέως[3] ἐκάλεσεν αὐτούς· καὶ ἀφέντες
τὸν πατέρα αὐτῶν Ζεβεδαῖον ἐν τῷ πλοίῳ μετὰ τῶν
μισθωτῶν, ἀπῆλθον ὀπίσω αὐτοῦ.

ιβ 21 Καὶ [a]εἰσπορεύονται εἰς Καπερναούμ[4]· καὶ εὐθέως[8]
η τοῖς σάββασιν [b]εἰσελθὼν[5] εἰς [n]τὴν συναγωγήν, ἐδίδασκε[6].
ιγ 22 καὶ [c]ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ· [c]ἦν γὰρ δι-
β δάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ
Α'. 23 γραμματεῖς[7]. Καὶ[8] ἦν ἐν [n]τῇ συναγωγῇ αὐτῶν ἄν-
ιδ 24 θρωπος ἐν πνεύματι ἀκαθάρτῳ, καὶ ἀνέκραξε, λέγων,
η "Ἔα[9], [d]τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; ἦλθες
ἀπολέσαι ἡμᾶς; [e]οἶδά[10] σε τίς εἶ, [f]ὁ ἅγιος τοῦ Θεοῦ."
25 Καὶ [g]ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, λέγων[11], "Φιμώθητι,
26 καὶ [h]ἔξελθε ἐξ αὐτοῦ." Καὶ [i]σπαράξαν αὐτὸν τὸ πνεῦ-
μα τὸ ἀκάθαρτον, καὶ [k]κράξαν[12] φωνῇ μεγάλῃ, ἐξῆλ-
27 θεν ἐξ[13] αὐτοῦ. καὶ ἐθαμβήθησαν πάντες[14], ὥστε
συζητεῖν[15] πρὸς[16] αὐτούς[17], λέγοντας, "Τί ἐστι τοῦτο;
τίς [l]ἡ διδαχὴ ἡ καινὴ αὕτη, ὅτι κατ' ἐξουσίαν[18] καὶ
τοῖς πνεύμασι τοῖς ἀκαθάρτοις ἐπιτάσσει, καὶ ὑπα-
28 κούουσιν αὐτῷ;" Ἐξῆλθε δὲ[19] ἡ ἀκοὴ αὐτοῦ εὐθὺς[20]
[21]εἰς ὅλην τὴν περίχωρον τῆς Γαλιλαίας.

Β'. 29 [m]Καὶ εὐθέως[22] [n]ἐκ τῆς συναγωγῆς ἐξελθόντες, ἦλθον[23]
ιε εἰς τὴν οἰκίαν Σίμωνος καὶ Ἀνδρέου, μετὰ Ἰακώβου
β 30 καὶ Ἰωάννου[24]. ἡ δὲ πενθερὰ Σίμωνος κατέκειτο πυ-
ρέσσουσα. καὶ εὐθέως[25] λέγουσιν αὐτῷ περὶ αὐτῆς.
31 καὶ προσελθὼν ἤγειρεν αὐτήν, κρατήσας τῆς χειρὸς
αὐτῆς[26]· καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς εὐθέως[27], καὶ

[a] Matt. 4. 13. ver. 21—28, Luc. 4. 31—37. [b] ver. 39. Vid. Matt. 4. 23. [c] Vid. Matt. 7. 28, 29.
[d] Vid. Matt. 8. 29. [e] Cf. Act. 19. 15. [f] Joan. 6. 69 (var. lect.). Cf. Luc. 1. 35. Act. 3. 14. [g] Matt. 12. 16, &c. [h] Cf. Act. 16. 17, 18. [i] cap. 9. 26. [k] cap. 5. 7. Cf. Act. 8. 7. [l] Act. 17. 19. Cf. Heb. 13. 9.
[m] ver. 29—34, Matt. 8. 14—16. Luc. 4. 38—41. [n] ver. 21, 23.

1 —ἐκεῖθεν TTr[L]WHR. 2 Ἰωάνην WH. 3 εὐθὺς TTrWH. 4 Καφαρναούμ LTTrWH. 5 —εἰσελθὼν T[Tr]WH *marg.* 6 ἐδίδασκεν εἰς τὴν συναγωγὴν TWH *marg.*, *at* —τὴν *tantum* BE. 7 +[αὐτῶν] L. 8 +εὐθὺς T[Tr *marg.*]WHR. 9 —Ἔα LTTrWHR. 10 οἴδαμεν TTr *marg.* WH *marg.* 11 —λέγων T[WH]. 12 φωνῆσαν TTrWHR. 13 ἀπ' L. 14 ἅπαντες TTrWH. 15 συνζητεῖν LTTrWH. 16 —πρὸς TWH (*non marg.*). 17 αὐτούς BEWH, ἑαυτούς LTrWH *marg.* R. 18 ; διδαχὴ καινή· (, Tr) κατ' ἐξουσίαν LTrWHR, διδαχὴ καινὴ κατ' ἐξουσίαν· T. 19 καὶ ἐξῆλθεν LTTrWH. 20 [εὐθὺς] Tr. 21 +πανταχοῦ T[Tr]WHR. 22 εὐθὺς LTTrWH. 23 ἐξελθὼν ἦλθεν LTrWH *marg.* R *marg.*, *at* ἦλθαν WH *text.* 24 Ἰωάνου WH. 25 εὐθὺς LTTrWH. 26 —αὐτῆς LT[Tr]WH. 27 —εὐθέως TTrWHR.

διηκόνει αὐτοῖς. [a] Ὀψίας δὲ γενομένης, ὅτε ἔδυ[1] ὁ 32 Γ'.
ἥλιος, ἔφερον πρὸς αὐτὸν πάντας τοὺς κακῶς ἔχοντας
καὶ τοὺς δαιμονιζομένους· καὶ ἡ πόλις ὅλη ἐπισυνηγ- 33
μένη ἦν[2] πρὸς τὴν θύραν. καὶ [b] ἐθεράπευσε πολλοὺς 34
κακῶς ἔχοντας ποικίλαις νόσοις· καὶ δαιμόνια πολλὰ ιϛ
ἐξέβαλε, καὶ [c] οὐκ ἤφιε λαλεῖν τὰ δαιμόνια, ὅτι ᾔδει- η
σαν αὐτόν[3].
[d] Καὶ πρωῒ ἔννυχον[4] λίαν ἀναστὰς ἐξῆλθε, καὶ 35 ιζ
ἀπῆλθεν[5] εἰς ἔρημον τόπον, κἀκεῖ[6] [e] προσηύχετο. καὶ 36 η
κατεδίωξαν[7] αὐτὸν ὁ[8] Σίμων καὶ οἱ μετ' αὐτοῦ· καὶ 37
εὑρόντες αὐτόν[9], λέγουσιν αὐτῷ, "Ὅτι πάντες ζητοῦ-
σί σε[10]." Καὶ λέγει αὐτοῖς, "Ἄγωμεν[11] εἰς τὰς 38
ἐχομένας κωμοπόλεις, ἵνα κἀκεῖ[12] κηρύξω· [f] εἰς τοῦτο
γὰρ ἐξελήλυθα[13]." Καὶ ἦν[14] [g] κηρύσσων ἐν ταῖς συνα- 39
γωγαῖς[15] αὐτῶν, εἰς ὅλην τὴν Γαλιλαίαν, καὶ τὰ δαι-
μόνια ἐκβάλλων.
[h] Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρός, παρακαλῶν αὐτὸν 40 Δ'.
καὶ [i] γονυπετῶν αὐτόν[16], καὶ[17] λέγων αὐτῷ, "Ὅτι[18], ἐὰν ιη
θέλῃς, δύνασαί με καθαρίσαι." Ὁ δὲ Ἰησοῦς[19] 41 β
σπλαγχνισθεὶς[20], ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ[21],
καὶ λέγει αὐτῷ[22], "Θέλω, καθαρίσθητι." Καὶ εἰπόν- 42
τος αὐτοῦ[23], εὐθέως[24] ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ λέπρα,
καὶ ἐκαθαρίσθη[25]. Καὶ [k] ἐμβριμησάμενος αὐτῷ, εὐ- 43
θέως[26] ἐξέβαλεν αὐτόν, καὶ λέγει αὐτῷ, [c] "Ὅρα, μη- 44
δενὶ μηδὲν[27] εἴπῃς· ἀλλ'[28] ὕπαγε, σεαυτὸν δεῖξον τῷ
ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου ἃ
προσέταξε Μωσῆς[29], εἰς μαρτύριον αὐτοῖς." [l] Ὁ δὲ 45 ιθ
ἐξελθὼν ἤρξατο κηρύσσειν πολλὰ καὶ [m] διαφημίζειν ι
τὸν λόγον, ὥστε μηκέτι αὐτὸν δύνασθαι φανερῶς εἰς

[a] Cf. Luc. 4. 40.
[b] Matt. 4. 23.
[c] ver. 44. Vid. Matt. 8. 4.
[d] ver. 35—38, Luc. 4. 42, 43.
[e] Matt. 14. 23. Luc. 5. 16; 6. 12; 9. 28.
[f] Esa. 61. 1.
[g] Vid. ver. 21.
[h] ver. 40—44, Matt. 8. 2—4. Luc. 5. 12—14.
[i] Matt. 17. 14. cap. 10. 17.
[k] Matt. 9. 30.
[l] Cf. Luc. 5. 15.
[m] Matt. 9. 31; 28. 15 (var. lect.).

[1] ἔδυσεν LTrWH. [2] ἦν ὅλη ἡ πόλις ἐπισυνηγμένη LTTrWH. [3] [Χριστὸν εἶναι] WH *text.*, Χριστὸν εἶναι R *marg.* [4] ἔννυχα LTTrWHR. [5] [καὶ ἀπῆλθεν] WH. [6] καὶ ἐκεῖ L. [7] κατεδίωξεν TWH. [8] —ὁ T[Tr]WH. [9] εὗρον αὐτὸν καὶ TTr (*non marg.*) WHR. [10] σε ζητοῦσιν L. [11] +ἀλλαχοῦ TTr[Tr *marg.*] WHR. [12] καὶ ἐκεῖ WH. [13] ἐξῆλθον TTrWHR. [14] ἦλθεν TTr (*non marg.*) WHR. [15] εἰς τὰς συναγωγὰς LTTrWHR. [16] —καὶ γονυπετῶν αὐτόν LTr *marg.* [Tr]R *marg.*, [καὶ γονυπετῶν] WH —αὐτόν *tantum* TWH. [17] —καὶ TWH. [18] Κύριε L *marg.* [19] Καὶ L (*non marg.*) TTr (*non marg.*) WHR. [20] ὀργισθεὶς WH *marg.* [21] αὐτοῦ ἥψατο LTTrWH. [22] —αὐτῷ T. [23] —εἰπόντος αὐτοῦ LTTrWHR. [24] εὐθὺς TTrWH. [25] ἐκαθερίσθη TWH. [26] εὐθὺς LTTrWH. [27] —μηδὲν L[Tr]. [28] ἀλλὰ LTTrWH. [29] Μωϋσῆς LTTrWH.

[ac]**πόλιν**[1] εἰσελθεῖν· **ἀλλ'**[2] ἔξω **ἐν**[3] [a]ἐρήμοις τόποις **ἦν**[4],
καὶ [b]ἤρχοντο πρὸς αὐτὸν **πανταχόθεν**[5].

κ̄ 2 Καὶ **πάλιν εἰσῆλθεν**[6] εἰς [c]**Καπερναοὺμ**[7] δι' ἡμερῶν·
α 2 **καὶ**[8] ἠκούσθη ὅτι **εἰς οἶκόν**[9] ἐστι· καὶ **εὐθέως**[10] [b]συνή-
χθησαν πολλοί, ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς
E'. 3 τὴν θύραν· καὶ ἐλάλει αὐτοῖς τὸν λόγον. [d]Καὶ ἔρ-
χονται **πρὸς αὐτόν, παραλυτικὸν φέροντες**[11], αἰρόμενον
4 ὑπὸ τεσσάρων. καὶ μὴ δυνάμενοι **προσεγγίσαι**[12] αὐτῷ
διὰ τὸν ὄχλον, [e]ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν,
καὶ ἐξορύξαντες χαλῶσι τὸν **κράββατον**[13], **ἐφ'** **ᾧ**[14] ὁ
5 παραλυτικὸς κατέκειτο. **ἰδὼν δὲ**[15] ὁ Ἰησοῦς τὴν πίστιν
αὐτῶν λέγει τῷ παραλυτικῷ, "Τέκνον, **ἀφέωνταί**[16] **σοι**
6 **αἱ ἁμαρτίαι σου**[17]." Ἦσαν δέ τινες τῶν γραμματέων
ἐκεῖ καθήμενοι, καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις
7 αὐτῶν, "Τί[18] οὗτος οὕτω λαλεῖ **βλασφημίας;**[19] [f]τίς
8 δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ εἷς, ὁ Θεός;" Καὶ
εὐθέως[20] ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ, ὅτι
οὕτως[21] διαλογίζονται ἐν ἑαυτοῖς, **εἶπεν**[22] **αὐτοῖς**[23], "Τί
9 ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; τί ἐστιν
εὐκοπώτερον, εἰπεῖν τῷ παραλυτικῷ, **'Ἀφέωνταί**[24] **σοι**[25]
αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, **Ἔγειραι**[26], **καὶ**[27] ἆρόν **σου τὸν**
10 **κράββατον**[28], καὶ **περιπάτει**[29]; ἵνα δὲ εἰδῆτε, ὅτι ἐξου-
σίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου **ἀφιέναι ἐπὶ τῆς γῆς**[30]
11 ἁμαρτίας, (λέγει τῷ παραλυτικῷ,) Σοὶ λέγω, **ἔγει-
ραι**[31], **καὶ**[32] ἆρον τὸν **κράββατόν**[13] σου, καὶ ὕπαγε εἰς
12 τὸν οἶκόν σου." Καὶ ἠγέρθη **εὐθέως, καὶ**[33] ἄρας τὸν
κράββατον[13], ἐξῆλθεν **ἐναντίον**[34] πάντων· ὥστε ἐξίστα-

[a] 2 Cor. 11. 26.
[b] cap. 2. 2, 13; 3. 7. Luc. 5. 15, 17.
[c] Matt. 9. 1. Cf. cap. 1. 45; 3. 20.
[d] ver. 3—12, Matt. 9. 2—8. Luc. 5. 18—26.
[e] Cf. Luc. 5. 19.
[f] Ps. 32. 5. Esa. 43. 25.

[1] *εἰς πόλιν φανερῶς* TWH *marg.* [2] *ἀλλὰ* LTrWH. [3] *ἐπ'* TTrWH. [4] [*ἦν*] LWH. [5] *πάντοθεν* LTWHR, *παντόθεν* Tr. [6] *εἰσῆλθεν πάλιν* L, *εἰσελθὼν πάλιν* TTrWHR. [7] Καφαρναοὺμ LTTrWH. [8] —· *καὶ* TTr[L]WHR. [9] *ἐν οἴκῳ* LTTrWH (*non marg.*). [10] —*εὐθέως* T[LTr]WHR. [11] *πρὸς αὐτὸν φέροντες παραλυτικόν* LTr, *φέροντες πρὸς αὐτὸν παραλυτικόν* TTr *marg.* WHR. [12] *προσενέγκαι* TTr *marg* WH.R *marg.* [13] *κράβαττον* LTTrWH. [14] *ὅπου* L (*non marg.*) TTrWH. [15] *καὶ ἰδὼν* TTr *marg.* WHR. [16] *ἀφίενταί* L (*non marg.*) TTrWH. [17] *σου αἱ ἁμαρτίαι* TTr WHR, *at σοι αἱ ἁμαρτίαι* [*σου*] L. [18] *ὅτι* Tr *marg.* WH *marg.* [19] *; βλασφημεῖ·* LTTrWHR. [20] *εὐθὺς* LTTrWH. [21] —*οὕτως* L[WH] ([Tr *marg.*], *sequente* [*αὐτοὶ*]). [22] *λέγει* TTrWHR. [23] [*αὐτοῖς*] WH. [24] *'Ἀφίενταί* L (*non marg.*) TTrWH. [25] *σου* TTr (*non marg.*) WHR. [26] *'Ἔγειρε* LT, *'Ἐγείρου* TrWH. [27] [*καὶ*] TrWH. [28] *τὸν κράβαττόν σου* LTTrWH. [29] *ὕπαγε* T. [30] *ἐπὶ τῆς γῆς ἀφιέναι* LTTrWH *marg.* R (*at ἀφιέναι ἁμαρτίας ἐπὶ τῆς γῆς* Tr *marg.* WH *text.*). [31] *ἔγειρε* LTTrWH. [32] —*καὶ* TTr[L]WHR. [33] *καὶ εὐθὺς* TTrWHR. [34] *ἔμπροσθεν* TTr *marg.* WH.

σθαι πάντας, καὶ δοξάζειν τὸν Θεόν, **λέγοντας**[1], "Ὅτι
οὐδέποτε οὕτως[2] **εἴδομεν**[3]."

Καὶ ἐξῆλθε πάλιν **παρὰ**[4] τὴν θάλασσαν· καὶ [a]πᾶς 13 ϛ´.
ὁ ὄχλος ἤρχετο πρὸς αὐτόν, καὶ ἐδίδασκεν αὐτούς. κα
[b]Καὶ παράγων εἶδε [c]**Λευῒν**[5] τὸν τοῦ Ἀλφαίου[6], καθή- 14 β
μενον ἐπὶ τὸ τελώνιον, καὶ λέγει αὐτῷ, "Ἀκολούθει
μοι." Καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. Καὶ **ἐγέ-** 15 κβ
νετο[7] **ἐν τῷ**[8] κατακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ, β
καὶ πολλοὶ [d]τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ
Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ· ἦσαν γὰρ πολλοί,
καὶ **ἠκολούθησαν**[9] αὐτῷ. καὶ [e]**οἱ**[10] γραμματεῖς **καὶ οἱ** 16
Φαρισαῖοι[11], [12]ἰδόντες **αὐτὸν ἐσθίοντα**[13] μετὰ **τῶν τελω-**
νῶν καὶ ἁμαρτωλῶν[14], ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ,
"**Τί**[15] ὅτι μετὰ τῶν [d]**τελωνῶν καὶ ἁμαρτωλῶν**[16] [f]ἐσθίει
καὶ πίνει[17];" Καὶ ἀκούσας ὁ Ἰησοῦς λέγει αὐτοῖς, 17 κγ
"[18]Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ᾽ οἱ β
κακῶς ἔχοντες. **οὐκ**[19] ἦλθον καλέσαι δικαίους, [g]ἀλλὰ
ἁμαρτωλοὺς **εἰς μετάνοιαν**[20]."

Καὶ ἦσαν οἱ μαθηταὶ **Ἰωάννου**[21] καὶ οἱ **τῶν Φαρι-** 18
σαίων[22] νηστεύοντες· καὶ ἔρχονται καὶ λέγουσιν αὐτῷ,
"Διατί[23] οἱ μαθηταὶ **Ἰωάννου**[21] καὶ οἱ[24] τῶν Φαρισαίων
νηστεύουσιν, οἱ δὲ σοὶ **μαθηταὶ**[25] οὐ νηστεύουσι;" Καὶ 19
εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, "Μὴ δύνανται οἱ υἱοὶ τοῦ
νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ᾽ αὐτῶν ἐστι, νηστεύειν;
ὅσον χρόνον **μεθ᾽ ἑαυτῶν ἔχουσι τὸν νυμφίον**[26], οὐ δύναν-
ται νηστεύειν· [h]ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ ἀπ᾽ 20
αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν **ἐν ἐκείναις**
ταῖς ἡμέραις[27]. **καὶ**[28] οὐδεὶς ἐπίβλημα **ῥάκους**[29] ἀγνά- 21
φου **ἐπιρράπτει**[30] ἐπὶ **ἱματίῳ παλαιῷ**[31]· εἰ δὲ μή, αἴρει τὸ

[a] Vid. cap. 1. 45.
[b] ver. 14—22, Matt. 9. 9—17. Luc. 5. 27—38.
[c] Cf. Matt. 9. 9.
[d] ver. 16. Vid. Matt. 11. 19.
[e] (var. lect.) Cf. Act. 23. 9.
[f] Matt. 9. 11. Luc. 15. 2. Cf. Act. 11. 3. Gal. 2. 12.
[g] 1 Tim. 1. 15.
[h] Luc. 17. 22.

[1] [λέγοντας] LWH. [2] οὕτως οὐδέποτε TTr (*non marg.*) WH. [3] εἴδαμεν LTTrWH. [4] εἰς T. [5] Λευεὶν TWH (Ἰάκωβον WH *marg.*). [6] Ἁλφαίου WH. [7] γίνεται TTr (*non marg.*) WH. [8] —ἐν τῷ T[Tr]WHR. [9] ἠκολούθουν TTr (*non marg.*) WHR. [10] —οἱ T. [11] τῶν Φαρισαίων L *marg.* TTr (*non marg.*) WHR (*text. non marg.*). [12] +[καὶ] L, +καὶ TTr. [13] ὅτι ἐσθίει LWHR, ὅτι ἤσθιεν TTr. [14] ἁμαρτωλῶν καὶ τελωνῶν LTrWHR. [15] —Τί TTrWHR. [16] ἁμαρτωλῶν καὶ τῶν τελωνῶν L (*non marg.*) Tr. [17] [καὶ πίνει] LTr *marg.*, *om.* WH (*non marg.*) R *marg.* [18] +[ὅτι] WH. [19] οὐ γὰρ L *marg.* [20] —εἰς μετάνοιαν LTTrWHR. [21] Ἰωάνου WH. [22] Φαρισαῖοι LTTrWHR. [23] Διὰ τί WH. [24] +μαθηταὶ TTr[Tr *marg.*]WHR. [25] [μαθηταὶ] WH. [26] ἔχουσιν τὸν νυμφίον μεθ᾽ ἑαυτῶν (μετ᾽ αὐτῶν TTrWH) LTTrWH. [27] ἐκείνῃ τῇ ἡμέρᾳ LTTrWHR. [28] —καὶ LTTrWHR. [29] ῥάκκους LTr *marg.* [30] ἐπιράπτει TTrWH. [31] ἱμάτιον παλαιόν LTTrWHR.

πλήρωμα[1] αὐτοῦ[2] τὸ καινὸν τοῦ παλαιοῦ, καὶ χεῖρον
22 σχίσμα γίνεται. καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς
ἀσκοὺς παλαιούς· εἰ δὲ μή, ῥήσσει[3] ὁ οἶνος ὁ νέος[4]
τοὺς ἀσκούς, καὶ ὁ οἶνος ἐκχεῖται καὶ οἱ ἀσκοὶ ἀπο-
λοῦνται[5]· ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς[6] βλη-
τέον[7]."
κδ β 23 [a]Καὶ ἐγένετο παραπορεύεσθαι αὐτὸν ἐν τοῖς σάβ-
βασι[8] διὰ τῶν σπορίμων, καὶ ἤρξαντο οἱ μαθηταὶ
24 αὐτοῦ[9] ὁδὸν ποιεῖν[10] [b]τίλλοντες τοὺς στάχυας. καὶ οἱ
Φαρισαῖοι ἔλεγον αὐτῷ, "Ἴδε, τί ποιοῦσιν ἐν[11] τοῖς
25 σάββασιν, ὃ οὐκ ἔξεστι;" Καὶ αὐτὸς[12] ἔλεγεν[13] αὐ-
τοῖς, "Οὐδέποτε ἀνέγνωτε, τί ἐποίησε Δαβὶδ[14], ὅτε
χρείαν ἔσχε καὶ ἐπείνασεν αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ;
26 πῶς[15] εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ ἐπὶ [c]Ἀβιάθαρ
τοῦ[16] ἀρχιερέως, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφα-
γεν, οὓς οὐκ ἔξεστι φαγεῖν [d]εἰ μὴ τοῖς ἱερεῦσι[17], καὶ
κε 27 ἔδωκε καὶ τοῖς σὺν αὐτῷ οὖσι;" Καὶ ἔλεγεν αὐτοῖς,
β [e]"Τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, [18]οὐχ [f]ὁ
28 ἄνθρωπος διὰ τὸ σάββατον. ὥστε κύριός ἐστιν ὁ
υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου."
Z'. 3 [g]ΚΑΙ εἰσῆλθε [h]πάλιν εἰς τὴν[19] συναγωγήν, καὶ ἦν[20]
2 ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων τὴν χεῖρα, καὶ [i]παρε-
τήρουν[21] αὐτὸν εἰ[22] τοῖς σάββασι θεραπεύσει[23] αὐτόν, [k]ἵνα
3 κατηγορήσωσιν[24] αὐτοῦ. καὶ λέγει τῷ ἀνθρώπῳ τῷ ἐξη-
ραμμένην ἔχοντι τὴν χεῖρα[25], "Ἔγειραι[26] εἰς τὸ μέσον."
4 Καὶ λέγει αὐτοῖς, "Ἔξεστι τοῖς σάββασιν ἀγαθοποιῆ-
σαι[27], ἢ κακοποιῆσαι; ψυχὴν σῶσαι, ἢ ἀποκτεῖναι;"
5 Οἱ δὲ ἐσιώπων. καὶ περιβλεψάμενος αὐτοὺς [l]μετ᾽
ὀργῆς, συλ[28]λυπούμενος ἐπὶ τῇ [m]πωρώσει τῆς καρδίας
αὐτῶν, λέγει τῷ ἀνθρώπῳ, "Ἔκτεινον τὴν χεῖρά

[a] ver. 23—28, Matt. 12. 1—8. Luc. 6. 1—5.
[b] Deut. 23. 25.
[c] 1 Chr. 24. 6. Cf. 1 Sam. 21. 1; 2 Sam. 8. 17.
[d] Ex. 29. 32. Lev. 8. 31; 24. 5—9.
[e] Ex. 23. 12. Deut. 5. 14.
[f] Cf. Col. 2. 16.
[g] ver. 1—6, Matt. 12. 9—14. Luc. 6. 6—11.
[h] cap. 1. 28, 39.
[i] Luc. 14. 1; 20. 20 (var. lect.).
[k] Luc. 11. 54 (var. lect.).
[l] Rev. 6. 16.
[m] Rom. 11. 25. Eph. 4. 18. Cf. cap. 6. 52.

1 +ἀπ᾽ LTWHR. 2 [αὐτοῦ] Tr. 3 ῥήξει L (*non marg.*) TTr WHR. 4 —ὁ νέος LTTrWHR. 5 ἀπόλλυται καὶ οἱ ἀσκοί TTr (*non marg., ubi* [ἐκχεῖται]) WHR. 6 —ἀλλὰ οἶνον *ad* καινοὺς T, *uncinis includunt* TrWH. 7 —βλητέον T[Tr]WHR. 8 αὐτὸν ἐν τοῖς σάββασιν δια(παρα TWH *marg.*)πορεύεσθαι LTTr WHR. 9 οἱ μαθηταὶ αὐτοῦ ἤρξαντο LTTrWH. 10 ὁδοποιεῖν LTr *marg.* WH *marg.* 11 —ἐν LTTrWHR. 12 —αὐτὸς TTr WHR, [αὐτὸς] L. 13 λέγει LTTrWH. 14 Δαυείδ LTTrWH. 15 [πῶς] TrWH. 16 —τοῦ LTTr[Tr *marg.*]WH.R (*non marg.*). 17 τοὺς ἱερεῖς TTr *marg.* WH. 18 +καὶ TTrWHR. 19 —τὴν T[Tr]WH. 20 —ἦν L[Tr]. 21 παρετηροῦντο LTr *marg.* 22 +ἐν T. 23 θεραπεύει T. 24 κατηγορήσουσιν LTr. 25 τὴν χεῖρα ἔχοντι ξηράν LTrWHR, τὴν ξηρὰν χεῖρα ἔχοντι T. 26 Ἔγειρε LTTrWH. 27 ἀγαθὸν ποιῆσαι T. 28 συν- TWH.

σου[1].” Καὶ ἐξέτεινε, καὶ **ἀποκατεστάθη**[2] ἡ χεὶρ
αὐτοῦ **ὑγιὴς ὡς ἡ ἄλλη**[3]. Καὶ ἐξελθόντες οἱ Φαρι- 6 κϛ
σαῖοι **εὐθέως**[4] μετὰ [a]τῶν Ἡρωδιανῶν[5] [b]συμβούλιον δ
ἐποίουν[6] κατ’ αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσι.
ΚΑΙ [c]ὁ Ἰησοῦς **ἀνεχώρησε μετὰ τῶν μαθητῶν αὐτοῦ**[7] 7
πρὸς[8] τὴν θάλασσαν· καὶ [d]πολὺ πλῆθος [e]ἀπὸ τῆς κζ
Γαλιλαίας **ἠκολούθησαν**[9] **αὐτῷ**[10], **καὶ** [e,f]**ἀπὸ τῆς Ἰου-** α
δαίας[11], καὶ [e,f]ἀπὸ **Ἱεροσολύμων**[11], καὶ ἀπὸ τῆς [g]Ἰδου- 8
μαίας, καὶ [e]πέραν τοῦ Ἰορδάνου· καὶ **οἱ**[12] [f,h]περὶ Τύρον
καὶ [f,h]Σιδῶνα,[13] πλῆθος πολύ, **ἀκούσαντες**[14] **ὅσα**[15] **ἐποίει**[16],
ἦλθον[17] πρὸς αὐτόν. καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ, ἵνα 9
πλοιάριον προσκαρτερῇ αὐτῷ, διὰ τὸν ὄχλον, ἵνα μὴ
θλίβωσιν αὐτόν. πολλοὺς γὰρ ἐθεράπευσεν, ὥστε 10
ἐπιπίπτειν αὐτῷ, [i]ἵνα αὐτοῦ ἅψωνται, ὅσοι εἶχον [k]μάσ-
τιγας· καὶ [l]τὰ πνεύματα τὰ ἀκάθαρτα, ὅταν αὐτὸν 11 κη
ἐθεώρει, προσέπιπτεν[18] αὐτῷ, καὶ **ἔκραζε**[19], **λέγοντα**[20], η
“Ὅτι σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ.” Καὶ [m]πολλὰ ἐπετίμα 12
αὐτοῖς, ἵνα μὴ αὐτὸν φανερὸν **ποιήσωσι**[21,22]. Καὶ 13 Η΄.
[n]ἀναβαίνει εἰς τὸ ὄρος, καὶ προσκαλεῖται οὓς ἤθελεν
αὐτός· καὶ ἀπῆλθον πρὸς αὐτόν. καὶ ἐποίησε δώδεκα[23], 14 κθ
ἵνα ὦσι μετ’ αὐτοῦ, καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς κη- β
ρύσσειν, καὶ ἔχειν ἐξουσίαν **θεραπεύειν τὰς νόσους,** 15
καὶ[24] [o]ἐκβάλλειν τὰ δαιμόνια· [25] καὶ [p]ἐπέθηκε **τῷ Σίμωνι** 16 λ
ὄνομα[26] Πέτρον· καὶ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, 17 β
καὶ **Ἰωάννην**[27] τὸν ἀδελφὸν τοῦ Ἰακώβου· καὶ ἐπ-
έθηκεν αὐτοῖς **ὀνόματα**[28] **Βοανεργές**[29], ὅ ἐστιν, Υἱοὶ
βροντῆς· καὶ Ἀνδρέαν, καὶ Φίλιππον, καὶ Βαρθολο- 18
μαῖον, καὶ [q]**Ματθαῖον**[30], καὶ Θωμᾶν, καὶ Ἰάκωβον τὸν
τοῦ Ἀλφαίου[31], καὶ [r]**Θαδδαῖον**[32], καὶ Σίμωνα τὸν [r]**Κα-**

[a] Vid. Matt. 22. 16.
[b] cap. 15. 1.
[c] Matt. 12. 15.
[d] Vid. cap. 1. 45.
[e] Matt. 4. 25.
[f] Luc. 6. 17.
[g] Esa. 34. 5, 6. Ezek. 35. 15; 36. 5.
[h] Vid. Matt. 11. 21.
[i] cap. 6. 56; 8. 22. Vid. Matt. 14. 36.
[k] cap. 5. 29, 34. Luc. 7. 21.
[l] Luc. 4. 41.
[m] Vid. Matt. 8. 4.
[n] Matt. 5. 1. Vid. Matt. 10. 1.
[o] Matt. 10. 1. Luc. 9. 1.
[p] ver. 16–19. Matt. 10. 2–4. Luc. 6. 14–16. Act. 1. 13.
[q] Vid. Matt. 9. 9.
[r] Cf. Luc. 6. 15. Act. 1. 13.

1 —σου T[Tr]WH (*marg.*). 2 ἀπεκατεστάθη LTTrWH. 3 —ὑγιὴς ὡς ἡ ἄλλη LTTrWHR. 4 εὐθὺς TTrWH. 5 Ἡρῳδιανῶν WH. 6 ἐποίησαν T, ἐδίδουν Tr (*non marg.*) WH (*non marg.*). 7 μετὰ τῶν μαθητῶν αὐτοῦ ἀνεχώρησεν L (*non marg.*) TTrWHR. 8 εἰς LTTr *marg.* 9 ἠκολούθησεν LTTrWH. 10 —αὐτῷ TTr[L]WHR. 11 ἠκολούθησ. *in fin. versûs transferunt* TWH *marg., etiam vers.* 8. Ἱεροσολύμων WH. 12 —οἱ TTr[L]WHR. 13 ,— (*pro* ,) WH *marg.* 14 ἀκούοντες LTTr (*non marg.*) WHR. 15 ἃ L *marg.* 16 ποιεῖ Tr (*non marg.*) WH (*non marg.*). 17 ἦλθαν WH. 18 ἐθεώρουν, προσέπιπτον LTTrWH. 19 ἔκραζον LTTrWH. 20 λέγοντες TWH *marg.* 21 ποιῶσιν TTr. 22 +[, ὅτι ᾔδεισαν τὸν χριστὸν αὐτὸν εἶναι] L. 23 +οὓς καὶ ἀποστόλους ὠνόμασεν WH.R *marg.* 24 —θεραπεύειν τὰς νόσους, καὶ TTr[Tr *marg.*]WHR. 25 +καὶ ἐποίησεν τοὺς δώδεκα TWH.R *marg.* 26 ὄνομα τῷ Σίμωνι L *marg.* TTr (*non marg.*) WH (καὶ ἐπέθ. ὄν. τῷ Σ.) WH. 27 Ἰωάνην WH. 28 ὄνομα WH (*non marg.*) (καὶ ἐπέθηκεν...Υἱοὶ Βροντῆς) WH. 29 Βοανηργές LTTrWH. 30 Μαθθαῖον LTTrWH. 31 Ἁλφαίου WH. 32 Λεββαῖον WH *marg.*

19 νανίτην[1], καὶ [a]Ἰούδαν Ἰσκαριώτην[2], ὃς καὶ παρέδωκεν
αὐτόν.
λα ι 20 Καὶ ἔρχονται[3] εἰς [b]οἶκον· καὶ συνέρχεται πάλιν[4]
ὄχλος, [c]ὥστε μὴ δύνασθαι αὐτοὺς μήτε[5] ἄρτον φα-
21 γεῖν. καὶ ἀκούσαντες [d]οἱ παρ' αὐτοῦ ἐξῆλθον κρατῆ-
λβ β 22 σαι αὐτόν· ἔλεγον γάρ, "Ὅτι [e]ἐξέστη." Καὶ οἱ
γραμματεῖς οἱ ἀπὸ Ἱεροσολύμων[6] καταβάντες ἔλεγον,
"Ὅτι [f]Βεελζεβοὺλ[7] ἔχει," καὶ "Ὅτι [g]ἐν τῷ ἄρχοντι
λγ β 23 τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια." [h]Καὶ προσ-
καλεσάμενος αὐτούς, ἐν παραβολαῖς ἔλεγεν αὐτοῖς,
24 "Πῶς δύναται Σατανᾶς Σατανᾶν ἐκβάλλειν; καὶ
ἐὰν βασιλεία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται στα-
25 θῆναι ἡ βασιλεία ἐκείνη· καὶ ἐὰν οἰκία ἐφ' ἑαυτὴν
26 μερισθῇ, οὐ **δύναται**[8] **σταθῆναι ἡ οἰκία ἐκείνη**[9]· καὶ εἰ
ὁ Σατανᾶς ἀνέστη ἐφ' ἑαυτὸν **καὶ μεμέρισται**[10], οὐ
27 δύναται **σταθῆναι**[11], ἀλλὰ τέλος ἔχει. [12]**οὐ δύναται**
οὐδεὶς[13] **τὰ σκεύη τοῦ ἰσχυροῦ, εἰσελθὼν εἰς τὴν οἰκίαν**[14]
αὐτοῦ, διαρπάσαι, ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ,
λδ β 28 καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει. [i]ἀμὴν λέγω
ὑμῖν, ὅτι πάντα ἀφεθήσεται **τὰ ἁμαρτήματα τοῖς υἱοῖς**
τῶν ἀνθρώπων[15], καὶ[16] βλασφημίαι **ὅσας**[17] **ἂν**[18] βλασ-
29 φημήσωσιν· ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ Πνεῦμα
τὸ Ἅγιον, οὐκ ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα, **ἀλλ'**[19]
30 [k]ἔνοχός **ἐστιν**[20] αἰωνίου **κρίσεως**[21]·" ὅτι ἔλεγον, "Πνεῦ-
λε β 31 μα ἀκάθαρτον ἔχει." [l]**Ἔρχονται οὖν**[22] [d]**οἱ ἀδελφοὶ καὶ**
ἡ μήτηρ αὐτοῦ[23], καὶ ἔξω **ἑστῶτες**[24] ἀπέστειλαν πρὸς
32 αὐτόν, **φωνοῦντες**[25] αὐτόν. καὶ ἐκάθητο **ὄχλος περὶ**
αὐτόν[26]· **εἶπον δὲ**[27] αὐτῷ, "Ἰδού, ἡ μήτηρ σου καὶ οἱ

[a] Vid. Matt. 26. 14.
[b] cap. 7. 17; 9. 28. Cf. cap. 2. 1.
[c] cap. 6. 31.
[d] Cf. ver. 31.
[e] 2 Cor. 5. 13. Cf. Joan. 10. 20. Vid. Act. 26. 24.
[f] Vid. Matt. 10. 25.
[g] Vid. Matt. 9. 34.
[h] ver. 23—27, Matt. 12. 25—29. Luc. 11. 17—22.
[i] ver. 28—30, Matt. 12. 31, 32. Luc. 12. 10.
[k] Vid. Matt. 5. 21.
[l] ver. 31—35, Matt. 12. 46—50. Luc. 8. 19—21.

[1] Καναναῖον LTTrWHR. [2] Ἰσκαριώθ LTTrWH. [3] ἔρχεται TWHR. [4] + ὁ LTr[WH]R. [5] μηδὲ LTrWHR. [6] Ἱεροσολύμων WH. [7] Βεεζεβοὺλ WH. [8] δυνήσεται L *marg.* TTrWHR. [9] ἡ οἰκία ἐκείνη σταθῆναι (στῆναι TrWH) L (*non marg.*) TTrWH. [10] ἐμερίσθη, καὶ T, καὶ ἐμερίσθη Tr *marg.* WHR. [11] στῆναι TTrWH. [12] + ἀλλ' TTr[Tr *marg.*]WHR. [13] οὐδεὶς δύναται LTr. [14] εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ εἰσελθὼν τὰ σκεύη TTr (*non marg.*) WHR. [15] τοῖς υἱοῖς τῶν ἀνθρώπων τὰ ἁμαρτήματα LTTrWHR. [16] + αἱ LTTrWHR. [17] ὅσα LTTrWHR. [18] ἐὰν TrWH. [19] ἀλλὰ LTTrWH. [20] ἔσται TTr *marg.* [21] ἁμαρτήματος LTTr (ἁμαρτίας Tr *marg.*) WHR. [22] Καὶ ἔρχονται LTrWHR, Καὶ ἔρχεται T. [23] ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ LTTrWHR. [24] στήκοντες TTrWH. [25] καλοῦντες LTTrWH. [26] περὶ αὐτὸν ὄχλος LTTrWH. [27] καὶ λέγουσιν LTTrWHR.

ἀδελφοί σου[1] ἔξω ζητοῦσί σε.” Καὶ **ἀπεκρίθη αὐ-** 33
τοῖς, λέγων[2], “Τίς ἐστιν ἡ μήτηρ μου ἢ[3] οἱ ἀδελφοί
μου[4];” Καὶ περιβλεψάμενος **κύκλῳ τοὺς περὶ αὐτὸν**[5] 34
καθημένους, λέγει, “**Ἴδε**[6], ἡ μήτηρ μου καὶ οἱ ἀδελ-
φοί μου. ὃς **γὰρ**[7] ἂν ποιήσῃ **τὸ θέλημα**[8] τοῦ Θεοῦ, 35
οὗτος ἀδελφός μου καὶ ἀδελφή **μου**[9] καὶ μήτηρ
ἐστί.”

[a] ver. 1–12, Matt. 13. 1–15. Luc. 8. 4–10.

[a]ΚΑΙ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θάλασσαν· 4 λϛ β
καὶ **συνήχθη**[10] πρὸς αὐτὸν ὄχλος **πολύς**[11], ὥστε αὐτὸν
ἐμβάντα εἰς τὸ πλοῖον[12] καθῆσθαι ἐν τῇ θαλάσσῃ· καὶ
πᾶς ὁ ὄχλος πρὸς τὴν θάλασσαν ἐπὶ τῆς γῆς **ἦν**[13].

[b] cap. 12. 38.

καὶ ἐδίδασκεν αὐτοὺς ἐν παραβολαῖς πολλά, [b]καὶ ἔλε- 2 Θ'.
γεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ, “Ἀκούετε. ἰδού, ἐξῆλ- 3
θεν ὁ σπείρων **τοῦ**[14] σπεῖραι· καὶ ἐγένετο ἐν τῷ σπεί- 4
ρειν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδόν, καὶ ἦλθε τὰ πετεινὰ
τοῦ οὐρανοῦ[15] καὶ κατέφαγεν αὐτό. **ἄλλο δὲ**[16] ἔπεσεν 5
ἐπὶ τὸ πετρῶδες, [17]ὅπου οὐκ εἶχε γῆν πολλήν· καὶ
εὐθέως[18] ἐξανέτειλε, διὰ τὸ μὴ ἔχειν βάθος[19] γῆς·
ἡλίου δὲ ἀνατείλαντος[20] **ἐκαυματίσθη**[21], καὶ διὰ τὸ μὴ 6
ἔχειν ῥίζαν ἐξηράνθη. καὶ ἄλλο ἔπεσεν **εἰς**[22] τὰς ἀκάν- 7
θας· καὶ ἀνέβησαν αἱ ἄκανθαι, καὶ συνέπνιξαν αὐτό,
καὶ καρπὸν οὐκ ἔδωκε. καὶ **ἄλλο**[23] ἔπεσεν εἰς τὴν γῆν 8
τὴν καλήν· καὶ ἐδίδου καρπὸν ἀναβαίνοντα καὶ
αὐξάνοντα[24], καὶ ἔφερεν **ἓν**[25] τριάκοντα, καὶ **ἓν**[26] ἑξή-

[c] ver. 23. Matt. 11. 15.
[d] ver. 34.

κοντα, καὶ **ἓν**[26] ἑκατόν.” Καὶ ἔλεγεν **αὐτοῖς**[27], [c]“**Ὁ** 9
ἔχων[28] ὦτα ἀκούειν ἀκουέτω[29].” **Ὅτε δὲ**[30] ἐγένετο [d]**κατα-** 10
μόνας[31], **ἠρώτησαν**[32] αὐτὸν οἱ περὶ αὐτὸν σὺν τοῖς δώ-
δεκα **τὴν παραβολήν**[33]. καὶ ἔλεγεν αὐτοῖς, “Ὑμῖν 11

[1] +καὶ αἱ ἀδελφαί σου LT[Tr *marg.*]WH *marg.* [2] ἀποκριθεὶς αὐτοῖς λέγει L *marg.* TTr (*non marg.*) WHR. [3] καὶ L (*non marg.*) TTrWHR. [4] —μου [Tr]WH. [5] τοὺς περὶ αὐτὸν κύκλῳ LTTrWHR. [6] Ἰδοὺ LTr *marg.* [7] —γὰρ LT[Tr]WH (*non marg.*). [8] τὰ θελήματα WH *marg.* [9] —μου LTTrWHR. [10] συνάγεται LTTrWHR. [11] πλεῖστος TTrWHR. [12] εἰς τὸ (—τὸ TTrWHR) πλοῖον ἐμβάντα LTTrWHR. [13] ἦσαν TTrWHR. [14] —τοῦ LT[Tr]WH. [15] —τοῦ οὐρανοῦ LTTrWHR. [16] καὶ ἄλλο L (*non marg.*) TTrWHR. [17] +[καὶ] LTrWH. [18] εὐθὺς LTTrWH. [19] +τῆς L. [20] καὶ ὅτε ἀνέτειλεν ὁ ἥλιος L (*non marg.*) TTrWHR. [21] ἐκαυματίσθησαν L *marg.* Tr (*non marg.*) WH *marg.* [22] ἐπὶ L *marg.* [23] ἄλλα TTr *marg.* WHR. [24] αὐξανόμενον LTTr, αὐξανόμενα WHR. [25] εἰς TTr (εν *sic marg.*) WHR. [26] εἰς TTr (εν Tr *marg.*) R, ἐν WH (εἰς...εἰς *v.* ἓν...ἓν WH *marg.*). [27] —αὐτοῖς LTTrWHR. [28] ὃς ἔχει LTTrWHR. [29] +καὶ ὁ συνίων συνιέτω WH *marg.* [30] καὶ ὅτε LTTrWHR. [31] κατὰ μόνας LTTrWH. [32] ἠρώτων LTrWHR, ἠρώτουν T. [33] τὰς παραβολάς TTrWHR.

δέδοται γνῶναι τὸ μυστήριον[1] τῆς βασιλείας τοῦ Θεοῦ·
λζ ἐκείνοις δὲ [a] τοῖς **ἔξω**[2], ἐν παραβολαῖς **τὰ**[3] πάντα γίνεται·
α 12 ἵνα [b] βλέποντες βλέπωσι, καὶ μὴ ἴδωσι· καὶ ἀκούοντες
ἀκούωσι, καὶ μὴ συνιῶσι· μήποτε ἐπιστρέψωσι, καὶ
13 ἀφεθῇ αὐτοῖς **τὰ ἁμαρτήματα**[4].” [c] Καὶ λέγει αὐτοῖς,
“Οὐκ οἴδατε τὴν παραβολὴν ταύτην;[5] καὶ πῶς πάσας
λη 14 τὰς παραβολὰς γνώσεσθε; ὁ σπείρων τὸν λόγον
β 15 σπείρει. οὗτοι δέ εἰσιν οἱ παρὰ τὴν ὁδόν, ὅπου σπεί-
ρεται ὁ λόγος, καὶ ὅταν ἀκούσωσιν, **εὐθέως**[6] ἔρχεται
[d] ὁ Σατανᾶς καὶ αἴρει τὸν λόγον τὸν ἐσπαρμένον **ἐν**
16 **ταῖς καρδίαις αὐτῶν**[7]. καὶ οὗτοί **εἰσιν ὁμοίως**[8] οἱ ἐπὶ
τὰ πετρώδη σπειρόμενοι, οἵ, ὅταν ἀκούσωσι τὸν λό-
17 γον, **εὐθέως**[9] μετὰ χαρᾶς λαμβάνουσιν αὐτόν, καὶ
οὐκ ἔχουσι ῥίζαν ἐν ἑαυτοῖς, ἀλλὰ πρόσκαιροί εἰσιν·
εἶτα γενομένης θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον,
18 **εὐθέως**[10] σκανδαλίζονται. καὶ **οὗτοί**[11] εἰσιν οἱ **εἰς**[12] τὰς
ἀκάνθας σπειρόμενοι, οὗτοί εἰσιν οἱ τὸν λόγον
19 **ἀκούοντες**[13], καὶ αἱ μέριμναι τοῦ αἰῶνος **τούτου**[14], καὶ
ἡ ἀπάτη τοῦ πλούτου, καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι
εἰσπορευόμεναι **συμπνίγουσι**[15] τὸν λόγον, καὶ ἄκαρ-
20 πος γίνεται. καὶ **οὗτοί**[16] εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν
καλὴν σπαρέντες, οἵτινες ἀκούουσι τὸν λόγον καὶ
παραδέχονται, καὶ καρποφοροῦσιν, **ἓν**[17] τριάκοντα, καὶ
λθ 21 **ἓν**[18] ἑξήκοντα, καὶ **ἓν**[18] ἑκατόν.” Καὶ ἔλεγεν αὐτοῖς,
β [e] “[19]Μήτι **ὁ λύχνος ἔρχεται**[20], ἵνα ὑπὸ τὸν μόδιον τεθῇ
ἢ ὑπὸ τὴν κλίνην;[21] οὐχ ἵνα **ἐπὶ**[22] τὴν λυχνίαν **ἐπιτεθῇ**[23];
μ 22 [f] οὐ γάρ ἐστί **τι**[24] κρυπτόν, ὃ[25] ἐὰν μὴ[26] φανερωθῇ·
β οὐδὲ ἐγένετο ἀπόκρυφον, ἀλλ᾽ ἵνα **εἰς φανερὸν ἔλθῃ**[27].
23, 24 [g] εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω.” Καὶ ἔλεγεν αὐτοῖς,
μα [h] “Βλέπετε τί ἀκούετε. [i] ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρη-
β θήσεται ὑμῖν, καὶ προστεθήσεται ὑμῖν **τοῖς ἀκούου-**

[a] 1 Cor. 5. 12, 13. Col. 4. 5. 1 Thess. 4. 12. (1 Tim. 3. 7.)
[b] Esa. 6. 9, 10.
[c] ver. 13—20, Matt. 13. 18—23. Luc. 8. 11—15.
[d] Vid. Matt. 4. 10.
[e] Vid. Matt. 5. 15.
[f] Vid. Matt. 10. 26.
[g] Vid. ver. 9.
[h] Luc. 8. 18.
[i] Vid. Matt. 7. 2.

[1] —γνῶναι LTTr (τὸ μυστήριον δέδοται TTrWHR). [2] ἔξωθεν WH *marg.* [3] —τὰ T. [4] —τὰ ἁμαρτήματα TTr[LTr *marg.*] WHR. [5] ταύτην, LTWH. [6] εὐθὺς TTrWH. [7] ἐν αὐτοῖς L *marg.* T, εἰς αὐτούς Tr (*non marg.*) WHR. [8] ὁμοίως εἰσὶν TTr *marg.* 8. [ὁμοίως]. [9] εὐθὺς LTTrWH. [10] εὐθὺς TTrWH. [11] ἄλλοι LTTrWHR. [12] ἐπὶ T. [13] ἀκούσαντες TTrWHR. [14] —τούτου LTTrWHR. [15] συνπνίγουσιν TWH. [16] ἐκεῖνοί TTr (*non marg.*) WHR. [17] ἐν TTr (*non marg.*) WH (*non marg.*) R. [18] [ἐν] WH *text.* ([ἓν]...[ἓν] WH *marg.*), ἐν R. [19] +ὅτι TWH. [20] ἔρχεται ὁ λύχνος LTTrWH. [21] κλίνην, WH. [22] “MSS. ὑπὸ” WH *marg.* [23] τεθῇ LTTrWHR. [24] —τι Tr [LTr *marg.*] WH (*non marg.*). [25] —ὃ LTTrWHR. [26] +ἵνα LT[Tr *marg.*] WHR. [27] ἔλθῃ εἰς φανερόν TTrWH.

[a] Vid. Matt. 13. 12.
[b] Cf. Matt. 13. 24—30.
[c] Luc. 2. 37. Act. 20. 31; 26. 7. 2 Thess. 3. 8 (var. lect.). Vid. cap. 5. 5.
[d] Joel 3. 13. Cf. Rev. 14. 15.
[e] ver. 30—32, Matt. 13. 31, 32. Luc. 13. 18, 19.
[f] Vid. Matt. 11. 16.
[g] Matt. 13. 34.
[h] Cf. Joan. 16. 25.
[i] ver. 10.
[k] Cf. 2 Pet. 1. 20.
[l] Matt. 8. 18.
[m] ver. 36—41, Matt. 8. 23—27. Luc. 8. 22—25.
[n] 2 Reg. 7. 7, 10. Cf. Joan. 4. 6.
[o] Cf. Act. 27. 14.

σιν[1]. [a]ὃς γὰρ ἂν ἔχῃ[2], δοθήσεται αὐτῷ· καὶ ὃς οὐκ 25 μβ
ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ." β
Καὶ ἔλεγεν, [b]"Οὕτως ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, 26 μγ
ὡς ἐὰν[3] ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ τῆς γῆς, καὶ 27 ι
καθεύδῃ καὶ ἐγείρηται [c]νύκτα καὶ ἡμέραν, καὶ ὁ σπό-
ρος βλαστάνῃ[4] καὶ μηκύνηται[5] ὡς οὐκ οἶδεν αὐτός.
αὐτομάτη γὰρ[6] ἡ γῆ καρποφορεῖ, πρῶτον χόρτον, 28
εἶτα[7] στάχυν, εἶτα[7] πλήρη σῖτον[8] ἐν τῷ στάχυϊ. ὅταν 29
δὲ παραδῷ[9] ὁ καρπός, εὐθέως[10] [d]ἀποστέλλει τὸ δρέπα-
νον, ὅτι παρέστηκεν ὁ θερισμός."
[e]Καὶ ἔλεγε, [f]"Τίνι[11] ὁμοιώσωμεν τὴν βασιλείαν τοῦ 30 μδ
Θεοῦ;[12] ἢ ἐν ποίᾳ παραβολῇ παραβάλωμεν αὐτήν[13]; ὡς 31 β
κόκκῳ[14] σινάπεως, ὅς, ὅταν σπαρῇ ἐπὶ τῆς γῆς, μικρό-
τερος[15] πάντων τῶν σπερμάτων ἐστὶ[16] τῶν ἐπὶ τῆς
γῆς·[17,18] καὶ ὅταν σπαρῇ, ἀναβαίνει, καὶ γίνεται πάντων 32
τῶν λαχάνων μείζων[19], καὶ ποιεῖ κλάδους μεγάλους,
ὥστε δύνασθαι ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ πετεινὰ τοῦ
οὐρανοῦ κατασκηνοῦν[20]." Καὶ [g]τοιαύταις παραβολαῖς 33 με
πολλαῖς[21] ἐλάλει αὐτοῖς τὸν λόγον, καθὼς ἠδύναντο[22] ς
ἀκούειν· [h]χωρὶς δὲ παραβολῆς οὐκ ἐλάλει αὐτοῖς· [i]κατ' 34 μϛ
ἰδίαν δὲ τοῖς μαθηταῖς αὐτοῦ[23] [k]ἐπέλυε πάντα. ι
ΚΑΙ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὀψίας γενο- 35 Ι'.
μένης, [l]"Διέλθωμεν εἰς τὸ πέραν." [m]Καὶ ἀφέντες τὸν 36 μζ
ὄχλον, παραλαμβάνουσιν αὐτὸν [n]ὡς ἦν ἐν τῷ πλοίῳ.[24] β
καὶ ἄλλα δὲ[25] πλοιάρια[26] ἦν[27] μετ' αὐτοῦ. καὶ γίνεται 37
λαῖλαψ ἀνέμου μεγάλη[28]· τὰ δὲ[29] κύματα [o]ἐπέβαλλεν
εἰς τὸ πλοῖον, ὥστε αὐτὸ ἤδη γεμίζεσθαι[30]. καὶ ἦν 38
αὐτὸς[31] ἐπὶ[32] τῇ πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον καθεύ-
δων· καὶ διεγείρουσιν[33] αὐτόν, καὶ λέγουσιν αὐτῷ,

[1] —τοῖς ἀκούουσιν LTTrWHR. [2] ἔχει LTTrWHR. [3] —ἐὰν TTrWHR. [4] βλαστᾷ LTTrWH. [5] μηκύνεται Tr *marg.* [6] —γὰρ LTTrWHR. [7] εἶτεν TWH. [8] πλήρης σῖτος LTTr. [9] παραδοῖ LTTrWH. [10] εὐθὺς TTrWH. [11] Πῶς L *marg.* TTr (*non marg.*) WHR. [12] Θεοῦ, WH. [13] τίνι αὐτὴν παραβολῇ θῶμεν L (*non marg.*) TTr (*non marg.*) WHR. [14] κόκκον LTr. [15] μικρότερον ὂν LTTrWHR. [16] —ἐστὶ LTTrWHR. [17] [τῶν ἐπὶ τῆς γῆς] L. [18] γῆς—WH, *at* γῆς. R. [19] μείζων (μεῖζον L *marg.* TTr *marg.* WHR) πάντων τῶν λαχάνων LTTrWHR. [20] κατασκηνοῖν WH. [21] [πολλαῖς] Tr *marg.* [22] ἐδύναντο LTr. [23] ἰδίοις μαθηταῖς TTr *marg.* WHR. [24] πλοίῳ, WH. [25] —δὲ LTrWHR. [26] πλοῖα LTTrWHR. [27] ἦσαν T. [28] μεγάλη ἀνέμου LTTrWH. [29] καὶ τὰ LTTrWHR. [30] ἤδη γεμίζεσθαι τὸ πλοῖον LTTrWHR. [31] αὐτὸς ἦν Tr *marg.* WHR. [32] ἐν LTTrWHR. [33] ἐγείρουσιν TTrWHR.

39 "Διδάσκαλε, οὐ μέλει σοι ὅτι ἀπολλύμεθα;" Καὶ
διεγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ, καὶ εἶπε τῇ θαλάσσῃ,
"Σιώπα, πεφίμωσο." Καὶ ἐκόπασεν ὁ ἄνεμος, καὶ
40 ἐγένετο γαλήνη μεγάλη. καὶ εἶπεν αὐτοῖς, "Τί δει-
41 λοί ἐστε **οὕτω; πῶς οὐκ**[1] ἔχετε πίστιν;" Καὶ ἐφοβή-
θησαν φόβον μέγαν, καὶ ἔλεγον πρὸς ἀλλήλους,
"Τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θά-
λασσα **ὑπακούουσιν αὐτῷ**[2];"

ΙΑ'. 5 [a]ΚΑΙ ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης, εἰς τὴν
2 χώραν τῶν **Γαδαρηνῶν**[3]. καὶ **ἐξελθόντι αὐτῷ**[4] ἐκ τοῦ
πλοίου, **εὐθέως**[5] **ἀπήντησεν**[6] αὐτῷ ἐκ τῶν μνημείων
3 [b]ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ, ὃς τὴν κατοίκησιν
εἶχεν ἐν τοῖς **μνημείοις**[7]· καὶ **οὔτε**[8] **ἁλύσεσιν**[9] **οὐδεὶς**
4 **ἠδύνατο**[10] αὐτὸν δῆσαι, διὰ τὸ αὐτὸν πολλάκις πέδαις
καὶ ἁλύσεσι δεδέσθαι, καὶ διεσπᾶσθαι ὑπ' αὐτοῦ τὰς
ἁλύσεις, καὶ τὰς πέδας συντετρίφθαι, καὶ οὐδεὶς
5 **αὐτὸν ἴσχυε**[11] δαμάσαι· καὶ διαπαντὸς[12] [c]νυκτὸς καὶ
ἡμέρας ἐν τοῖς **ὄρεσι καὶ ἐν τοῖς μνήμασιν**[13] ἦν κράζων
6 καὶ κατακόπτων ἑαυτὸν λίθοις. **Ἰδὼν δὲ**[14] τὸν Ἰησοῦν
7 ἀπὸ μακρόθεν, ἔδραμε καὶ [d]προσεκύνησεν **αὐτῷ**[15], καὶ
[e]κράξας φωνῇ μεγάλῃ **εἶπε**[16], "Τί ἐμοὶ καὶ σοί, Ἰησοῦ,
υἱὲ [f]τοῦ Θεοῦ τοῦ ὑψίστου; [g]ὁρκίζω σε τὸν Θεόν, μή
8 με βασανίσῃς·" ἔλεγε γὰρ αὐτῷ, "Ἔξελθε, τὸ πνεῦ-
9 μα τὸ ἀκάθαρτον, **ἐκ**[17] τοῦ ἀνθρώπου." Καὶ **ἐπηρώτα**[18]
αὐτόν, "Τί **σοι ὄνομα**[19];" Καὶ **ἀπεκρίθη, λέγων**, [h]"**Λε-**
10 **γεὼν**[20] ὄνομά μοι[21], ὅτι πολλοί ἐσμεν." Καὶ **παρε-**
κάλει[22] αὐτὸν πολλά, ἵνα μὴ **αὐτοὺς ἀποστείλῃ**[23] ἔξω
11 τῆς χώρας. ἦν δὲ ἐκεῖ πρὸς **τὰ ὄρη**[24] ἀγέλη χοίρων

[a] ver. 1—17, Matt. 8. 28—34. Luc. 8. 26—37.
[b] Cf. Matt. 8. 28.
[c] 1 Thess. 2. 9; 3. 10. 2 Thess. 3. 8 (var. lect.). 1 Tim. 5. 5. 2 Tim. 1. 3. Cf. Lam. 2. 18. Rev. 4. 8. Vid. cap. 4. 27.
[d] Vid. Matt. 8. 2.
[e] cap. 1. 26.
[f] Luc. 8. 28. Act. 16. 17. Heb. 7. 1.
[g] Act. 19. 13. 1 Thess. 5. 27 (var. lect.). Cf. Matt. 26. 63.
[h] ver. 15. Vid. Matt. 26. 53.

[1] ; οὔπω LTTrWHR. [2] αὐτῷ ὑπακούει T, ὑπακούει αὐτῷ TrWH. [3] Γερασηνῶν LTTr, Γεργεσηνῶν Tr *marg.* WHR. [4] ἐξελθόντος αὐτοῦ LTTrWHR. [5] —εὐθέως L, εὐθὺς T[TrWH]. [6] ὑπήντησεν LTTrWH. [7] μνήμασιν LTTrWHR. [8] οὐδὲ LTTrWHR. [9] ἁλύσει L (*non marg.*) TTrWHR. [10] οὐκέτι ([οὐκέτι] Tr *marg.*) οὐδεὶς ἐδύνατο LTTrWHR (ἠδ. R). [11] ἴσχυεν αὐτὸν LTTrWH. [12] διὰ παντὸς LWH(R). [13] μνήμασιν καὶ ἐν τοῖς ὄρεσιν LTTrWHR. [14] καὶ ἰδὼν TTr (*non marg.*) WHR. [15] αὐτὸν Tr *marg.* WH. [16] λέγει LTTrWHR. [17] ἀπὸ L *marg.* [18] ἐπηρώτησεν L *marg.* [19] ὄνομά σοι LTTrWH. [20] λέγει αὐτῷ Λεγιὼν LTTrWHR (Λεγε- R). [21] +ἐστιν LWH *marg.* [22] παρεκάλουν L *marg.* [23] ἀποστείλῃ αὐτοὺς L *marg.*, αὐτὰ ἀποστείλῃ TTrWH. [24] τῷ ὄρει LTTrWHR, at L *marg.* ἀγέλη χοίρων μεγάλη βοσκομένων πρὸς τῷ ὄρει.

μεγάλη βοσκομένη· καὶ **παρεκάλεσαν**[1] αὐτὸν **πάντες** 12
οἱ δαίμονες[2], λέγοντες, "Πέμψον ἡμᾶς εἰς τοὺς χοί-
ρους, ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν." Καὶ ἐπέτρεψεν 13
αὐτοῖς **εὐθέως ὁ Ἰησοῦς**[3]. καὶ ἐξελθόντα τὰ πνεύματα
τὰ ἀκάθαρτα εἰσῆλθον εἰς τοὺς χοίρους· καὶ ὥρμησεν
ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν· **ἦσαν**
δὲ[4] ὡς δισχίλιοι· καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ. **Οἱ** 14
δὲ[5] βόσκοντες **τοὺς χοίρους**[6] ἔφυγον, καὶ **ἀνήγγειλαν**[7]
εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς. καὶ **ἐξῆλθον**[8] ἰδεῖν
τί ἐστι τὸ γεγονός· καὶ ἔρχονται πρὸς τὸν Ἰησοῦν, 15
καὶ θεωροῦσι τὸν δαιμονιζόμενον καθήμενον **καὶ**[9]
[a]ἱματισμένον καὶ [b]σωφρονοῦντα, τὸν ἐσχηκότα τὸν
[c]**λεγεῶνα**[10]· καὶ ἐφοβήθησαν· καὶ διηγήσαντο αὐτοῖς 16
οἱ ἰδόντες, πῶς ἐγένετο τῷ δαιμονιζομένῳ, καὶ περὶ
τῶν χοίρων. [d]καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν ἀπελ- 17
θεῖν ἀπὸ τῶν ὁρίων αὐτῶν. [e]Καὶ **ἐμβάντος**[11] αὐτοῦ εἰς 18 μη
τὸ πλοῖον, παρεκάλει αὐτὸν ὁ δαιμονισθείς, ἵνα **ᾖ μετ'** η
αὐτοῦ[12]. ὁ **δὲ**[13] **Ἰησοῦς**[14] οὐκ ἀφῆκεν αὐτόν, ἀλλὰ 19
λέγει αὐτῷ, "Ὕπαγε εἰς τὸν οἶκόν σου πρὸς τοὺς
σούς, καὶ **ἀνάγγειλον**[15] αὐτοῖς ὅσα σοι **ὁ Κύριος**[16]
ἐποίησε[17], καὶ ἠλέησέ σε." Καὶ ἀπῆλθε καὶ ἤρξατο 20
κηρύσσειν ἐν τῇ [f]Δεκαπόλει, ὅσα ἐποίησεν αὐτῷ ὁ
Ἰησοῦς· καὶ πάντες ἐθαύμαζον.

[g]ΚΑΙ διαπεράσαντος τοῦ Ἰησοῦ ἐν τῷ πλοίῳ **πάλιν** 21 μθ
εἰς τὸ πέραν[18], συνήχθη ὄχλος πολὺς ἐπ' αὐτόν, καὶ β
ἦν παρὰ τὴν θάλασσαν. [h]Καὶ **ἰδού**[19], ἔρχεται εἷς τῶν 22 ΙΒʹ.
[i]ἀρχισυναγώγων, ὀνόματι Ἰάειρος, καὶ ἰδὼν αὐτόν,
πίπτει πρὸς τοὺς πόδας αὐτοῦ· καὶ **παρεκάλει**[20] αὐτὸν 23
πολλά, λέγων, "Ὅτι τὸ θυγάτριόν μου ἐσχάτως ἔχει·
ἵνα ἐλθὼν [k]ἐπιθῇς **αὐτῇ τὰς χεῖρας**[21], **ὅπως**[22] σωθῇ καὶ

[a] Cf. Luc. 8. 27.
[b] Luc. 8. 35. 2 Cor. 5. 13.
[c] ver. 9.
[d] Vid. Act. 16. 39.
[e] ver. 18—20, Luc. 8. 38, 39.
[f] Matt. 4. 25. cap. 7. 31.
[g] Matt. 9. 1? Luc. 8. 40?
[h] ver. 22—43, Matt. 9. 18—26. Luc. 8. 41—56.
[i] ver. 35, 36, 38. Luc. 13. 14. Act. 13. 15; 18. 8, 17.
[k] cap. 6. 5; 7. 32; 8. 23; 16. 18. Luc. 4. 40; 13. 13. Act. 9. 17; 28. 8.

[1] *παρεκάλουν* L *marg.* Tr *marg.* [2] —*πάντες οἱ δαίμονες* TTr WHR, [*πάντες*] *οἱ δ.* L. [3] —*εὐθέως ὁ Ἰησοῦς* TTr[L]WHR. [4] —(, *pro* ·) *ἦσαν δὲ* TTr[L]WHR. [5] *καὶ οἱ* LTTrWHR. [6] *αὐτοὺς* LTTrWHR. [7] *ἀπήγγειλαν* LTTrWHR. [8] *ἦλθον* LTTr WHR. [9] —*καὶ* LTTrWHR. [10] *λεγιῶνα* LTTrWH. [11] *ἐμβαίνοντος* LTTrWHR. [12] *μετ' αὐτοῦ ᾖ* LTTrWH. [13] *καὶ* LTTr WHR. [14] —*Ἰησοῦς* TTr[L]WHR. [15] *ἀπάγγειλον* L (*non marg.*) TTrWHR. [16] *ὁ Κύριός σοι* TTrWH. [17] *πεποίηκεν* LTTrWHR. [18] *εἰς τὸ πέραν πάλιν* T. [19] —*ἰδού* TTr[L]WHR. [20] *παρακαλεῖ* TTrWH (*non marg.*) R. [21] *τὰς χεῖρας αὐτῇ* LTTr WH. [22] *ἵνα* LTTrWHR.

24 **ζήσεται**[1]." Καὶ ἀπῆλθε μετ' αὐτοῦ· καὶ ἠκολούθει
αὐτῷ ὄχλος πολύς, καὶ συνέθλιβον αὐτόν.
ΙΓ'. 25 Καὶ γυνή **τις**[2] οὖσα ἐν ῥύσει αἵματος **ἔτη δώδεκα**[3],
26 καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν, καὶ δαπανή-
σασα τὰ παρ' **ἑαυτῆς**[4] πάντα, καὶ μηδὲν ὠφεληθεῖσα,
27 ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, ἀκούσασα[5] περὶ
τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, ἥψατο τοῦ
28 ἱματίου αὐτοῦ· ἔλεγε γάρ, "Ὅτι **κἂν τῶν ἱματίων**
29 **αὐτοῦ ἅψωμαι**[6], σωθήσομαι." Καὶ **εὐθέως**[7] ἐξηράνθη
ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι ὅτι
30 ἴαται ἀπὸ τῆς [a]μάστιγος. καὶ **εὐθέως**[8] ὁ Ἰησοῦς ἐπι- [a] ver. 34. Vid. cap. 3. 10.
γνοὺς ἐν ἑαυτῷ [b]τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, [b] Luc. 6. 19.
ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ, ἔλεγε, "Τίς μου ἥψατο τῶν
31 ἱματίων;" Καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, "Βλέ-
πεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις, Τίς μου
32 ἥψατο;" Καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσα-
33 σαν. ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα[9], εἰδυῖα ὃ
γέγονεν **ἐπ'**[10] αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ, καὶ
34 εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. ὁ δὲ[11] εἶπεν αὐτῇ,
"**Θύγατερ**[12], [c]ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρή- [c] Matt. 9. 22. cap. 10. 52.
35 νην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς [a]μάστιγός σου." Ἔτι Luc. 7. 50; 8. 48; 17. 19; 18. 42.
αὐτοῦ λαλοῦντος, ἔρχονται ἀπὸ τοῦ [d]ἀρχισυναγώγου, [d] Vid. ver. 22.
λέγοντες, "Ὅτι ἡ θυγάτηρ σου ἀπέθανε· τί ἔτι
36 [e]σκύλλεις τὸν διδάσκαλον;" Ὁ δὲ Ἰησοῦς **εὐθέως**[13] [e] Luc. 7. 6; 8. 49.
ἀκούσας[14] τὸν λόγον λαλούμενον λέγει τῷ [d]ἀρχισυνα-
37 γώγῳ, "Μὴ φοβοῦ, μόνον πίστευε." Καὶ οὐκ ἀφῆ-
κεν οὐδένα **αὐτῷ**[15] **συνακολουθῆσαι**[16], εἰ μὴ[17] [f]Πέτρον [f] Vid. Matt. 17. 1.
καὶ Ἰάκωβον καὶ [g]**Ἰωάννην**[18] τὸν ἀδελφὸν Ἰακώβου. [g] cap. 3. 17.
38 καὶ **ἔρχεται**[19] εἰς τὸν οἶκον τοῦ [d]ἀρχισυναγώγου, καὶ
θεωρεῖ θόρυβον, [20]κλαίοντας καὶ ἀλαλάζοντας πολλά.
39 καὶ εἰσελθὼν λέγει αὐτοῖς, "Τί [h]θορυβεῖσθε καὶ [h] Act. 20. 10.

[1] ζήσῃ L (*non marg.*) TTrWHR. [2] —τις LTTrWHR. [3] δώδεκα ἔτη TTr *marg.* WH. [4] αὐτῆς LTrWH (*non marg.*). [5] +τὰ T[Tr *marg.*]WHR. [6] ἐὰν ἅψωμαι κἂν τῶν ἱματίων αὐτοῦ TTr *marg.* WHR. [7] εὐθὺς TTrWH. [8] εὐθὺς TTrWH. [9] +διὸ πεποιήκει λάθρᾳ WH *marg.* [10] —ἐπ' TTr[L]WHR. [11] +Ἰησοῦς L. [12] Θυγάτηρ LTrWH. [13] —εὐθέως TTr[L]WHR. [14] παρακούσας TTr (*non marg.*) WHR. [15] μετ' αὐτοῦ TTr (*non marg.*) WHR. [16] ἀκολουθῆσαι L. [17] +τὸν TTrWH. [18] Ἰωάνην WH. [19] ἔρχονται LTTrWHR. [20] +καὶ LTTrWHR.

[a] Cf. Joan. 11. 11.
[b] ver. 37.
[c] Luc. 7. 14.
[d] Act. 9. 40. Cf. Joan. 11. 43.
[e] cap. 7. 36; 8. 15; 9. 9.
[f] Vid. Matt. 8. 4.
[g] ver 1—6, Matt. 13. 54—58. Cf. Luc. 4. 16.
[h] Vid. Matt. 7. 28.
[i] Cf. Matt. 13. 55. Joan. 6. 42.
[k] Vid. Matt. 12. 46.
[l] Vid. Matt. 11. 6.
[m] Cf. Luc. 4. 24. Vid. Matt. 13. 57.
[n] Gen. 19. 22. cap. 9. 23.
[o] Vid. cap. 5. 23.
[p] Esa. 59. 16.
[q] Matt. 9. 35. Luc. 13. 22.
[r] Vid. Matt. 10. 1, 5.
[s] Cf. Luc. 10. 1.

κλαίετε; τὸ παιδίον οὐκ ἀπέθανεν, ἀλλὰ [a] καθεύδει.”
Καὶ *κατεγέλων αὐτοῦ.* **ὁ δὲ**[1] *ἐκβαλὼν* **ἅπαντας**[2], 40
παραλαμβάνει τὸν πατέρα τοῦ παιδίου καὶ τὴν μητέ-
ρα καὶ [b] τοὺς μετ᾽ αὐτοῦ, καὶ εἰσπορεύεται ὅπου ἦν τὸ
παιδίον **ἀνακείμενον**[3]. *καὶ κρατήσας τῆς χειρὸς τοῦ* 41
παιδίου, λέγει αὐτῇ, “**Ταλιθά**[4], **κοῦμι**[5]·” *ὅ ἐστι μεθ-*
ερμηνευόμενον, [c] “Τὸ *κοράσιον, (σοὶ λέγω)* [cd] **ἔγειραι**[6].”
Καὶ **εὐθέως**[7] *ἀνέστη τὸ κοράσιον καὶ περιεπάτει, ἦν* 42
γὰρ ἐτῶν δώδεκα· καὶ ἐξέστησαν[8] *ἐκστάσει μεγά-*
λῃ. καὶ [e] διεστείλατο αὐτοῖς πολλὰ [f] ἵνα μηδεὶς **γνῷ**[9] 43
τοῦτο· καὶ εἶπε δοθῆναι αὐτῇ φαγεῖν.

[g] ΚΑΙ *ἐξῆλθεν ἐκεῖθεν, καὶ* **ἦλθεν**[10] *εἰς τὴν πατρίδα* 6 ν/α
αὐτοῦ· καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ·
καὶ γενομένου σαββάτου, ἤρξατο **ἐν τῇ συναγωγῇ δι-** 2
δάσκειν[11]· *καὶ*[12] *πολλοὶ* **ἀκούοντες**[13] [h] *ἐξεπλήσσοντο,*
λέγοντες, “*Πόθεν τούτῳ ταῦτα;*[14] *καὶ τίς ἡ σοφία ἡ*
δοθεῖσα **αὐτῷ**[15], **ὅτι**[16] *καὶ*[17] *δυνάμεις τοιαῦται διὰ τῶν*
χειρῶν αὐτοῦ **γίνονται**[18]; [i] *οὐχ οὗτός ἐστιν ὁ τέκτων, ὁ* 3
[k] *υἱὸς*[19] Μαρίας, **ἀδελφὸς δὲ**[20] Ἰακώβου *καὶ* **Ἰωσῆ**[21] *καὶ*
Ἰούδα *καὶ* Σίμωνος; *καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ*
ὧδε πρὸς ἡμᾶς;” Καὶ [l] *ἐσκανδαλίζοντο ἐν αὐτῷ.*
Ἔλεγε δὲ[22] *αὐτοῖς ὁ* Ἰησοῦς, [m] “Ὅτι *οὐκ ἔστι προφήτης* 4 να/α
ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι **αὐτοῦ**[23], *καὶ ἐν τοῖς* **συγ-**
γενέσι[24,25] *καὶ ἐν τῇ οἰκίᾳ* **αὐτοῦ**[26].” Καὶ [n] *οὐκ* **ἠδύνατο**[27] 5
ἐκεῖ **οὐδεμίαν δύναμιν ποιῆσαι**[28], *εἰ μὴ ὀλίγοις ἀρρώ-*
στοις [o] ἐπιθεὶς τὰς χεῖρας, ἐθεράπευσε. καὶ [p] **ἐθαύμαζε**[29] 6
διὰ τὴν ἀπιστίαν αὐτῶν· [q] καὶ περιῆγε τὰς κώμας νβ/β
κύκλῳ διδάσκων.

[r] ΚΑΙ *προσκαλεῖται τοὺς δώδεκα, καὶ ἤρξατο αὐτοὺς* 7 ΙΔ'.
[s] *ἀποστέλλειν δύο δύο, καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν* νγ/β

[1] αὐτὸς δὲ LTTrWHR. [2] πάντας LTTrWHR. [3] —ἀνακείμενον TTr[L]WHR. [4] Ταλειθά WH. [5] κούμ TWH, κοῦμ Tr (*non marg.*). [6] ἔγειρε LTTrWH. [7] εὐθὺς TTrWH. [8] +εὐθὺς T[Tr]WHR. [9] γνοῖ LTTrWH. [10] ἔρχεται TTr (*non marg.*) WHR. [11] διδάσκειν ἐν τῇ συναγωγῇ TTrWH. [12] +οἱ T[Tr *marg.*]WH.R *marg.* [13] ἀκούσαντες Tr *marg.* [14] ταῦτα, WH. [15] τούτῳ TTr (*non marg.*) WHR. [16] —ὅτι LTTrWHR. [17] +[αἱ] Tr *marg.* WHR. [18] γινόμεναι Tr (*non marg.*) WHR. [19] +τῆς TTr[Tr *marg.*]WH. [20] καὶ ἀδελφὸς LTTrWHR. [21] Ἰωσῆτος LTTrWH. [22] καὶ ἔλεγεν L (*non marg.*) TTrWHR. [23] αὐτοῦ LTrWH, ἑαυτοῦ T. [24] συγγενεῦσιν TTrWH. [25] +αὐτοῦ TTr[L]WHR. [26] αὐτοῦ LTTrWH. [27] ἐδύνατο TTrWH. [28] ποιῆσαι οὐδεμίαν δύναμιν LTTrWHR. [29] ἐθαύμασεν TWH (*non marg.*).

8 πνευμάτων τῶν ἀκαθάρτων. [a]καὶ παρήγγειλεν αὐτοῖς, [a] ver. 8—11, Matt. 10. 9—15. Luc. 9. 3—5. Cf. Luc. 10. 4—11.
ἵνα μηδὲν αἴρωσιν εἰς ὁδόν, εἰ μὴ ῥάβδον μόνον· μὴ
9 **πήραν, μὴ ἄρτον**[1], μὴ εἰς τὴν ζώνην χαλκόν· **ἀλλ'**[2]
[b]ὑποδεδεμένους σανδάλια· καὶ "μὴ **ἐνδύσησθε**[3] δύο
νδ β 10 χιτῶνας." Καὶ **ἔλεγεν**[4] αὐτοῖς, "Ὅπου **ἐὰν**[5] εἰσέλ- [b] Act. 12. 8.
θητε εἰς οἰκίαν, ἐκεῖ μένετε ἕως ἂν ἐξέλθητε ἐκεῖθεν.
νε β 11 καὶ **ὅσοι ἂν μὴ δέξωνται**[6] ὑμᾶς, μηδὲ ἀκούσωσιν ὑμῶν,
ἐκπορευόμενοι ἐκεῖθεν, ἐκτινάξατε τὸν χοῦν τὸν ὑπο-
κάτω τῶν ποδῶν ὑμῶν, [c]εἰς μαρτύριον αὐτοῖς. **ἀμὴν** [c] Vid. Matt. 8. 4.
λέγω ὑμῖν, ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόρροις ἐν
νϛ η 12 **ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ.**"[7] Καὶ ἐξελθόντες
13 **ἐκήρυσσον**[8] ἵνα **μετανοήσωσι**[9]· καὶ δαιμόνια πολλὰ
ἐξέβαλλον[10], καὶ [d]ἤλειφον ἐλαίῳ πολλοὺς ἀρρώστους [d] Jac. 5. 14.
καὶ ἐθεράπευον.

ΙΕ'. 14 [e]Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρώδης[11], (φανερὸν γὰρ [e] ver. 14—29, Matt. 14. 1—12. ver. 14—16, Luc. 9. 7—9.
νζ β ἐγένετο τὸ ὄνομα αὐτοῦ,) καὶ **ἔλεγεν**[12], "Ὅτι **Ἰωάννης**[25] ὁ
βαπτίζων **ἐκ νεκρῶν ἠγέρθη**[13], καὶ διὰ τοῦτο ἐνεργοῦ-
15 σιν αἱ δυνάμεις ἐν αὐτῷ." [f]"Ἄλλοι[14] ἔλεγον, "Ὅτι [f] cap. 8. 28. Vid. Matt. 16. 14.
Ἠλίας[15] ἐστίν·" ἄλλοι δὲ ἔλεγον, "Ὅτι προφήτης
νη ι 16 **ἐστίν**[16], **ἢ**[17] ὡς εἷς τῶν προφητῶν." Ἀκούσας δὲ ὁ
Ἡρώδης[11] **εἶπεν**[18], "**Ὅτι**[19] ὃν ἐγὼ ἀπεκεφάλισα **Ἰωάν-**
νθ β 17 **νην**[20], **οὗτός ἐστιν· αὐτὸς**[21] ἠγέρθη **ἐκ νεκρῶν**[22]." Αὐτὸς
γὰρ ὁ Ἡρώδης[11] ἀποστείλας ἐκράτησε τὸν **Ἰωάννην**[20],
καὶ ἔδησεν αὐτὸν ἐν **τῇ**[23] φυλακῇ, διὰ Ἡρωδιάδα[24] τὴν
γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτι αὐτὴν
18 ἐγάμησεν. ἔλεγε γὰρ ὁ **Ἰωάννης**[25] τῷ Ἡρώδῃ[26], "Ὅτι
οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου."
19 Ἡ δὲ Ἡρωδιὰς[27] [g]ἐνεῖχεν αὐτῷ, καὶ **ἤθελεν**[28] αὐτὸν [g] Gen. 49. 23 (LXX). Luc. 11. 53.
20 ἀποκτεῖναι· καὶ οὐκ ἠδύνατο. [h]ὁ γὰρ Ἡρώδης[11] ἐφο- [h] Cf. Matt. 21. 26.

[1] ἄρτον μὴ πήραν TTrWHR. [2] ἀλλὰ LTTrWH. [3] ἐνδύσασθαι BEL *marg.* Tr *marg.* WH (*non marg.*). [4] λέγει L *marg.* [5] ἂν LTr. [6] ὃς ἂν τόπος μὴ δέξηται TTr (*non marg.*) WHR, *at* ἐὰν *pro* ἂν *tantum* L. [7] ἀμὴν λέγω κ.τ.λ. *ad fin. vers. deest in* TTrWHR, *uncinis includit* L. [8] ἐκήρυξαν TTrWHR. [9] μετανοῶσιν LTTr (*non marg.*) WH. [10] ἐξέβαλον Tr *marg.* [11] Ἡρῴδης WH. [12] ἔλεγον L (*non marg.*) Tr *marg.* WH (*non marg.*) R *marg.* [13] ἐγήγερται ἐκ νεκρῶν LTTrWHR. [14] +δὲ LTTrWHR. [15] Ἠλίας SE, Ἡλείας T, Ἠλείας WH. [16] —ἐστίν TTr[L]WHR. [17] —ἢ LTTrWHR. [18] ἔλεγεν TTrWHR. [19] —Ὅτι LTTrWHR. [20] Ἰωάνην WH. [21] —ἐστιν· αὐτὸς TTr[L] WHR. [22] —ἐκ νεκρῶν T[Tr]WHR. [23] —τῇ LTTrWHR. [24] Ἡρῳδιάδα WH. [25] Ἰωάνης WH. [26] Ἡρῴδῃ WH. [27] Ἡρῳδιὰς WH. [28] ἐζήτει LTr *marg.*

βεῖτο τὸν Ἰωάννην[1], εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ
ἅγιον, καὶ συνετήρει αὐτόν· καὶ ἀκούσας αὐτοῦ,
πολλὰ **ἐποίει**[2], καὶ [a]ἡδέως αὐτοῦ ἤκουε. καὶ γενομένης 21 ξ
ἡμέρας εὐκαίρου, **ὅτε**[3] Ἡρώδης[4] τοῖς γενεσίοις αὐτοῦ ς
[b]δεῖπνον **ἐποίει**[5] τοῖς [cd]μεγιστᾶσιν αὐτοῦ καὶ τοῖς [ce]χιλι-
άρχοις καὶ [f]τοῖς πρώτοις τῆς [g]Γαλιλαίας, καὶ εἰσελθού- 22
σης τῆς θυγατρὸς **αὐτῆς**[6] τῆς Ἡρωδιάδος[7], καὶ ὀρχη-
σαμένης, **καὶ ἀρεσάσης**[8] τῷ Ἡρώδῃ[9] καὶ τοῖς συνανα-
κειμένοις, **εἶπεν ὁ βασιλεὺς**[10] τῷ κορασίῳ, "Αἴτησόν
με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοί·" καὶ ὤμοσεν αὐτῇ, 23
"Ὅτι ὃ[11] ἐάν με αἰτήσῃς, δώσω σοί, [h]ἕως ἡμίσους τῆς
βασιλείας μου." Ἡ **δὲ**[12] ἐξελθοῦσα εἶπε τῇ μητρὶ 24
αὐτῆς, "Τί **αἰτήσομαι**[13];" Ἡ δὲ εἶπε, "Τὴν κεφαλὴν
Ἰωάννου[14] **τοῦ Βαπτιστοῦ**[15]." Καὶ εἰσελθοῦσα **εὐθέως**[16] 25
μετὰ σπουδῆς πρὸς τὸν βασιλέα, ᾐτήσατο, λέγουσα,
"Θέλω ἵνα μοι **δῷς ἐξ αὐτῆς**[17] ἐπὶ πίνακι τὴν κεφαλὴν
Ἰωάννου[14] τοῦ Βαπτιστοῦ." Καὶ περίλυπος γενό- 26
μενος ὁ βασιλεύς, διὰ τοὺς ὅρκους καὶ τοὺς **συνανα-
κειμένους**[18] οὐκ ἠθέλησεν **αὐτὴν ἀθετῆσαι**[19]. καὶ **εὐθέως**[20] 27
ἀποστείλας ὁ βασιλεὺς **σπεκουλάτωρα**[21] **ἐπέταξεν ἐν-
εχθῆναι**[22] τὴν κεφαλὴν αὐτοῦ[23]. **ὁ δὲ**[24] ἀπελθὼν ἀπεκε- 28
φάλισεν αὐτὸν ἐν τῇ φυλακῇ, καὶ ἤνεγκε τὴν κεφα-
λὴν αὐτοῦ ἐπὶ πίνακι, καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ·
καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς. Καὶ 29
ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ **ἦλθον**[25], καὶ ἦραν τὸ
πτῶμα αὐτοῦ, καὶ ἔθηκαν **αὐτὸ**[26] ἐν **τῷ**[27] μνημείῳ.

[i]Καὶ συνάγονται [k]οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, 30 ξα
καὶ ἀπήγγειλαν αὐτῷ πάντα, **καὶ**[28] ὅσα ἐποίησαν καὶ η
ὅσα[29] ἐδίδαξαν. καὶ **εἶπεν**[30] αὐτοῖς, "Δεῦτε ὑμεῖς αὐτοὶ 31 ξβ
κατ' ἰδίαν εἰς ἔρημον τόπον, καὶ **ἀναπαύεσθε**[31] ὀλίγον." ι

[a] cap. 12. 37. Cf. cap. 1. 16.
[b] 1 Reg. 8. 15. Esther 1. 3; 2. 18.
[c] Rev. 6. 15.
[d] Rev. 18. 23.
[e] Act. 25. 23. Rev. 19. 18.
[f] Luc. 19. 47. Act. 13. 50; 17. 4; 25. 2; 28. 7, 17.
[g] Luc. 8. 1.
[h] Esther 5. 3, 6; 7. 2.
[i] Luc. 9. 10.
[k] Matt. 10. 2. Luc. 6. 13; 17. 5; 22. 14; 24. 10.

[1] Ἰωάνην WH. [2] ἠπόρει TTr *marg.* WH.R (*non marg.*). [3] ὅ τε L. [4] Ἡρῴδης WH. [5] ἐποίησεν LTTr (*non marg.*) WHR. [6] [αὐτῆς] Tr *marg.*, αὐτοῦ WH.R *marg.* [7] Ἡρῳδιάδος WH. [8] ἤρεσεν L (*non marg.*) TTr (*non marg.*) WHR. [9] Ἡρῴδῃ WH. [10] εἶπεν δὲ ὁ βασιλεὺς L, ὁ δὲ βασιλεὺς εἶπεν TTrWHR. [11] —ὃ WH (*non marg.*). [12] καὶ TTr (*non marg.*) WHR. [13] αἰτήσωμαι LTTrWHR. [14] Ἰωάνου WH. [15] βαπτίζοντος TTrWHR. [16] εὐθὺς LTTrWH. [17] ἐξαυτῆς δῷς μοι LTTrWHR. [18] ἀνακειμένους TTrWHR. [19] ἀθετῆσαι αὐτήν TTr (*non marg.*) WH. [20] εὐθὺς TTrWH. [21] σπεκουλάτορα LTTrWH. [22] ἐνέγκαι TTr (*non marg.*) WHR. [23] +[ἐπὶ πίνακι] L. [24] καὶ L (*non marg.*) TTrWHR. [25] ἦλθαν TTrWH. [26] αὐτὸν T. [27] —τῷ BELTTrWHR. [28] —καὶ LTTrWHR. [29] —ὅσα T. [30] λέγει TTrWHR. [31] ἀναπαύσασθε TTrWHR.

Ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί,
32 καὶ [a]οὐδὲ φαγεῖν ηὐκαίρουν[1]. [b]καὶ ἀπῆλθον εἰς ἔρημον
33 τόπον τῷ πλοίῳ[2] κατ' ἰδίαν. Καὶ εἶδον[3] αὐτοὺς ὑπά-
γοντας [c]οἱ ὄχλοι[4], καὶ ἐπέγνωσαν[5] αὐτὸν[6] πολλοί·
καὶ πεζῇ ἀπὸ πασῶν τῶν πόλεων συνέδραμον ἐκεῖ,
καὶ προῆλθον αὐτούς, καὶ συνῆλθον πρὸς αὐτόν[7].
Ιϛ'.34 καὶ ἐξελθὼν εἶδεν ὁ Ἰησοῦς[8] πολὺν ὄχλον, καὶ
ξγ [d]ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς[9], ὅτι ἦσαν ὡς πρόβατα μὴ
ϛ ἔχοντα ποιμένα· καὶ ἤρξατο διδάσκειν αὐτοὺς πολλά.
ξδ 35 Καὶ ἤδη ὥρας πολλῆς γενομένης[10], προσελθόντες αὐ-
α τῷ[11] οἱ μαθηταὶ αὐτοῦ[12] λέγουσιν[13], "Ὅτι ἔρημός ἐστιν
36 ὁ τόπος, καὶ ἤδη ὥρα πολλή· ἀπόλυσον αὐτούς, ἵνα
ἀπελθόντες εἰς τοὺς κύκλῳ[14] ἀγροὺς καὶ κώμας, ἀγο-
ράσωσιν ἑαυτοῖς ἄρτους[15]· τί γὰρ[16] φάγωσιν οὐκ
37 ἔχουσιν[17]." Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, "Δότε
αὐτοῖς ὑμεῖς φαγεῖν." Καὶ [e]λέγουσιν αὐτῷ, [f]"Ἀπελ-
θόντες ἀγοράσωμεν διακοσίων [g]δηναρίων[18] ἄρτους, καὶ
38 δῶμεν[19] αὐτοῖς φαγεῖν;" Ὁ δὲ λέγει αὐτοῖς, "Πό-
σους ἄρτους ἔχετε[20]; ὑπάγετε καὶ[21] ἴδετε." Καὶ
39 γνόντες λέγουσι[22], "Πέντε, καὶ δύο ἰχθύας." Καὶ
ἐπέταξεν αὐτοῖς ἀνακλῖναι[23] πάντας συμπόσια συμ-
40 πόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ. καὶ ἀνέπεσον[24] πρασιαὶ
41 πρασιαί, ἀνὰ[25] ἑκατὸν καὶ ἀνὰ[25] πεντήκοντα. καὶ λα-
βὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, [h]ἀνα-
βλέψας εἰς τὸν οὐρανόν, εὐλόγησε· καὶ κατέκλασε
τοὺς ἄρτους, καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ[26] ἵνα
παραθῶσιν[27] αὐτοῖς· καὶ τοὺς δύο ἰχθύας ἐμέρισε
42, 43 πᾶσι· καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν· καὶ
ἦραν κλασμάτων[28] δώδεκα [i]κοφίνους[29] πλήρεις[30], καὶ

[a] cap. 3. 20. [b] ver. 32—44, Matt. 14. 13—21. Luc. 9. 10—17. Joan. 6. 5—13. Cf. cap. 8. 1—9. [c] ver. 45. cap. 3. 9. [d] Matt. 9. 36. [e] Cf. Joan. 6. 7. [f] Cf. Num. 11. 13, 21, 22. 2 Reg. 4. 43. [g] Vid. Matt. 18. 28. [h] Vid. Matt. 14. 19. [i] Vid. Matt. 14. 20.

[1] εὐκαίρουν LTTrWH. [2] ἐν τῷ πλοίῳ εἰς ἔρημον τόπον LWHR, at [τῷ πλοίῳ] Tr *marg.* [3] εἶδαν WH. [4] —οἱ ὄχλοι LTTrWHR. [5] ἔγνωσαν LTrWH (*non marg.*). [6] —αὐτὸν LTrWHR, αὐτοὺς T. [7] —καὶ συνῆλθον πρὸς αὐτόν LTTrWHR (καὶ συνῆλθον αὐτοῦ WH *marg. post* ἐκεῖ). [8] —ὁ Ἰησοῦς TTrWHR, *at* [ὁ Ἰησοῦς] εἶδεν L. [9] αὐτούς LTTrWHR. [10] γινομένης TWH *marg.* [11] —αὐτῷ T. [12] [αὐτοῦ] L. [13] ἔλεγον TTrWHR. [14] ἔγγιστα WH *marg.* [15] —ἄρτους TTr[L]WHR. [16] —γὰρ TTr[L]WHR. [17] —οὐκ ἔχουσιν TTr[L]WHR. [18] δηναρίων διακοσίων LTTrWH. [19] δώσομεν LTrWHR, δώσωμεν TTr *marg.* [20] ἔχετε ἄρτους Tr *marg.* WH. [21] —καὶ TTr[L]WHR. [22] +ν [αὐτῷ] LTr *marg.* [23] ἀνακλιθῆναι LWH (*non marg.*) R. [24] ἀνέπεσαν TTrWH. [25] κατὰ LTTrWH. [26] —αὐτοῦ TTrWHR. [27] παρατιθῶσιν TTr *marg.* WH. [28] κλάσματα Tr *marg.* WHR. [29] κοφίνων TTr *marg.* WHR. [30] πληρώματα TTrWHR.

ἀπὸ τῶν ἰχθύων. καὶ ἦσαν οἱ φαγόντες τοὺς ἄρτους 44
ὡσεὶ[1] πεντακισχίλιοι ἄνδρες. [a]Καὶ εὐθέως[2] ἠνάγ- 45 ξε / ς
κασε τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς [b]τὸ πλοῖον, καὶ
προάγειν εἰς τὸ πέραν [c]πρὸς Βηθσαϊδάν[3], ἕως αὐτὸς
ἀπολύσῃ[4] τὸν ὄχλον. καὶ [d]ἀποταξάμενος αὐτοῖς, 46 ξε / β
ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι. Καὶ ὀψίας γε- 47 ΙΖ΄. ξζ / δ
νομένης, ἦν[5] τὸ πλοῖον ἐν μέσῳ τῆς θαλάσσης, καὶ
αὐτὸς μόνος ἐπὶ τῆς γῆς. Καὶ εἶδεν[6] αὐτοὺς βασα- 48
νιζομένους ἐν τῷ ἐλαύνειν· ἦν γὰρ ὁ ἄνεμος ἐναντίος
αὐτοῖς· καὶ[7] περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς ἔρ-
χεται πρὸς αὐτούς, περιπατῶν ἐπὶ τῆς θαλάσσης·
[e]καὶ ἤθελε παρελθεῖν αὐτούς. οἱ δὲ ἰδόντες αὐτὸν 49
περιπατοῦντα ἐπὶ τῆς θαλάσσης[8], ἔδοξαν φάντασμα
εἶναι[9], καὶ ἀνέκραξαν· πάντες γὰρ αὐτὸν εἶδον[10], καὶ 50
ἐταράχθησαν. καὶ εὐθέως[11] ἐλάλησε μετ᾽ αὐτῶν, καὶ
λέγει αὐτοῖς, [f]"Θαρσεῖτε· ἐγώ εἰμι, μὴ φοβεῖσθε."
Καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς [b]τὸ πλοῖον, καὶ ἐκόπασεν 51 ξη / ς
ὁ ἄνεμος· καὶ λίαν ἐκ περισσοῦ[12] ἐν ἑαυτοῖς ἐξίσταν-
το, καὶ ἐθαύμαζον[13]. [g]οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις· 52
ἦν γὰρ[14] ἡ καρδία αὐτῶν[15] [h]πεπωρωμένη.
[i]ΚΑΙ διαπεράσαντες ἦλθον ἐπὶ τὴν γῆν[16] Γενησα- 53 ξθ / β
ρέτ[17], καὶ προσωρμίσθησαν. καὶ ἐξελθόντων αὐτῶν 54
ἐκ τοῦ πλοίου, εὐθέως[18] ἐπιγνόντες αὐτόν[19], περιδρα- 55
μόντες[20] ὅλην τὴν περίχωρον[21] ἐκείνην, [22]ἤρξαντο ἐπὶ
τοῖς κραββάτοις[23] τοὺς κακῶς ἔχοντας περιφέρειν, ὅπου
ἤκουον ὅτι ἐκεῖ[24] ἐστι. καὶ ὅπου ἂν[25] εἰσεπορεύετο εἰς 56
κώμας ἢ[26] πόλεις ἢ[26] ἀγρούς, ἐν ταῖς ἀγοραῖς[27] ἐτίθουν[28]
τοὺς ἀσθενοῦντας, καὶ παρεκάλουν αὐτόν, ἵνα κἂν
τοῦ κρασπέδου τοῦ ἱματίου [k]αὐτοῦ ἅψωνται· καὶ ὅσοι
ἂν ἥπτοντο[29] αὐτοῦ, [l]ἐσώζοντο.

[a] ver. 45—51, Matt. 14. 22—32. Joan. 6. 15—21.
[b] ver. 32, 51.
[c] cap. 8. 22. Cf. Luc. 9. 10. Joan. 6. 17.
[d] Luc. 9. 61; 14. 33. Act. 18. 18, 21. 2 Cor. 2. 13.
[e] Luc. 24. 28.
[f] Vid. Matt. 9. 2.
[g] Cf. cap. 8. 17, 21.
[h] cap. 8. 17. Joan. 12. 40. Rom. 11. 7. 2 Cor. 3. 13. Vid. cap. 3. 5.
[i] ver. 53—56, Matt. 14. 34—36. Cf. Joan. 6. 24, 25.
[k] Vid. cap. 3. 10.
[l] Vid. cap. 5. 34.

[1] —ὡσεὶ LTTrWHR. [2] εὐθὺς TTrWH. [3] Βηθσαιδάν WH. [4] ἀπολύει LTTrWHR. [5] +πάλαι WH *marg.* [6] ἰδὼν LTTrWHR. [7] —καὶ LTTrWHR, [καὶ] Tr *marg.* [8] ἐπὶ τῆς θαλάσσης περιπατοῦντα TWHR. [9] ὅτι φάντασμά ἐστιν TWHR. [10] εἶδαν TTrWH. [11] καὶ εὐθὺς LTr (*at* ὁ δὲ εὐθὺς L *marg.* TTr *marg.* WHR). [12] —ἐκ περισσοῦ [Tr]WHR. [13] —καὶ ἐθαύμαζον TTr[LTr *marg.*]WHR. [14] ἀλλ᾽ ἦν TTr (*non marg.*) WHR. [15] αὐτῶν ἡ καρδία LTTrWH. [16] ἐπὶ τὴν γῆν ἦλθον εἰς TWHR. [17] Γεννησαρέτ LTTrWHR. [18] εὐθὺς TTrWH. [19] +[οἱ ἄνδρες τοῦ τόπου ἐκείνου] L. [20] περιέδραμον TTrWHR. [21] χώραν L *marg.* TTrWHR. [22] +καὶ TTrWHR. [23] κραβάττοις LTTrWH. [24] —ἐκεῖ LT[Tr]WHR. [25] ἐὰν T. [26] +εἰς TTr[L]WHR. [27] πλατείαις WH *marg.* [28] ἐτίθεσαν TTrWH. [29] ἥψαντο L (*non marg.*) TTr (ἥπτοντο Tr *marg.*) WHR.

ΙΗ'. 7 [a]ΚΑΙ συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι, καί
ο τινες τῶν γραμματέων, ἐλθόντες ἀπὸ Ἱεροσολύμων[1]·
ι 2 καὶ ἰδόντες τινὰς τῶν μαθητῶν αὐτοῦ[2] [b]κοιναῖς χερσί,
τοῦτ' ἔστιν ἀνίπτοις, **ἐσθίοντας**[3,4] ἄρτους **ἐμέμψαντο**[5,6]·
3 (οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι, ἐὰν μὴ
πυγμῇ[7] νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσι, κρατοῦν-
4 τες τὴν παράδοσιν τῶν πρεσβυτέρων· καὶ **ἀπὸ**[8] ἀγο-
ρᾶς, ἐὰν μὴ **βαπτίσωνται**[9], οὐκ ἐσθίουσι· καὶ ἄλλα
πολλά ἐστιν ἃ παρέλαβον κρατεῖν, [c]βαπτισμοὺς
οα 5 [d]ποτηρίων καὶ ξεστῶν καὶ χαλκίων **καὶ κλινῶν**[10]·) **ἔπει-**
ς **τα**[11] ἐπερωτῶσιν αὐτὸν οἱ Φαρισαῖοι καὶ οἱ γραμμα-
τεῖς, "Διατί[12] **οἱ μαθηταί σου οὐ περιπατοῦσι**[13] κατὰ
τὴν παράδοσιν τῶν πρεσβυτέρων, ἀλλὰ [b]**ἀνίπτοις**[14]
6 χερσὶν ἐσθίουσι τὸν ἄρτον;" Ὁ δὲ **ἀποκριθεὶς**[15] εἶπεν
αὐτοῖς, "Ὅτι[16] καλῶς **προεφήτευσεν**[17] **Ἡσαΐας**[18] περὶ
ὑμῶν τῶν ὑποκριτῶν, ὡς γέγραπται[19], [e]'**Οὗτος ὁ λαὸς**[20]
τοῖς χείλεσί με **τιμᾷ**[21], ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει
7 ἀπ' ἐμοῦ. μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκα-
8 λίας [f]ἐντάλματα ἀνθρώπων.' Ἀφέντες **γὰρ**[22] τὴν ἐντο-
λὴν τοῦ Θεοῦ, κρατεῖτε τὴν παράδοσιν τῶν ἀνθρώπων,
βαπτισμοὺς ξεστῶν καὶ ποτηρίων, καὶ ἄλλα παρόμοια
9 **τοιαῦτα πολλὰ ποιεῖτε**[23]." Καὶ ἔλεγεν αὐτοῖς, "Κα-
λῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ Θεοῦ, ἵνα τὴν παρά-
10 δοσιν ὑμῶν **τηρήσητε**[24]. **Μωσῆς**[25] γὰρ εἶπε, [g]'Τίμα
τὸν πατέρα σου καὶ τὴν μητέρα σου·' καί, [h]'ὁ κακο-
11 λογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω·' ὑμεῖς
δὲ λέγετε, Ἐὰν εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρί,
[i]Κορβᾶν[26], (ὅ ἐστι, δῶρον,) ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς[27]·
12 **καὶ**[28] οὐκέτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ
13 **αὐτοῦ**[29] ἢ τῇ μητρὶ **αὐτοῦ**[29], ἀκυροῦντες τὸν λόγον τοῦ
Θεοῦ τῇ παραδόσει ὑμῶν[30] ᾗ παρεδώκατε· καὶ παρόμοια

[a] ver. 1—23, Matt. 15. 1—20. [b] ver. 5. Act. 10. 14, 28; 11. 8. Rom. 14. 14. Heb. 10. 29. Rev. 21. 27 (var. lect.). [c] Heb. 9. 10. Cf. Joan. 2. 6. [d] Matt. 23. 25, 26. Luc. 11. 39. [e] Esa. 29. 13. [f] Cf. Tit. 1. 14. [g] Ex. 20. 12, &c. [h] Ex. 21. 17. [i] Lev. 1. 2, &c. (Heb.). Cf. Matt. 27. 6.

[1] Ἰεροσολύμων WH. [2] +ὅτι TTrWHR. [3] ἐσθίουσιν TTrWHR. [4] +τοὺς LTTrWHR. [5] —ἐμέμψαντο LTTrWHR. [6] .—WH, . R. [7] πυκνὰ T. [8] ἀπ' LTrWH. [9] ῥαντίσωνται WH (*non marg.*) R *marg.* [10] —καὶ κλινῶν TWH (*non marg.*) R (*non marg.*). [11] καὶ LTTrWHR. [12] Διὰ τί WH. [13] οὐ περιπατοῦσιν οἱ μαθηταί σου TTr (*non marg.*) WH. [14] κοιναῖς L (*non marg.*) TTrWHR. [15] —ἀποκριθεὶς TTrWHR. [16] —Ὅτι T[LTr]WH. [17] ἐπροφήτευσεν LTTrWH. [18] Ἠσαΐας L, Ἠσαίας WH. [19] +ὅτι T[Tr *marg.*]WH. [20] Ὁ λαὸς οὗτος LWH. [21] ἀγαπᾷ WH *marg.* [22] —γὰρ LTTrWHR. [23] βαπτισμοὺς *ad fin. vers. omittunt* TWHR, *uncinis includit* Tr. [24] στήσητε WH *marg.* [25] Μωϋσῆς LTTrWH. [26] Κορβάν WH. [27] , WHR. [28] —καὶ LTTrWHR. [29] —αὐτοῦ LTTrWH. [30] +τῇ μωρᾷ WH *marg.*

τοιαῦτα πολλὰ ποιεῖτε." Καὶ προσκαλεσάμενος 14
πάντα[1] τὸν ὄχλον, ἔλεγεν αὐτοῖς, "Ἀκούετέ[2] μου
πάντες, καὶ συνίετε[3]. οὐδέν ἐστιν ἔξωθεν τοῦ ἀνθρώ- 15
που εἰσπορευόμενον εἰς αὐτόν, ὃ δύναται αὐτὸν κοι-
νῶσαι[4]· ἀλλὰ τὰ ἐκπορευόμενα ἀπ' αὐτοῦ[5], ἐκεῖνά[6] ἐστι
τὰ κοινοῦντα τὸν ἄνθρωπον. [a]εἴ τις ἔχει ὦτα ἀκούειν, 16
ἀκουέτω."[7] Καὶ ὅτε εἰσῆλθεν εἰς[8] [b]οἶκον ἀπὸ τοῦ ὄχλου, 17 οβ/ς
ἐπηρώτων αὐτὸν [c]οἱ μαθηταὶ αὐτοῦ περὶ τῆς παραβο-
λῆς[9]. καὶ λέγει αὐτοῖς, "Οὕτω καὶ ὑμεῖς ἀσύνετοί 18
ἐστε; οὐ νοεῖτε ὅτι πᾶν τὸ ἔξωθεν εἰσπορευόμενον
εἰς τὸν ἄνθρωπον οὐ δύναται αὐτὸν κοινῶσαι; ὅτι 19
οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν, ἀλλ' εἰς τὴν
κοιλίαν· καὶ εἰς τὸν ἀφεδρῶνα[10] ἐκπορεύεται[11], [d]καθαρί-
ζον[12] πάντα τὰ βρώματα." Ἔλεγε δέ, "Ὅτι τὸ ἐκ 20
τοῦ ἀνθρώπου ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ τὸν ἄν-
θρωπον. ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων 21
οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται, μοιχεῖαι, πορ-
νεῖαι, φόνοι, κλοπαί[13], [e]πλεονεξίαι, [e f]πονηρίαι, δόλος, 22
[g]ἀσέλγεια, [h]ὀφθαλμὸς πονηρός, βλασφημία, ὑπερηφα-
νία, [i]ἀφροσύνη. πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν 23
ἐκπορεύεται, καὶ κοινοῖ τὸν ἄνθρωπον."

[k]Καὶ ἐκεῖθεν[14] ἀναστὰς ἀπῆλθεν εἰς τὰ μεθόρια[15] [l]Τύ- 24
ρου καὶ Σιδῶνος[16]. καὶ εἰσελθὼν εἰς τὴν[17] οἰκίαν,
οὐδένα ἤθελε[18] γνῶναι, καὶ οὐκ ἠδυνήθη[19] λαθεῖν. ἀκού- 25 ΙΘ΄.
σασα γὰρ[20] γυνὴ περὶ αὐτοῦ, ἧς εἶχε τὸ θυγάτριον
αὐτῆς πνεῦμα ἀκάθαρτον, ἐλθοῦσα[21] προσέπεσε πρὸς
τοὺς πόδας αὐτοῦ· ἦν δὲ ἡ γυνὴ[22] [m]Ἑλληνίς, [n]Συροφοί- 26
νισσα[23] τῷ γένει· καὶ ἠρώτα αὐτὸν ἵνα τὸ δαιμόνιον ογ/ς
ἐκβάλλῃ[24] ἐκ τῆς θυγατρὸς αὐτῆς. ὁ δὲ Ἰησοῦς εἶπεν[25] 27
αὐτῇ, "Ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα· οὐ γὰρ

[a] Vid. Matt. 11. 15. [b] Vid. cap. 3. 20. [c] Cf. Matt. 15. 15.
[d] Cf. Luc. 11. 41. Act. 10. 15; 11. 9.
[e] Rom. 1. 29. [f] Act. 3. 26. [g] 2 Cor. 12. 21. Gal. 5. 19. Eph. 4. 19. 2 Pet. 2. 7, 18. Jud. 4. Cf. Rom. 13. 13. 1 Pet. 4. 3. [h] Vid. Matt. 6. 23. [i] 2 Cor. 11. 1, 17, 21. [k] ver. 24—30, Matt. 15. 21—28. [l] ver. 31. Vid. Matt. 11. 21. [m] Cf. Rom. 1. 16. [n] Cf. Matt. 15. 22.

[1] πάλιν LTTrWHR. [2] ἀκούσατέ LTTrWH. [3] σύνετε LTTrWH. [4] κοινῶσαι αὐτόν TWH. [5] ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενα LTTrWHR. [6] —ἐκεῖνα T[Tr]WHR. [7] v. 16 *omittunt* TWH.R (*non marg.*), *uncinis includit* Tr. [8] +τὸν T. [9] τὴν παραβολήν LTTrWHR. [10] ὀχετὸν WH *marg.* [11] ;— WH, ; R. [12] καθαρίζων LTTrWHR. [13] πορνεῖαι, κλοπαί, φόνοι, μοιχεῖαι TTr (*non marg.*) WHR. [14] Ἐκεῖθεν δὲ TTr *marg.* WHR. [15] ὅρια LTTrWH. [16] —καὶ Σιδῶνος T[Tr *marg.* WH]R *marg.* [17] —τὴν LTTrWHR. [18] ἠθέλησεν T. [19] ἠδυνάσθη TWH. [20] ἀλλ' (ἀλλὰ T) εὐθὺς ἀκούσασα TTrWHR. [21] εἰσελθοῦσα T. [22] ἡ δὲ γυνὴ ἦν LTWH, ἡ γυνὴ δὲ ἦν Tr. [23] Συροφοινίκισσα LTWH *text.*, Σύρα Φοινίκισσα TrWH *marg.* [24] ἐκβάλῃ LTTrWH. [25] καὶ ἔλεγεν LTTrWHR.

καλόν ἐστι[1] λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν
28 τοῖς κυναρίοις[2]." Ἡ δὲ ἀπεκρίθη καὶ λέγει αὐτῷ,
"Ναί, κύριε[3]· καὶ γὰρ[4] τὰ κυνάρια ὑποκάτω τῆς τρα-
29 πέζης ἐσθίει[5] ἀπὸ τῶν ψιχίων τῶν παιδίων." Καὶ
εἶπεν αὐτῇ, "Διὰ τοῦτον τὸν λόγον, ὕπαγε· ἐξελή-
30 λυθε τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου[6]." Καὶ ἀπελ-
θοῦσα εἰς τὸν οἶκον αὐτῆς, εὗρε τὸ δαιμόνιον ἐξεληλυ-
θός, καὶ τὴν θυγατέρα βεβλημένην ἐπὶ τῆς κλίνης[7].
Κ'. 31 [a]ΚΑΙ πάλιν ἐξελθὼν ἐκ τῶν ὁρίων [b]Τύρου καὶ Σιδῶ-
οδ νος, ἦλθε πρὸς[8] [c]τὴν θάλασσαν τῆς Γαλιλαίας, ἀνὰ
ι 32 μέσον τῶν ὁρίων [d]Δεκαπόλεως. καὶ φέρουσιν αὐτῷ
[e]κωφὸν[9] [e]μογιλάλον[10], καὶ παρακαλοῦσιν αὐτὸν ἵνα
33 [f]ἐπιθῇ αὐτῷ τὴν χεῖρα. καὶ [g]ἀπολαβόμενος αὐτὸν
ἀπὸ τοῦ ὄχλου κατ' ἰδίαν, ἔβαλε τοὺς δακτύλους
αὐτοῦ[11] εἰς τὰ ὦτα αὐτοῦ, καὶ [g]πτύσας [h]ἥψατο τῆς
34 γλώσσης αὐτοῦ, καὶ [i]ἀναβλέψας εἰς τὸν οὐρανόν,
[k]ἐστέναξε, καὶ λέγει αὐτῷ, [l]"Ἐφφαθά," ὅ ἐστι, "Δια-
35 νοίχθητι." Καὶ εὐθέως[12] διηνοίχθησαν[13] αὐτοῦ αἱ
ἀκοαί· καὶ[14] ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ
οε 36 ἐλάλει ὀρθῶς. καὶ [m]διεστείλατο αὐτοῖς ἵνα [n]μηδενὶ
η εἴπωσιν[15]· ὅσον δὲ αὐτὸς[16] αὐτοῖς διεστέλλετο, [o][17]μᾶλ-
37 λον περισσότερον ἐκήρυσσον· καὶ [p]ὑπερπερισσῶς ἐξε-
πλήσσοντο, λέγοντες, "Καλῶς πάντα πεποίηκε· [18]καὶ
τοὺς κωφοὺς ποιεῖ ἀκούειν, καὶ τοὺς[19] ἀλάλους λαλεῖν."
ΚΑ'. 8 [q]ἘΝ ἐκείναις ταῖς ἡμέραις, παμπόλλου[20] ὄχλου ὄν-
οϛ τος, καὶ μὴ ἐχόντων τί φάγωσι, προσκαλεσάμενος ὁ
ϛ 2 Ἰησοῦς[21] τοὺς μαθητὰς αὐτοῦ[22] λέγει αὐτοῖς, "Σπλαγ-
χνίζομαι ἐπὶ τὸν ὄχλον· ὅτι ἤδη ἡμέρας[23] τρεῖς[24] προσ-
3 μένουσί μοι[25], καὶ οὐκ ἔχουσι τί φάγωσι· καὶ ἐὰν ἀπο-
λύσω αὐτοὺς νήστεις[26] εἰς οἶκον αὐτῶν, ἐκλυθήσονται

[a] ver. 31, 32, 37, cf. Matt. 15. 29—31.
[b] ver. 24.
[c] Matt. 4. 18.
[d] Matt. 4. 25. cap. 5. 20.
[e] Esa. 35. 5, 6. Cf. Matt. 9. 32. Luc. 11. 14.
[f] Vid. cap. 5. 23.
[g] cap. 8. 23.
[h] Cf. Matt. 20. 34.
[i] Vid. Matt. 14. 19.
[k] cap. 8. 12.
[l] Cf. cap. 5. 41.
[m] Vid. cap. 5. 43.
[n] Vid. Matt. 8. 4.
[o] Cf. Matt. 9. 31. cap. 1. 45.
[p] cap. 10. 26.
[q] ver. 1—9, Matt. 15. 32—38. Cf. cap. 6. 34—44.

[1] ἐστιν καλὸν LTTrWH. [2] τοῖς κυναρίοις βαλεῖν TTr (non marg.) WH. [3] Κύριε, ἀλλὰ WH marg. [4] —γὰρ TTr[L]WHR. [5] ἐσθίουσιν LTTrWH. [6] ἐκ τῆς θυγατρός σου τὸ δαιμόνιον TTr marg. WH. [7] τὸ παιδίον βεβλημένον ἐπὶ τὴν κλίνην καὶ τὸ δαιμόνιον ἐξεληλυθός L (non marg.) TTrWHR. [8] ἦλθεν διὰ Σιδῶνος εἰς LTTrWHR. [9] +καὶ LTTrWHR. [10] μογγιλάλον Tr (non marg.). [11] —αὐτοῦ T. [12] —εὐθέως TTr[LTr marg.]WHR. [13] ἠνοίγησαν LTTrWH. [14] +εὐθὺς T. [15] λέγωσιν TTr (non marg.) WH. [16] —αὐτὸς LTTrWH. [17] +αὐτοὶ LTTrWH. [18] +ὡς (post πεποίηκεν,) WH marg. [19] —τοὺς TTrWHR. [20] πάλιν πολλοῦ LTTrWHR. [21] —ὁ Ἰησοῦς LTTrWHR. [22] —αὐτοῦ TTrWH. [23] ἡμέραι LTTrWHR. [24] ἡμέραις τρισὶν WH marg. [25] —μοι L[Tr]WH marg. [26] νήστις T.

ἐν τῇ ὁδῷ· **τινὲς γάρ**[1] αὐτῶν[2] μακρόθεν **ἥκασι**[3]." Καὶ 4
ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, "[4]Πόθεν τού-
τους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ' ἐρημίας;"
Καὶ **ἐπηρώτα**[5] αὐτούς, "Πόσους ἔχετε ἄρτους;" Οἱ 5
δὲ **εἶπον**[6], "Ἑπτά." Καὶ **παρήγγειλε**[7] τῷ ὄχλῳ ἀνα- 6
πεσεῖν ἐπὶ τῆς γῆς· **καὶ** λαβὼν τοὺς ἑπτὰ ἄρτους,
[8]εὐχαριστήσας ἔκλασε καὶ ἐδίδου τοῖς μαθηταῖς
αὐτοῦ, ἵνα **παραθῶσι**[9]· καὶ παρέθηκαν τῷ ὄχλῳ. καὶ 7
εἶχον[10] ἰχθύδια ὀλίγα· καὶ [a][11]εὐλογήσας [12]**εἶπε παρα-
θεῖναι καὶ αὐτά**[13]. **ἔφαγον δέ**[14], καὶ ἐχορτάσθησαν· 8
[b]καὶ ἦραν περισσεύματα κλασμάτων, ἑπτὰ **σπυρίδας**[15].
ἦσαν δὲ **οἱ φαγόντες**[16] ὡς τετρακισχίλιοι· καὶ ἀπέ- 9
λυσεν αὐτούς.

[c]Καὶ **εὐθέως**[17] ἐμβὰς[18] εἰς [d]τὸ πλοῖον μετὰ τῶν μα- 10
θητῶν αὐτοῦ, ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά. [e]καὶ 11 ος δ
ἐξῆλθον οἱ Φαρισαῖοι, καὶ ἤρξαντο [19]**συζητεῖν** αὐτῷ,
[f]ζητοῦντες παρ' αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ, πει-
ράζοντες αὐτόν. καὶ [g]ἀναστενάξας [h]τῷ πνεύματι **αὐτοῦ**[20] 12 οη ς
λέγει, "Τί ἡ γενεὰ αὕτη **σημεῖον ἐπιζητεῖ**[21]; ἀμὴν
λέγω **ὑμῖν**[22], εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον."
Καὶ ἀφεὶς αὐτούς, **ἐμβὰς πάλιν**[23] **εἰς τὸ πλοῖον**[24], ἀπῆλ- 13
θεν εἰς τὸ πέραν.

Καὶ ἐπελάθοντο λαβεῖν ἄρτους, καὶ εἰ μὴ ἕνα 14
ἄρτον οὐκ εἶχον μεθ' ἑαυτῶν ἐν τῷ πλοίῳ. καὶ [i]διε- 15 ΚΒ′.
στέλλετο αὐτοῖς, λέγων, "Ὁρᾶτε, [25]βλέπετε ἀπὸ οθ β
[k]τῆς ζύμης τῶν Φαρισαίων καὶ τῆς ζύμης [l]Ἡρώδου[26]."
Καὶ διελογίζοντο πρὸς ἀλλήλους, **λέγοντες**[27], "Ὅτι 16 π ς
ἄρτους οὐκ **ἔχομεν**[28]." Καὶ γνοὺς **ὁ Ἰησοῦς**[29] λέγει 17
αὐτοῖς, "Τί διαλογίζεσθε, ὅτι ἄρτους οὐκ ἔχετε;

[a] Vid. Matt. 14. 19.
[b] ver. 20. Vid. Matt. 16. 10.
[c] Matt. 15. 39.
[d] cap. 3. 9.
[e] ver. 11—21, Matt. 16. 1—12.
[f] 1 Cor. 1. 22. Cf. Joan. 6. 30. Vid. Matt. 12. 38.
[g] cap. 7. 34.
[h] Joan. 11. 33.
[i] Vid. cap. 5. 43.
[k] Vid. Matt. 16. 6.
[l] Vid. Matt. 22. 16.

[1] *καί τινες* LTTr (*non marg.*) WHR. [2] +*ἀπὸ* TTrWHR. [3] *ἥκουσι* BE, *εἰσίν* Tr *marg.* WH. [4] +*ὅτι* TTrWH. [5] *ἠρώτα* TTrWH. [6] *εἶπαν* TTrWH. [7] *παραγγέλλει* LTTrWHR. [8] +[*καὶ*] LTr *marg.* [9] *παρατιθῶσιν* TTrWH. [10] *εἶχαν* LTTrWH. [11] +*ταῦτα* L. [12] +*αὐτὰ* TTrWHR. [13] *παρατεθῆναι καὶ αὐτά* L, *παρέθηκεν* (—*εἶπε*) T, *at καὶ ταῦτα παρατιθέναι* TrWHR. [14] *καὶ ἔφαγον* LTTrWHR. [15] *σφυρίδας* LWH. [16] —*οἱ φαγόντες* T[Tr]WHR. [17] *εὐθὺς* LTTrWH. [18] +*αὐτὸς* [L]WH *marg.* [19] *συν-* LTTrWH. [20] [*αὐτοῦ*] Tr *marg.* [21] *ζητεῖ σημεῖον* LTTrWHR. [22] —*ὑμῖν* [Tr *marg.*]WH (*non marg.*). [23] *πάλιν ἐμβὰς* LTTrWHR. [24] —*εἰς τὸ πλοῖον* TWHR, —*τὸ tantum* L, [*εἰς πλοῖον*] Tr. [25] +[*καὶ*] L. [26] *Ἡρῴδου* WH. [27] —*λέγοντες* LTTrWH. [28] *ἔχουσιν* LTr (*non marg.*) WH.R *marg.* [29] —*ὁ Ἰησοῦς* T[Tr]WH.

οὔπω νοεῖτε, οὐδὲ συνίετε; ἔτι[1] [a]πεπωρωμένην ἔχετε [a] Vid. cap. 6. 52.
18 τὴν καρδίαν ὑμῶν; ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε;[2]
καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε; καὶ οὐ μνημονεύετε;[2]
19 [b]ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεντακισχι- [b] cap. 6. 41, 44.
λίους,[3] πόσους [c]κοφίνους **πλήρεις κλασμάτων**[4] ἤρατε;" [c] Vid. Matt. 14. 20.
20 Λέγουσιν αὐτῷ, "Δώδεκα." [d]"Ὅτε **δὲ**[5] τοὺς ἑπτὰ[6] [d] ver. 6, 9.
εἰς τοὺς τετρακισχιλίους, [e]πόσων **σπυρίδων**[7] πληρώ- [e] ver. 8.
ματα κλασμάτων ἤρατε;" Οἱ **δὲ εἶπον**[8], "Ἑπτά."
21 Καὶ ἔλεγεν αὐτοῖς, [a]"**Πῶς**[9] **οὐ**[10] συνίετε;"
ΚΓ΄. 22 ΚΑΙ **ἔρχεται**[11] εἰς [f]**Βηθσαϊδάν**[12]· καὶ φέρουσιν αὐτῷ [f] cap. 6. 45.
πα τυφλόν, καὶ παρακαλοῦσιν αὐτὸν [g]ἵνα αὐτοῦ ἅψηται. [g] Vid. cap. 3 10.
ι 23 καὶ [h]ἐπιλαβόμενος τῆς χειρὸς τοῦ τυφλοῦ, **ἐξήγαγεν**[13] [h] cap. 7. 33.
αὐτὸν ἔξω τῆς κώμης· καὶ [h i]πτύσας εἰς τὰ ὄμματα [i] Joan. 9. 6.
αὐτοῦ, [k]ἐπιθεὶς τὰς χεῖρας **αὐτῷ**[14], ἐπηρώτα αὐτὸν εἴ τι [k] Vid. cap. 5. 23.
24 **βλέπει**[15]. καὶ ἀναβλέψας **ἔλεγε**[16], "Βλέπω τοὺς ἀν-
25 θρώπους, ὅτι ὡς δένδρα ὁρῶ περιπατοῦντας." Εἶτα
πάλιν **ἐπέθηκε**[17] [k]τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐ-
τοῦ, καὶ **ἐποίησεν αὐτὸν ἀναβλέψαι**[18]· καὶ **ἀποκατ-**
26 **εστάθη**[19], καὶ **ἐνέβλεψε**[20] **τηλαυγῶς**[21] **ἅπαντας**[22]. καὶ ἀπέ-
στειλεν αὐτὸν εἰς τὸν[23] οἶκον αὐτοῦ, λέγων, "**Μηδὲ**[24]
[l]εἰς τὴν κώμην εἰσέλθῃς, [m]**μηδὲ εἴπῃς τινὶ ἐν τῇ** [l] ver. 23. [m] Vid. Matt. 8. 4.
κώμῃ[25]."
ΚΔ΄. 27 [n]Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς [n] ver. 27–29, Matt. 16. 13–16. Luc. 9. 18–20.
πβ τὰς κώμας **Καισαρείας**[26] τῆς Φιλίππου· καὶ ἐν τῇ ὁδῷ
α ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων **αὐτοῖς**[27], "Τίνα
28 με λέγουσιν οἱ ἄνθρωποι εἶναι;" Οἱ δὲ **ἀπεκρίθη-**
σαν[28, 29], "[30]**Ἰωάννην**[31] τὸν Βαπτιστήν· [o]καὶ ἄλλοι [o] cap. 6. 15.
29 **Ἠλίαν**[32]· ἄλλοι δὲ **ἕνα**[33] τῶν προφητῶν." Καὶ αὐτὸς
λέγει αὐτοῖς[34], "Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι;"

ται. ὁ οὐρανὸς καὶ ἡ γῆ **παρελεύσονται**[1]· οἱ δὲ λόγοι 31
μου οὐ μὴ[2] **παρέλθωσι**[3].
"Περὶ δὲ τῆς ἡμέρας ἐκείνης **καὶ**[4] τῆς ὥρας, οὐδ- 32 ΜΓ'.
εἰς οἶδεν, οὐδὲ **οἱ ἄγγελοι**[5] **οἱ**[6] ἐν οὐρανῷ, οὐδὲ ὁ υἱός, ρνβ
εἰ μὴ ὁ πατήρ. ς
"Βλέπετε, [a]ἀγρυπνεῖτε **καὶ προσεύχεσθε**[7], [b]οὐκ οἴ- 33 ρνγ ς
δατε γὰρ πότε ὁ καιρός **ἐστιν**[8]. ὡς ἄνθρωπος ἀπόδημος 34 ρνδ
ἀφεὶς τὴν οἰκίαν αὐτοῦ, καὶ δοὺς τοῖς δούλοις αὐτοῦ β
τὴν ἐξουσίαν, **καὶ**[9] ἑκάστῳ τὸ ἔργον αὐτοῦ, καὶ τῷ
θυρωρῷ ἐνετείλατο ἵνα γρηγορῇ. [c]γρηγορεῖτε οὖν· 35 ρνε
οὐκ οἴδατε γὰρ πότε ὁ κύριος τῆς οἰκίας ἔρχεται, β
[d][10]ὀψέ, ἢ **μεσονυκτίου**[11], ἢ [e]ἀλεκτοροφωνίας, ἢ πρωΐ· μὴ 36
ἐλθὼν **ἐξαίφνης**[12] εὕρῃ ὑμᾶς καθεύδοντας. **ἃ**[13] δὲ ὑμῖν 37
λέγω, πᾶσι λέγω, [c]Γρηγορεῖτε."

[f]ΗΝ δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας· **14** ρνς α
καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, πῶς ρνζ
αὐτὸν ἐν δόλῳ κρατήσαντες ἀποκτείνωσιν· ἔλεγον **δέ**[14], 2 ς
"Μὴ ἐν τῇ ἑορτῇ, μήποτε **θόρυβος ἔσται**[15] τοῦ λαοῦ."
[g]Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ, ἐν τῇ οἰκίᾳ Σίμωνος 3 ΜΔ'.
τοῦ λεπροῦ, κατακειμένου αὐτοῦ, ἦλθε γυνὴ ἔχουσα ρνη
ἀλάβαστρον [h]μύρου νάρδου πιστικῆς πολυτελοῦς· **καὶ**[16] α
συντρίψασα **τὸ**[17] ἀλάβαστρον, κατέχεεν αὐτοῦ **κατὰ**[18]
τῆς κεφαλῆς. **ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς** 4
ἑαυτούς[19], **καὶ λέγοντες**[20], "Εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ
μύρου γέγονεν; ἠδύνατο γὰρ τοῦτο[21] πραθῆναι ἐπάνω 5
[i]**τριακοσίων** [k]**δηναρίων**[22], καὶ δοθῆναι τοῖς πτωχοῖς·" καὶ
[l]**ἐνεβριμῶντο**[23] αὐτῇ. Ὁ δὲ Ἰησοῦς εἶπεν, "Ἄφετε 6
αὐτήν· τί αὐτῇ κόπους παρέχετε; καλὸν ἔργον **εἰργά-**
σατο[24] **εἰς ἐμέ**[25]. πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε 7
μεθ' ἑαυτῶν, καὶ ὅταν θέλητε, δύνασθε **αὐτοὺς**[26] εὖ

[a] Luc. 21. 36. Eph. 6. 18. Heb. 13. 17.
[b] Cf. Matt. 25. 14.
[c] ver. 37. Vid. Matt. 24. 42.
[d] Cf. Matt. 14. 25.
[e] cap. 14. 30, 68, 72.
[f] ver. 1, 2, Matt. 26. 2–5. Luc. 22. 1, 2.
[g] ver. 3–9, Matt. 26. 6–13. Cf. Joan. 12. 1–8.
[h] Joan. 12. 3.
[i] Cf. Matt. 26. 9.
[k] Vid. Matt. 18. 28.
[l] Joan. 11. 33, 38.

[1] παρελεύσεται L *marg.* Tr *marg.* [2] —μὴ WH (*non marg.*). [3] παρελεύσονται TTrWH. [4] ἢ LTTrWHR. [5] ἄγγελος Tr *marg.* WH *marg.* [6] —οἱ TTrWHR. [7] —καὶ προσεύχεσθε LT[Tr] WH.R *marg.* [8] [ἐστιν] WH. [9] —καὶ LTTrWHR. [10] + ἢ TTrWHR. [11] μεσονύκτιον TTrWH. [12] ἐξέφνης WH. [13] ὃ LTTrWHR. [14] γὰρ LTTrWHR. [15] ἔσται θόρυβος TTrWH. [16] —καὶ T[Tr *marg.*]WHR. [17] τὸν LT, τὴν TrWH. [18] —κατὰ LTTrWHR. [19] οἱ δὲ μαθηταὶ αὐτοῦ διεπονοῦντο καὶ ἔλεγον WH *marg.* [20] —καὶ λέγοντες T[Tr]WH (*vid. marg.*) R. [21] + τὸ μύρον LTTrWHR. [22] δηναρίων τριακοσίων LTTrWH (*non marg.*). [23] ἐνεβριμοῦντο T. [24] ἠργάσατο TWH. [25] ἐν ἐμοί LTTrWHR. [26] αὐτοῖς LTrWH, —αὐτοὺς T, *etiam* [πάντοτε] εὖ ποιῆσαι Tr *marg.* WH.

ρνθ/δ 8 ποιῆσαι· ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. ὃ **εἶχεν**[1] **αὕτη**[2],
ἐποίησε· προέλαβε μυρίσαι **μου τὸ σῶμα**[3] εἰς τὸν
9 ἐνταφιασμόν. ἀμὴν[4] λέγω ὑμῖν, ὅπου **ἂν**[5] κηρυχθῇ
τὸ εὐαγγέλιον **τοῦτο**[6] εἰς ὅλον τὸν κόσμον, καὶ ὃ
ἐποίησεν αὕτη λαληθήσεται εἰς μνημόσυνον αὐτῆς."
ρξ/β 10 [a]Καὶ **ὁ**[7] Ἰούδας **ὁ**[7] [b]**Ἰσκαριώτης**[8], [c][9]εἷς τῶν δώδεκα,
ἀπῆλθε πρὸς τοὺς ἀρχιερεῖς, ἵνα **παραδῷ αὐτὸν**[10] αὐ-
11 τοῖς. Οἱ δὲ ἀκούσαντες ἐχάρησαν, καὶ ἐπηγγείλαντο
αὐτῷ ἀργύριον δοῦναι· καὶ ἐζήτει πῶς **εὐκαίρως αὐτὸν**
παραδῷ[11].
ΜΕʹ. 12 [d]ΚΑΙ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, [e]ὅτε τὸ πάσχα
[f]ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, "Ποῦ θέλεις
13 ἀπελθόντες ἑτοιμάσωμεν ἵνα φάγῃς τὸ πάσχα;" Καὶ
ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς,
"Ὑπάγετε εἰς τὴν πόλιν· καὶ ἀπαντήσει ὑμῖν ἄνθρω-
πος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ,
14 καὶ ὅπου **ἐὰν**[12] εἰσέλθῃ, εἴπατε τῷ οἰκοδεσπότῃ,
Ὅτι ὁ διδάσκαλος λέγει, Ποῦ ἐστι τὸ [g]κατάλυμα[13],
15 ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; καὶ
αὐτὸς ὑμῖν δείξει [h]**ἀνώγεον**[14] μέγα ἐστρωμένον **ἕτοιμον**[15]·
16 [16]ἐκεῖ ἑτοιμάσατε ἡμῖν." Καὶ ἐξῆλθον οἱ μαθηταὶ
αὐτοῦ[17], καὶ ἦλθον εἰς τὴν πόλιν, καὶ εὗρον καθὼς
εἶπεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ πάσχα.
17 [i]Καὶ ὀψίας γενομένης ἔρχεται μετὰ τῶν δώδεκα·
ΜϚʹ. 18 καὶ ἀνακειμένων αὐτῶν καὶ ἐσθιόντων, **εἶπεν ὁ Ἰησοῦς**[18],
ρξα/δ "Ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με, [k]ὁ
ρξβ/α 19 **ἐσθίων**[19] μετ' ἐμοῦ." **Οἱ δὲ**[20] ἤρξαντο λυπεῖσθαι, καὶ
λέγειν αὐτῷ [l]εἷς **καθ'**[21] εἷς, "Μή τι ἐγώ;" **Καὶ ἄλλος,**
ρξγ/β 20 "**Μή τι ἐγώ;**[22]" Ὁ δὲ **ἀποκριθεὶς**[23] εἶπεν αὐτοῖς, "Εἷς
ἐκ[24] τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ[25] εἰς τὸ[26]

[a] ver. 10, 11, Matt. 26. 14—16. Luc. 22. 3—6.
[b] Vid. Matt. 26. 14.
[c] Joan. 6. 71.
[d] ver. 12—16, Matt. 26. 17—19. Luc. 22. 7—13.
[e] Ex. 12. 17. Deut. 16. 5.
[f] 1 Cor. 5. 7.
[g] Luc. 2. 7; 22. 11.
[h] Luc. 22. 12. Cf. Act. 1. 13.
[i] ver. 17—21, Matt. 26. 20—24. Luc. 22. 14, 21.
[k] Joan. 13. 18.
[l] Joan. 8. 9 (var. lect.).

[1] ἔσχεν LTTrWHR. [2] —αὕτη T[LTr]WHR. [3] τὸ σῶμά μου LTr (*non marg.*) WH. [4] + δὲ TTr[L]WHR. [5] ἐὰν TWH. [6] —τοῦτο TTr[L]WHR. [7] —ὁ LTTrWH. [8] Ἰσκαριώθ TWH. [9] + ὁ TTrWHR. [10] παραδοῖ αὐτὸν L, *at* αὐτὸν παραδοῖ TTrWH. [11] αὐτὸν εὐκαίρως παραδοῖ LTTrWH. [12] ἂν LTr. [13] + μου TTr[LTr *marg.*]WHR. [14] ἀνάγαιον LTTrWH. [15] [ἕτοιμον] L. [16] + καὶ TTrWH (κἀκεῖ T). [17] —αὐτοῦ T[Tr]WHR. [18] ὁ Ἰησοῦς εἶπεν TTr *marg.* WH. [19] τῶν ἐσθιόντων WH *marg.* [20] —Οἱ δὲ TWHR. [21] κατὰ TTr *marg.* WH. [22] —Καὶ ἄλλος, Μή τι ἐγώ; TTr[Tr *marg.*]WHR. [23] —ἀποκριθεὶς LTTrWHR. [24] —ἐκ T[Tr *marg.*]WH. [25] + τὴν χεῖρα L. [26] + [ἓν] WH.

τρυβλίον. [1] ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς 21 ρξδ ς
γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ[2] ἀνθρώπῳ ἐκείνῳ,
δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν[3]
αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος."

[a] ver. 22—25, Matt. 26. 26—29. Luc. 22. 17, 19, 20, 18. 1 Cor. 11. 23—25.

[a] Καὶ ἐσθιόντων αὐτῶν, λαβὼν **ὁ Ἰησοῦς**[4] ἄρτον 22 ρξε α
εὐλογήσας ἔκλασε, καὶ ἔδωκεν αὐτοῖς, καὶ εἶπε, "Λά-
βετε, **φάγετε**[5]. τοῦτό ἐστι τὸ σῶμά μου." Καὶ λαβὼν 23 ρξϛ β
τὸ[6] ποτήριον εὐχαριστήσας ἔδωκεν αὐτοῖς· καὶ ἔπιον
ἐξ αὐτοῦ πάντες· καὶ εἶπεν αὐτοῖς, "Τοῦτό ἐστι τὸ 24
αἷμά μου, **τὸ**[7] τῆς **καινῆς**[8] διαθήκης, τὸ **περὶ πολλῶν**
ἐκχυνόμενον[9]. ἀμὴν λέγω ὑμῖν, ὅτι οὐκέτι οὐ μὴ πίω 25
ἐκ τοῦ **γεννήματος**[10] τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας
ἐκείνης, ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ
Θεοῦ."

[b] ver. 26—31, Matt. 26. 30—35.

[b] Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν. 26 ρξζ ς
καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, "Ὅτι πάντες σκανδαλ- 27 ρξη δ
ισθήσεσθε **ἐν ἐμοὶ**[11] **ἐν τῇ νυκτὶ ταύτῃ**[12]· ὅτι γέγραπ-
ται, [c] 'Πατάξω τὸν ποιμένα, καὶ **διασκορπισθήσεται τὰ** ρξθ ς
πρόβατα[13].' Ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με, προάξω 28
ὑμᾶς εἰς τὴν Γαλιλαίαν." Ὁ δὲ Πέτρος ἔφη αὐτῷ, 29 ρο α
"**Καὶ εἰ**[14] πάντες σκανδαλισθήσονται, ἀλλ' οὐκ ἐγώ."
Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, "Ἀμὴν λέγω σοι, ὅτι[15] 30
σήμερον **ἐν τῇ νυκτὶ ταύτῃ**[16], πρὶν ἢ [d] δὶς [e] ἀλέκτορα
φωνῆσαι, τρὶς **ἀπαρνήσῃ με**[17]." Ὁ δὲ **ἐκ περισσοῦ**[18] 31 ροα ς
ἔλεγε[19] **μᾶλλον**[20], "Ἐάν **με δέῃ**[21] συναποθανεῖν σοι,
οὐ μή σε **ἀπαρνήσομαι**[22]." Ὡσαύτως **δὲ**[23] καὶ πάντες
ἔλεγον.

[c] Zech. 13. 7. Joan. 16. 32.
[d] Cf. Matt. 26. 34, 75.
[e] ver. 68, 72. cap. 13. 35.

[f] ver. 32—42, Matt. 26. 36—46. Luc. 22. 40—46.

[f] ΚΑΙ ἔρχονται εἰς χωρίον **οὗ τὸ**[24] ὄνομα **Γεθση-** 32 ροβ α
μανῆ[25]· καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ, "Καθίσατε ρογ ς

[1] + ὅτι T[Tr]WHR. [2] —τῷ B. [3] —ἦν T[LTr]WH. [4] —ὁ Ἰησοῦς T[LTr]WHR. [5] —φάγετε LTTrWHR. [6] —τὸ LTTrWHR. [7] —τὸ T[L]WHR. [8] —καινῆς TTrWH.R (*non marg.*). [9] ὑπὲρ πολλῶν ἐκχυν(νν L)όμενον LR, ἐκχυννόμενον ὑπὲρ πολλῶν TTrWH. [10] γενήματος TTrWH. [11] —ἐν ἐμοὶ TTrWHR. [12] —ἐν τῇ νυκτὶ ταύτῃ TTr[L]WHR. [13] διασκορπισθήσονται τὰ πρόβατα L, τὰ πρόβατα διασκορπισθήσονται TTrWH. [14] Εἰ καὶ TTrWHR. [15] + σὺ LTTrWH. [16] ταύτῃ τῇ νυκτὶ L (*non marg.*) TTrWHR. [17] με ἀπαρνήσῃ LTTrWH. [18] ἐκπερισσῶς LTTrWHR. [19] ἐλάλει L (*non marg.*) TTrWHR. [20] —μᾶλλον LTTrWHR. [21] δέῃ με LTrWH. [22] ἀπαρνήσωμαι T. [23] [δὲ] WH. [24] ᾧ L. [25] Γεθσημανεῖ LTr, Γεθσημανεί TWH.

33 ὧδε, ἕως προσεύξωμαι[1].” Καὶ παραλαμβάνει τὸν
Πέτρον καὶ τὸν[2] Ἰάκωβον καὶ Ἰωάννην[3] μεθ᾽ ἑαυτοῦ[4].
ροδ δ 34 Καὶ ἤρξατο [a]ἐκθαμβεῖσθαι καὶ [b]ἀδημονεῖν. καὶ λέγει
αὐτοῖς, “Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου·
ροε α 35 μείνατε ὧδε καὶ γρηγορεῖτε.” Καὶ προελθὼν[5] μικρόν,
ἔπεσεν[6] ἐπὶ τῆς γῆς, καὶ προσηύχετο, ἵνα, εἰ δυνατόν
36 ἐστι, παρέλθῃ ἀπ᾽ αὐτοῦ [c]ἡ ὥρα· καὶ ἔλεγεν, [d]“Ἀβ-
βᾶ[7], ὁ πατήρ, πάντα δυνατά σοι. παρένεγκε τὸ ποτή-
ροϛ α ριον ἀπ᾽ ἐμοῦ τοῦτο[8]. [e]ἀλλ᾽ οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί
ροζ β 37 σύ.” Καὶ ἔρχεται καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας,
καὶ λέγει τῷ Πέτρῳ, “Σίμων, καθεύδεις; οὐκ ἴσχυ-
38 σας μίαν ὥραν γρηγορῆσαι; γρηγορεῖτε καὶ προσ-
ροη δ εὔχεσθε, [f]ἵνα[9] μὴ εἰσέλθητε[10] εἰς πειρασμόν. [g]τὸ μὲν
ροθ ϛ 39 πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.” Καὶ πάλιν
40 ἀπελθὼν προσηύξατο, τὸν αὐτὸν λόγον εἰπών[11]. καὶ
ὑποστρέψας[12] εὗρεν αὐτοὺς πάλιν[13] καθεύδοντας· ἦσαν
γὰρ οἱ ὀφθαλμοὶ αὐτῶν[14] βεβαρημένοι[15], [h]καὶ οὐκ ᾔδεισαν
τί αὐτῷ ἀποκριθῶσι[16].
ρπ δ 41 Καὶ ἔρχεται τὸ τρίτον, καὶ λέγει αὐτοῖς, “Καθεύ-
δετε τὸ[17] λοιπὸν καὶ ἀναπαύεσθε. ἀπέχει· ἦλθεν [c]ἡ
ὥρα· ἰδού, παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς
42 χεῖρας τῶν ἁμαρτωλῶν. ἐγείρεσθε, ἄγωμεν· ἰδού, ὁ
παραδιδούς με ἤγγικε[18].”
ρπα α 43 [i]Καὶ εὐθέως[19], ἔτι αὐτοῦ λαλοῦντος, παραγίνεται[20]
Ἰούδας[21], εἷς ὢν[22] τῶν δώδεκα, καὶ μετ᾽ αὐτοῦ ὄχλος
πολὺς[23] μετὰ μαχαιρῶν καὶ ξύλων, παρὰ τῶν ἀρχιε-
ρέων καὶ τῶν γραμματέων καὶ τῶν[24] πρεσβυτέρων.
ρπβ β 44 δεδώκει δὲ ὁ παραδιδοὺς[25] αὐτὸν [26]σύσσημον αὐτοῖς,
λέγων, “Ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε
45 αὐτόν, καὶ ἀπαγάγετε[27] ἀσφαλῶς.” Καὶ ἐλθών, εὐ-

[a] Vid. cap. 9. 15. [b] Phil. 2. 26.
[c] ver. 41. Joan. 12. 27. Cf. Luc. 22. 53. [d] Rom. 8. 15. Gal. 4. 6. [e] Joan. 6. 38.
[f] Vid. Matt. 6. 13. [g] Gal. 5. 17.
[h] Cf. cap. 9. 6.
[i] ver. 43—50, Matt. 26. 47—56. Luc. 22. 47—53. Joan. 18. 3—11.

[1] προσεύξομαι Tr *marg.* [2] —τὸν LTTrWH *marg.* [3] τὸν Ἰωάνην WH. [4] μετ᾽ αὐτοῦ LTTrWH. [5] προσελθὼν TrWH *marg.* [6] ἔπιπτεν TTr *marg.* WHR. [7] Ἀββά WH. [8] τοῦτο ἀπ᾽ ἐμοῦ LTTrWH. [9] γρηγορεῖτε, καὶ προσεύχεσθε ἵνα R *marg.* [10] ἔλθητε TWH. [11] [τὸν αὐτὸν λόγον εἰπών] WH. [12] πάλιν ἐλθὼν LWHR, *at* ἐλθὼν Tr, [πάλιν] ἐλθὼν Tr *marg.* [13] —πάλιν LTrWHR. [14] αὐτῶν οἱ ὀφθαλμοὶ TWH. [15] καταβαρυνόμενοι LTTrWHR. [16] ἀποκριθῶσιν αὐτῷ LTTrWH. [17] —τὸ LTr[WH]. [18] ἤγγισεν T. [19] εὐθὺς LTTrWH. [20] + ὁ LTr[WH]. [21] + ὁ Ἰσκαριώτης LT[Tr]. [22] —ὢν LTTrWHR. [23] —πολὺς TTr [LTr *marg.*]WHR. [24] —τῶν T. [25] παραδοὺς L *marg.* [26] σύν- T. [27] ἀπάγετε LTTrWH.

εὐθέως[1] προσελθὼν αὐτῷ λέγει, "Ῥαββί, ῥαββί[2]·" καὶ
[a]κατεφίλησεν αὐτόν. Οἱ δὲ ἐπέβαλον[3] ἐπ' αὐτὸν τὰς 46
χεῖρας αὐτῶν[4], καὶ ἐκράτησαν αὐτόν.
Εἷς δέ τις[5] τῶν παρεστηκότων σπασάμενος τὴν 47 ρπγ
μάχαιραν ἔπαισε τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ α
ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον[6]. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς 48 ρπδ
εἶπεν αὐτοῖς, "Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε[7] μετὰ μαχαι- α
ρῶν καὶ ξύλων συλλαβεῖν με; καθ' ἡμέραν ἤμην 49
πρὸς ὑμᾶς [b]ἐν τῷ ἱερῷ διδάσκων, καὶ οὐκ ἐκρατήσατέ[8]
με· ἀλλ' ἵνα πληρωθῶσιν αἱ γραφαί." [c]Καὶ ἀφέν- 50 ρπε ς
τες αὐτὸν πάντες ἔφυγον[9]. Καὶ εἷς τις νεανίσκος[10] 51 ρπς
ἠκολούθει[11] αὐτῷ, περιβεβλημένος σινδόνα ἐπὶ γυμ- ι
νοῦ, καὶ κρατοῦσιν αὐτὸν οἱ νεανίσκοι[12]· ὁ δὲ κατα- 52
λιπὼν τὴν σινδόνα γυμνὸς ἔφυγεν ἀπ' αὐτῶν[13].
[d]ΚΑΙ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν ἀρχιερέα· 53 ρπζ
καὶ συνέρχονται αὐτῷ[14] πάντες οἱ ἀρχιερεῖς καὶ οἱ α
πρεσβύτεροι καὶ οἱ γραμματεῖς[15]. Καὶ ὁ Πέτρος ἀπὸ 54 ρπη
μακρόθεν ἠκολούθησεν αὐτῷ [e]ἕως ἔσω εἰς [f]τὴν αὐλὴν δ
τοῦ ἀρχιερέως· καὶ ἦν [16]συγκαθήμενος μετὰ τῶν ὑπηρ-
ετῶν, καὶ [g]θερμαινόμενος πρὸς τὸ[17] φῶς. Οἱ δὲ 55 ρπθ
ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον ἐζήτουν κατὰ τοῦ β
Ἰησοῦ μαρτυρίαν, εἰς τὸ θανατῶσαι αὐτόν· καὶ οὐχ
εὕρισκον[18]. πολλοὶ γὰρ ἐψευδομαρτύρουν κατ' αὐτοῦ, 56
καὶ ἴσαι[19] αἱ μαρτυρίαι οὐκ ἦσαν. καί τινες ἀνα- 57 ρϟ
στάντες ἐψευδομαρτύρουν κατ' αὐτοῦ, λέγοντες, "Ὅτι 58 ς
ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέγοντος, [h]Ὅτι ἐγὼ καταλύσω
τὸν ναὸν τοῦτον τὸν [i]χειροποίητον, καὶ διὰ τριῶν
ἡμερῶν ἄλλον [k]ἀχειροποίητον οἰκοδομήσω[20]." Καὶ 59
οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν. Καὶ ἀναστὰς 60
ὁ ἀρχιερεὺς εἰς τὸ[21] μέσον ἐπηρώτησε τὸν Ἰησοῦν,
λέγων, "Οὐκ ἀποκρίνῃ οὐδέν;[22] τί[23] οὗτοί σου κατα-

[a] 2 Sam. 20. 9. Vid. Matt. 26. 49.
[b] Vid. cap. 10. 1.
[c] Job 19. 13. Ps. 88. 8, 18.
[d] Luc. 22. 54. ver. 53—65, Matt. 26. 57—68. Joan. 18. 12, 13, 19—24.
[e] Cf. ver. 68.
[f] ver. 66. Vid. Matt. 26. 3.
[g] ver. 67. Joan. 18. 18.
[h] cap. 15. 29.
[i] Act. 7. 48; 17. 24. Heb. 9. 11, 24.
[k] 2 Cor. 5. 1.

[1] εὐθὺς LTTrWH. [2] Ῥαββί semel LTrR, Ῥαββεί semel TWH. [3] ἐπέβαλαν TWH. [4] τὰς χεῖρας ἐπ' αὐτὸν L, τὰς χεῖρας αὐτῷ TTrWH. [5] —τις LTr[WH]. [6] ὠτάριον LTTrWH. [7] ἐξ-ήλθατε LTTrWH. [8] ἐκρατεῖτέ Tr marg. WH marg. [9] ἔφυγον πάντες TTrWH. [10] νεανίσκος τις LTrWHR. [11] συνηκολούθει LTTrWHR. [12] —οἱ νεανίσκοι LTTrWHR. [13] —ἀπ' αὐτῶν TTr[LTr marg.]WHR. [14] —αὐτῷ T[Tr marg.]WH (non marg.). [15] γραμματεῖς καὶ οἱ πρεσβύτεροι L. [16] συν- TWH. [17] —τὸ E. [18] ηὕρισκον LTrWH. [19] ἶσαι SETr. [20] ἀναστήσω ἀχειροποίητον WH marg. [21] —τὸ LTTrWH. [22] — ; LT. [23] + ὅτι WH marg.

61 μαρτυροῦσιν;" [a]Ὁ δὲ ἐσιώπα, καὶ **οὐδὲν ἀπεκρίνατο**[1].
[b]Πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα αὐτόν, καὶ λέγει αὐτῷ,
62 "Σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ εὐλογητοῦ;" Ὁ δὲ
ρϟα α Ἰησοῦς εἶπεν, "Ἐγώ εἰμι. καὶ [c]ὄψεσθε τὸν υἱὸν τοῦ
ἀνθρώπου **καθήμενον ἐκ δεξιῶν**[2] τῆς δυνάμεως, καὶ
ρϟβ ϛ 63 ἐρχόμενον μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ." Ὁ δὲ
ρϟγ β ἀρχιερεὺς **διαρρήξας**[3] τοὺς χιτῶνας αὐτοῦ λέγει, "Τί
64 ἔτι χρείαν ἔχομεν μαρτύρων; ἠκούσατε **τῆς βλασ-
φημίας**[4]· τί ὑμῖν φαίνεται;" Οἱ δὲ πάντες κατέκρι-
ρϟδ α 65 ναν αὐτὸν **εἶναι** [d]**ἔνοχον**[5] θανάτου. [e]Καὶ ἤρξαντό τινες
[f]ἐμπτύειν αὐτῷ, καὶ [g]περικαλύπτειν **τὸ πρόσωπον αὐ-
τοῦ**[6], καὶ [h]κολαφίζειν[7] αὐτόν, [e]καὶ λέγειν αὐτῷ, "Προ-
φήτευσον·" καὶ οἱ ὑπηρέται ῥαπίσμασιν αὐτὸν **ἔβαλ-
λον**[8].

ΜΖʹ. 66 [i]**Καὶ ὄντος τοῦ Πέτρου ἐν** [k]**τῇ αὐλῇ κάτω**[9], ἔρχεται
ρϟε α 67 μία τῶν παιδισκῶν τοῦ ἀρχιερέως, καὶ ἰδοῦσα τὸν
Πέτρον θερμαινόμενον, ἐμβλέψασα αὐτῷ λέγει, "Καὶ
68 σὺ μετὰ τοῦ Ναζαρηνοῦ Ἰησοῦ **ἦσθα**[10]." Ὁ δὲ
ἠρνήσατο, λέγων, "**Οὐκ**[11] οἶδα, **οὐδὲ**[12] ἐπίσταμαι τί
ρϟϛ α **σὺ**[13] λέγεις[14]." Καὶ [l]ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον·
69 **καὶ** [m]**ἀλέκτωρ ἐφώνησε**[15]. Καὶ ἡ [n]παιδίσκη ἰδοῦσα αὐτὸν
πάλιν ἤρξατο λέγειν[16] τοῖς **παρεστηκόσιν**[17], "Ὅτι
70 οὗτος ἐξ αὐτῶν ἐστιν." Ὁ δὲ πάλιν ἠρνεῖτο. Καὶ
μετὰ μικρὸν πάλιν οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ,
"Ἀληθῶς ἐξ αὐτῶν εἶ· καὶ γὰρ Γαλιλαῖος εἶ, **καὶ ἡ
71 λαλιά σου ὁμοιάζει**[18]." Ὁ δὲ ἤρξατο ἀναθεματίζειν
καὶ **ὀμνύειν**[19], "Ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον,
ρϟζ β 72 ὃν λέγετε." Καὶ[20] [m]ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησε.
Καὶ ἀνεμνήσθη ὁ Πέτρος **τοῦ ῥήματος οὗ**[21] εἶπεν

[a] Cf. Act. 8. 32.
[b] ver. 61—63. Luc. 22. 67—71.
[c] cap. 13. 26.
[d] Vid. Matt. 5. 21.
[e] Luc. 22. 63, 64.
[f] Vid. cap. 10. 34.
[g] Cf. Esther 7. 8.
[h] Job 16. 10.
[i] ver. 66—72. Matt. 26. 69—75. Luc. 22. 56—62. Joan. 18. 16, 18, 25—27.
[k] Vid. ver. 54.
[l] Cf. ver. 54.
[m] ver. 30, 72. Joan. 13. 38.
[n] Act. 12. 13.

[1] οὐκ ἀπεκρίνατο οὐδέν TTrWHR. [2] ἐκ δεξιῶν καθήμενον L (*non marg.*) TTrWH. [3] διαρήξας WH. [4] τὴν βλασφημίαν L (; WH). [5] ἔνοχον εἶναι TTrWH. [6] αὐτοῦ τὸ πρόσωπον TTrWH. [7] κολαφίζεν *errore* T. [8] ἔλαβον LTTrWHR. [9] κάτω ἐν τῇ αὐλῇ TTrWHR. [10] ἦσθα (, R) τοῦ Ἰησοῦ LTTrWHR. [11] οὔτε L (*non marg.*) TTrWHR. [12] οὔτε L (*non marg.*) TTrWHR. [13] σὺ τί LTTrWHR. [14] ἐπίσταμαι· σὺ τί λέγεις; WH *marg.* R *marg.* [15] καὶ ἀλέκτωρ ἐφώνησεν [L] *om.* WH.R *marg.* [16] ἤρξατο πάλιν λέγειν TWH *text.* R, *at* εἶπεν *pro* πάλ. ἤρξ. λέγ. Tr *marg.* WH *marg.* [17] παρεστῶσιν TTrWH. [18] —καὶ ἡ λαλιά σου ὁμοιάζει LTTrWHR. [19] ὀμνύναι LTTrWH. [20] + εὐθὺς LTTr[Tr *marg.*]WHR. [21] τὸ ῥῆμα ὡς LTTrWHR.

αὐτῷ ὁ Ἰησοῦς, "Ὅτι πρὶν ἀλέκτορα **φωνῆσαι δὶς**[1],
ἀπαρνήσῃ με τρίς[2]." καὶ ἐπιβαλὼν ἔκλαιε.

[a] Matt. 27. 1. [b] cap. 3. 6. [c] Luc. 22. 66. [d] Matt. 27. 2. [e] Luc. 23. 1. Joan. 18. 28. [f] ver. 2—5, Matt. 27. 11—14. Luc. 23. 2, 3. Joan. 18. 29—38.

[a]ΚΑΙ **εὐθέως**[3] **ἐπὶ τὸ**[4] πρωῒ [b]συμβούλιον **ποιήσαντες**[5] 15 ρλη β
[c]οἱ ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων καὶ[6] γραμματέων,
καὶ ὅλον τὸ συνέδριον, [d]δήσαντες τὸν Ἰησοῦν ἀπή- ρλθ α
νεγκαν καὶ [e]παρέδωκαν **τῷ**[7] **Πιλάτῳ**[8]. [f]καὶ ἐπηρώτησεν 2 σ
αὐτὸν ὁ **Πιλάτος**[9], "Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;" α
Ὁ δὲ ἀποκριθεὶς **εἶπεν αὐτῷ**[10], "Σὺ λέγεις.[11]" Καὶ 3 σα
κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά· ὁ δὲ **Πιλάτος**[9] 4 δ
πάλιν **ἐπηρώτησεν**[12] αὐτόν, **λέγων**[13], "Οὐκ ἀποκρίνῃ
οὐδέν; ἴδε, πόσα σου **καταμαρτυροῦσιν**[14]." Ὁ δὲ 5
Ἰησοῦς οὐκέτι οὐδὲν ἀπεκρίθη, ὥστε θαυμάζειν τὸν
Πιλάτον[15].

[g] ver. 6—15, Matt. 27. 15—26. Luc. 23. 18—25. Joan. 18. 39—19. 16.

[g]Κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον, **ὅν-** 6 σβ
περ ᾐτοῦντο[16]. ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ 7 β
τῶν **συστασιαστῶν**[17] δεδεμένος, οἵτινες ἐν τῇ στάσει σγ
φόνον πεποιήκεισαν. καὶ **ἀναβοήσας**[18] ὁ ὄχλος ἤρξατο 8 δ
αἰτεῖσθαι, καθὼς **ἀεὶ**[19] ἐποίει αὐτοῖς. ὁ δὲ **Πιλάτος**[9] 9
ἀπεκρίθη αὐτοῖς, λέγων, "Θέλετε ἀπολύσω ὑμῖν τὸν
βασιλέα τῶν Ἰουδαίων;" Ἐγίνωσκε γὰρ ὅτι διὰ 10
φθόνον παραδεδώκεισαν αὐτὸν **οἱ ἀρχιερεῖς**[20]. οἱ δὲ 11 σδ
[h] Act. 3. 14. ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον, [h]ἵνα μᾶλλον τὸν Βαρ- α
αββᾶν ἀπολύσῃ αὐτοῖς· ὁ δὲ **Πιλάτος**[9] **ἀποκριθεὶς** 12 σε
πάλιν[21] **εἶπεν**[22] αὐτοῖς, "Τί οὖν **θέλετε**[23] ποιήσω **ὃν λέ-** α
γετε[24, 25] βασιλέα τῶν Ἰουδαίων;" Οἱ δὲ πάλιν ἔκρα- 13
ξαν[26], "Σταύρωσον αὐτόν." Ὁ δὲ **Πιλάτος**[9] ἔλεγεν 14
αὐτοῖς, "Τί γὰρ **κακὸν ἐποίησεν**[27];" Οἱ δὲ **περισσο-**
τέρως[28] **ἔκραξαν**[29], "Σταύρωσον αὐτόν." Ὁ δὲ Πιλά- 15 σς
τος[9] βουλόμενος **τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι**[30], ἀπέ- α
λυσεν αὐτοῖς τὸν Βαραββᾶν· καὶ παρέδωκε τὸν
[i] Joan. 19. 1. Ἰησοῦν, [i]φραγελλώσας, ἵνα σταυρωθῇ.

[1] δὶς φωνῆσαι LTr (*non marg.*) WH. [2] τρίς μὲ ἀπαρνήσῃ LTTrWHR. [3] εὐθὺς TTrWH. [4] —ἐπὶ τὸ LTTrWHR. [5] ἑτοιμάσαντες TWH *marg.* [6] + τῶν T. [7] —τῷ LTTrWH. [8] Πειλάτῳ TWH. [9] Πειλᾶτος TWH. [10] αὐτῷ λέγει TTrWHR. [11] λέγεις; WH *marg.* [12] ἐπηρώτα L *marg* TTr (*non marg.*) WH. [13] —λέγων T[WH]. [14] κατηγοροῦσιν LTTrWHR. [15] Πειλᾶτον TWH. [16] ὃν παρῃτοῦντο TTr *marg.* WHR. [17] στασιαστῶν LTTrWHR. [18] ἀναβὰς LTTr (*non marg.*) WHR. [19] —ἀεὶ TWHR. [20] [οἱ ἀρχιερεῖς] WH. [21] πάλιν ἀποκριθεὶς LTTrWHR. [22] ἔλεγεν TTrWH. [23] —θέλετε [Tr]WHR. [24] —ὃν λέγετε LTr[Tr *marg.*], [ὃν] λέγετε WH. [25] + τὸν LTTrWHR. [26] + λέγοντες L. [27] ἐποίησεν κακόν TTr (*non marg.*) WH. [28] περισσῶς LTTrWHR. [29] ἔκραζον LTr *marg.* [30] ποιῆσαι τὸ ἱκανὸν τῷ ὄχλῳ T.

σζ 16 [a]Οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν ἔσω τῆς [b]αὐλῆς, [a] ver. 16—21, Matt. 27. 27—32.
δ ὅ ἐστι πραιτώριον, καὶ [1]συγκαλοῦσιν ὅλην τὴν σπεῖ-
17 ραν, καὶ ἐνδύουσιν[2] αὐτὸν πορφύραν, καὶ περιτι- [b] Vid. Matt. 26. 3.
18 θέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον, καὶ
ἤρξαντο ἀσπάζεσθαι αὐτόν, "Χαῖρε, βασιλεῦ[3] τῶν
19 Ἰουδαίων·" καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ,
καὶ [c]ἐνέπτυον αὐτῷ, καὶ τιθέντες τὰ γόνατα προσεκύ- [c] Vid. cap. 10. 34.
ση 20 νουν αὐτῷ. Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν
ς τὴν πορφύραν, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ
σθ ἴδια[4]· καὶ ἐξάγουσιν[5] αὐτόν, ἵνα σταυρώσωσιν[6] αὐτόν[7].
α 21 καὶ [d]ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον, [d] Vid. Matt. 5. 41.
ἐρχόμενον ἀπ'[8] ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ
[e]Ῥούφου, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. [e] Rom. 16. 13?
σι 22 [f]ΚΑΙ φέρουσιν αὐτὸν ἐπὶ [g]Γολγοθᾶ[9] τόπον, ὅ ἐστι [f] ver. 22—37, Matt. 27. 33—50.
α σια 23 μεθερμηνευόμενον[10], [gh]Κρανίου τόπος[11]. Καὶ ἐδίδουν αὐτῷ [g] Joan. 19. 17.
δ 24 πιεῖν[12] [i]ἐσμυρνισμένον οἶνον· ὁ[13] δὲ οὐκ ἔλαβε. Καὶ [h] Luc. 23. 33.
σιβ σταυρώσαντες αὐτόν[14], διεμέριζον[15] τὰ ἱμάτια αὐτοῦ,
α σιγ 25 βάλλοντες κλῆρον ἐπ' αὐτά, τίς τί ἄρῃ. [k]ἦν δὲ ὥρα [i] Ex. 30. 23. Esther 2. 12. Ps. 45. 8. Prov. 7. 17. Cant. 1. 13. Matt. 2. 11. Joan. 19. 39.
ι σιδ 26 τρίτη, καὶ ἐσταύρωσαν[16] αὐτόν. Καὶ ἦν ἡ ἐπιγραφὴ
α τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη, "Ὁ βασιλεὺς τῶν
σιε 27 Ἰουδαίων." Καὶ σὺν αὐτῷ σταυροῦσι δύο λῃστάς,
α σις 28 ἕνα ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. **καὶ ἐπλη-**
η **ρώθη ἡ γραφὴ ἡ λέγουσα, 'Καὶ μετὰ ἀνόμων ἐλογίσθη.'**[17] [k] Cf. Joan. 19. 14.
σιζ 29 Καὶ οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτόν, κινοῦν-
ς τες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες, "[l]Οὐά[18], ὁ κατα- [l] cap. 14. 58.
λύων τὸν ναόν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν[19],
30 σῶσον σεαυτόν, καὶ κατάβα[20] ἀπὸ τοῦ σταυροῦ."
σιη 31 Ὁμοίως δὲ[21] καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλή-
β λους μετὰ τῶν γραμματέων ἔλεγον, "Ἄλλους ἔσωσεν,
32 ἑαυτὸν οὐ δύναται σῶσαι.[22] ὁ Χριστὸς ὁ βασιλεὺς
τοῦ[23] Ἰσραὴλ[24] καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα

[1] συν- TWH. [2] ἐνδιδύσκουσιν LTTrWH. [3] ὁ βασιλεὺς Tr *marg.* [4] αὐτοῦ LWHR, *at* τὰ ἴδια ἱμάτια αὐτοῦ T. [5] ἄγουσιν L. [6] σταυρώσουσιν LTTr. [7] —αὐτόν T. [8] ἀπὸ LTr. [9] τὸν Γολγοθᾶν T, τὸν Γολγοθὰν WH, [τὸν] Γολγοθὰ Tr. [10] μεθερμηνευόμενος Tr *marg.* WH (*non marg.*). [11] Τόπος WH. [12] —πιεῖν TTrWHR. [13] ὃς TTr (*non marg.*) WH. [14] σταυροῦσιν αὐτόν, καὶ TTrWHR. [15] διαμερίζονται LTTrWHR. [16] ἐφύλασσον WH *marg.* [17] *v.* 28 *deest in* TWH.R (*non marg.*), *uncinis includit* Tr. [18] Οὐᾶ T. [19] οἰκοδομῶν (+ἐν [WH]R) τρισὶν ἡμέραις LTTrWHR. [20] καταβὰς LTTrWHR. [21] —δὲ LTTrWHR. [22] σῶσαι; R *marg.* [23] —τοῦ LTTr[Tr *marg.*] WH. [24] . L (Ἱσραὴλ S).

ἴδωμεν καὶ πιστεύσωμεν[1].” Καὶ οἱ συνεσταυρωμέ- στιθ β
νοι[2] αὐτῷ ὠνείδιζον αὐτόν. Γενομένης δὲ[3] ὥρας ἕκτης, 33 σκ β
σκότος ἐγένετο ἐφ᾽ ὅλην τὴν γῆν, ἕως ὥρας ἐννάτης[4].
καὶ τῇ ὥρᾳ τῇ ἐννάτῃ[5] ἐβόησεν ὁ Ἰησοῦς φωνῇ με- 34 σκα ϛ
γάλῃ, λέγων[6], [a]“Ἐλωΐ, Ἐλωΐ[7], λαμμᾶ[8] σαβαχθανί[9];”
ὅ ἐστι μεθερμηνευόμενον, “Ὁ Θεός μου, ὁ Θεός
μου[10], εἰς τί με ἐγκατέλιπες[11];” Καί τινες τῶν παρεστη- 35
κότων[12] ἀκούσαντες ἔλεγον, “Ἰδού[13], Ἠλίαν[14] φωνεῖ.”
[b]Δραμὼν δὲ εἷς[15], καὶ[16] γεμίσας σπόγγον ὄξους, περι- 36 σκβ β
θείς τε[17] καλάμῳ, ἐπότιζεν αὐτόν, λέγων, “Ἄφετε,
ἴδωμεν εἰ ἔρχεται Ἠλίας[18] καθελεῖν αὐτόν.”
[c]Ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην ἐξέπνευσε. 37 σκγ α
καὶ [d]τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπὸ[19] 38 σκδ β
ἄνωθεν ἕως κάτω. [e]Ἰδὼν δὲ ὁ [m]κεντυρίων ὁ παρεστη- 39 σκε β
κὼς ἐξ ἐναντίας αὐτοῦ, ὅτι οὕτω[20] κράξας[21] ἐξέπνευσεν,
εἶπεν, “Ἀληθῶς ὁ ἄνθρωπος οὗτος[22] υἱὸς ἦν Θεοῦ[23].”
[f]Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι, ἐν 40 σκϛ ϛ
αἷς ἦν[24] καὶ Μαρία[25] ἡ Μαγδαληνή, καὶ Μαρία ἡ[26]
τοῦ[27] Ἰακώβου [g]τοῦ μικροῦ καὶ Ἰωσῆ[28] μήτηρ, καὶ
[h]Σαλώμη, αἳ καί[29], ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ, ἠκολούθουν 41
αὐτῷ, καὶ διηκόνουν αὐτῷ, καὶ ἄλλαι πολλαὶ αἱ
συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα[30].
[i]Καὶ ἤδη ὀψίας γενομένης, ἐπεὶ ἦν παρασκευή, ὅ ἐστι 42 ΜΗ΄.
προσάββατον[31], ἦλθεν[32] Ἰωσὴφ ὁ[33] ἀπὸ Ἀριμαθαίας[34], 43 σκζ α
[k]εὐσχήμων βουλευτής, ὃς καὶ αὐτὸς ἦν [l]προσδεχόμενος
τὴν βασιλείαν τοῦ Θεοῦ· τολμήσας εἰσῆλθε πρὸς[35]
Πιλάτον[36], καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. ὁ δὲ 44
Πιλάτος ἐθαύμασεν[37] εἰ ἤδη τέθνηκε· καὶ προσκαλε-
σάμενος τὸν [m]κεντυρίωνα, ἐπηρώτησεν αὐτὸν εἰ πάλαι[38]

[a] Ps. 22. 1.
[b] Luc. 23. 36. Joan. 19. 29.
[c] Luc. 23. 46. Joan. 19. 30.
[d] Matt. 27. 51. Luc. 23. 45.
[e] Matt. 27. 54. Luc. 23. 47.
[f] ver. 40, 41, Matt. 27. 55, 56. Luc. 23. 49. Cf. Joan. 19. 25.
[g] Cf. Luc. 19. 3.
[h] cap. 16. 1. Cf. Matt. 27. 56.
[i] ver. 42—47, Matt. 27. 57—61. Luc. 23. 50—56. Joan. 19. 38—42.
[k] Act. 13. 50; 17. 12.
[l] Luc. 2. 25, 38.
[m] ver. 39.

1 + αὐτῷ L. 2 + σὺν LTWH. 3 καὶ γενομένης LTTrWHR. 4 ἐνάτης LTTrWH. 5 τῇ ἐνάτῃ ὥρᾳ LTTr (*non marg.*) WH. 6 —λέγων TTrWHR. 7 Ἐλωῒ ἐλωῒ LT, Ἐλωί ἐλωί WH. 8 λεμὰ LT, λαμὰ TrWHR. 9 σαβαχθανεί TTrWH. 10 [ὁ θεός μου] WH. 11 ἐγκατέλιπές με L (*non marg.*) TTrWH *text.*, ὠνείδισάς με WH *marg.* 12 παρεστώτων T, *at* ἑστηκότων WH *marg.* 13 Ἴδε TTrWH. 14 Ἡλείαν T, Ἠλείαν WH. 15 τις TTrWHR. 16 —καὶ L[Tr]WHR. 17 —τε LTTrWHR. 18 Ἡλείας T, Ἠλείας WH. 19 ἀπ᾽ LTrWH. 20 οὕτως BEWHR. 21 —κράξας T[Tr]WH.R (*non marg.*). 22 οὗτος ὁ ἄνθρωπος LTTrWH. 23 Θεοῦ ἦν Tr *marg.* WH. 24 —ἦν T[Tr]WHR, *at* [ἦν καὶ] Tr *marg.* 25 Μαριὰμ WH. 26 [ἡ] Tr. 27 —τοῦ LTTrWH. 28 Ἰωσῆτος LTTrWH. 29 —καί LT[Tr]WHR, *at* [αἳ] καὶ Tr *marg.* 30 Ἱεροσόλυμα WH. 31 πρὸς σάββατον LTr, *at* πρὸ σάβ. (*sic*) Tr *marg.* 32 ἐλθὼν LTTrWHR. 33 —ὁ WH (*non marg.*). 34 Ἁριμαθαίας WH. 35 + τὸν TTrWH. 36 Πειλᾶτον TWH. 37 Πειλᾶτος ἐθαύμαζεν T (Πειλᾶτος *tantum* WH). 38 ἤδη LTr (*non marg.*) WH (*non marg.*) R *marg.*

45 ἀπέθανε· καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος, ἐδωρήσατο
σκη α 46 τὸ **σῶμα**[1] τῷ Ἰωσήφ. καὶ ἀγοράσας σινδόνα, **καὶ**[2]
καθελὼν αὐτόν, ἐνείλησε τῇ σινδόνι, καὶ **κατέθηκεν**[3]
αὐτὸν ἐν **μνημείῳ**[4], ὃ ἦν λελατομημένον ἐκ πέτρας·
καὶ προσεκύλισε [e]λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου.
σκθ ϛ 47 ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ [a]Μαρία **Ἰωσῆ**[5] ἐθεώ-
ρουν ποῦ **τίθεται**[6].

σλ η 16 [b]ΚΑΙ διαγενομένου τοῦ σαββάτου, [7]Μαρία ἡ Μαγ-
δαληνὴ καὶ [a]Μαρία ἡ **τοῦ**[8] Ἰακώβου καὶ [c]Σαλώμη
[d]ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν.
σλα α 2 καὶ λίαν πρωῒ **τῆς μιᾶς**[9] σαββάτων ἔρχονται ἐπὶ τὸ
3 **μνημεῖον**[10], **ἀνατείλαντος**[11] τοῦ ἡλίου. καὶ ἔλεγον πρὸς
ἑαυτάς, "Τίς ἀποκυλίσει ἡμῖν [e]τὸν λίθον **ἐκ**[12] τῆς θύρας
4 τοῦ μνημείου;" Καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι
5 **ἀποκεκύλισται**[13] [e]ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα. καὶ
[f]**εἰσελθοῦσαι**[14] εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθή-
μενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον [g]στολὴν λευκήν·
σλβ β 6 καὶ ἐξεθαμβήθησαν. ὁ δὲ λέγει αὐταῖς, "Μὴ [h]ἐκθαμ-
βεῖσθε. Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυ-
ρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε, ὁ τόπος ὅπου
7 ἔθηκαν αὐτόν. **ἀλλ'**[15] ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς
αὐτοῦ καὶ τῷ Πέτρῳ, ὅτι [i]προάγει ὑμᾶς εἰς τὴν Γαλι-
σλγ β 8 λαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν." Καὶ
ἐξελθοῦσαι **ταχὺ**[16] ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε **δὲ**[17]
αὐτὰς τρόμος καὶ ἔκστασις· καὶ οὐδενὶ **οὐδὲν**[18] εἶπον,
ἐφοβοῦντο γάρ[19].

9 [20]Ἀναστὰς δὲ πρωῒ πρώτῃ σαββάτου [k]ἐφάνη πρῶ-
τον Μαρίᾳ τῇ Μαγδαληνῇ, [l]**ἀφ'**[21] ἧς ἐκβεβλήκει ἑπτὰ
10 δαιμόνια. [m]ἐκείνη[22] πορευθεῖσα ἀπήγγειλε τοῖς μετ'
σλδ ι 11 αὐτοῦ γενομένοις, [n]πενθοῦσι καὶ κλαίουσι. κἀκεῖνοι
ἀκούσαντες ὅτι ζῇ καὶ ἐθεάθη ὑπ' αὐτῆς [o]ἠπίστησαν.
σλε η 12 Μετὰ δὲ ταῦτα [p]δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν [q]ἐφανε-

[a] cap. 16. 1.
[b] ver. 1—8, Matt. 28. 1—8. Luc. 24. 1—10. Cf. Joan. 20. 1—8.
[c] cap. 15. 40.
[d] Luc. 23. 56. Joan. 19. 40.
[e] Matt. 27. 60. cap. 15. 46.
[f] Cf. Joan. 20. 11, 12.
[g] Rev. 6. 11; 7. 9.
[h] Vid. cap. 9. 15.
[i] Matt. 26. 32; 28. 7, 10, 16. cap. 14. 28.
[k] Joan. 20. 14. Cf. Matt. 28. 9.
[l] Luc. 8. 2.
[m] Joan. 20. 18.
[n] Joan. 16. 20.
[o] Luc. 24. 11.
[p] Luc. 24. 13.
[q] ver. 14. Joan. 21. 1, 14.

1 πτῶμα LTTrWHR. 2 —καὶ LTTrWHR. 3 ἔθηκεν LTrWHR. 4 μνήματι TWH. 5 ἡ Ἰωσῆτος LTTrWH (ἡ *habet* R). 6 τέθειται LTTrWHR. 7 + [ἡ] WH. 8 —τοῦ T[TrWH]. 9 μιᾷ τῶν LTr, τῇ μιᾷ τῶν TR, [τῇ] μιᾷ [τῶν] Tr *marg.*, [τῇ] μιᾷ τῶν WH. 10 μνῆμα T. 11 ἀνατέλλοντος WH *marg.* 12 ἀπὸ LTr (*non marg.*). 13 ἀνακεκύλισται TTrWHR. 14 ἐλθοῦσαι Tr *marg.* WH *marg.* 15 ἀλλὰ LTTrWH. 16 —ταχὺ LTTrWHR. 17 γὰρ LTTrWHR. 18 —οὐδὲν L, *errore credo.* 19 + κατὰ Μάρκον Tr, + * * * * * * WH. 20 *vv.* 9—20 *non Marci esse censent* TR *marg.* 21 παρ' LTr (*non marg.*) WHR. 22 + δὲ LR.

ρώθη ἐν [a] ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. κἀκεῖ- 13
νοι [b] ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκεί-
νοις ἐπίστευσαν. Ὕστερον[1] [c] ἀνακειμένοις αὐτοῖς 14 σλϛ
τοῖς ἕνδεκα [d] ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν [η S.]
αὐτῶν καὶ [e] σκληροκαρδίαν, [f] ὅτι τοῖς θεασαμένοις αὐτὸν
ἐγηγερμένον[2] οὐκ ἐπίστευσαν. Καὶ εἶπεν αὐτοῖς, 15
[g] "Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, [h] κηρύξατε τὸ
εὐαγγέλιον [i] πάσῃ τῇ κτίσει. [k] ὁ πιστεύσας καὶ [l] βαπτι- 16
σθεὶς [m] σωθήσεται· ὁ δὲ [n] ἀπιστήσας κατακριθήσεται.
σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα [o] παρακολουθήσει[3]· 17
[p] ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· [q] γλώσσαις
λαλήσουσι καιναῖς[4]· [r][5] ὄφεις ἀροῦσι· κἂν θανάσιμόν 18
τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει[6]· [s] ἐπὶ [t] ἀρρώστους
χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν."
Ὁ μὲν οὖν[7] Κύριος[8], [u] μετὰ τὸ λαλῆσαι αὐτοῖς, 19
[x] ἀνελήφθη[9] εἰς τὸν οὐρανόν, καὶ [y] ἐκάθισεν ἐκ δεξιῶν
τοῦ Θεοῦ· ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ, 20
[z] τοῦ Κυρίου συνεργοῦντος, καὶ [aa] τὸν λόγον βεβαιοῦν-
τος [z][bb] διὰ τῶν ἐπακολουθούντων σημείων. Ἀμήν[10].[11]

ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ
ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ[12].

ἘΠΕΙΔΗΠΕΡ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι 1 α
διήγησιν περὶ τῶν [cc] πεπληροφορημένων ἐν ἡμῖν πραγ- τ
μάτων, καθὼς παρέδοσαν ἡμῖν οἱ [dd] ἀπ' ἀρχῆς [ee] αὐτόπται 2
καὶ [ff] ὑπηρέται γενόμενοι [aa] τοῦ λόγου, [gg] ἔδοξε κἀμοί, 3
[o] παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς, [hh] καθεξῆς

[1] + δὲ LTr[Tr *marg*. WH]R. [2] + ἐκ νεκρῶν L[Tr *marg*. WH]. [3] παρακολουθήσει ταῦτα L, ἀκολουθήσει ταῦτα TrWH (*non marg*.). [4] —καιναῖς Tr[Tr *marg*.]WH (*non marg*.) R *marg*. [5] + καὶ ἐν ταῖς χερσὶν Tr[Tr *marg*. WH]. [6] βλάψῃ LTTrWHR. [7] [οὖν] Tr *marg*. [8] + Ἰησοῦς LTr[Tr *marg*. WH]R. [9] ἀνελήμφθη LTTrWH. [10] —Ἀμήν BELTr[T]WH (*non marg*.). [11] + Τὸ κατὰ Μάρκον εὐαγγέλιον ἐγράφη ἐν στίχοις αφϛ, κεφαλαίοις σλϛ S (*qui nihil habet ad fin. Matthæi*), *at* + Κατὰ Μάρκον Tr *iterum*. *Mirè addit* WH, *ex auctoritate codicum paucorum, nec fide dignorum*, ΑΛΛΩΣ. ⟦Πάντα δὲ τὰ παρηγγελμένα τοῖς περὶ τὸν Πέτρον συντόμως ἐξήγγειλαν. Μετὰ δὲ ταῦτα καὶ αὐτὸς ὁ Ἰησοῦς ἀπὸ ἀνατολῆς καὶ ἄχρι δύσεως ἐξαπέστειλεν δι' αὐτῶν τὸ ἱερὸν καὶ ἄφθαρτον κήρυγμα τῆς αἰωνίου σωτηρίας.⟧, *versibus* 9—20 *ab ejusmodi signis* (⟦ ⟧) *simili modo abrogatis*. [12] Εὐαγγέλιον κατὰ Λουκᾶν LTr, Κατὰ Λουκᾶν TWH, —ἅγιον B.

[a] Luc. 9. 29. [b] Luc. 24. 33—35. [c] Luc. 24. 36. Joan. 20. 19, 26. 1 Cor. 15. 5. [d] ver. 12. [e] Matt. 19. 8. cap. 10. 5. [f] ver. 11, 13. [g] Matt. 28. 19. [h] Col. 1. 23. Cf. Act. 1. 8. Rom. 10. 18. [i] Rom. 8. 22. [k] Joan. 3. 18, 36. [l] Joan. 3. 5. Act. 2. 38. [m] Act. 16. 31. 1 Pet. 3. 21. [n] ver. 11. Luc. 24. 11, 41. Act. 28. 24. Rom. 3. 3. 2 Tim. 2. 13. 1 Pet. 2. 7. Cf. 2 Thess. 2. 12. [o] Luc. 1. 3. 1 Tim. 4. 6. 2 Tim. 3. 10. [p] cap. 9. 38. Luc. 10. 17. Act. 5. 16; 8. 7; 16. 18; 19. 12. [q] Act. 2. 4; 10. 46; 19. 6. 1 Cor. 12. 10, 28, 30; 13. 1; 14. 2, 4, &c. [r] Luc. 10. 19. Act. 28. 3—5. [s] Act. 9. 12, 17. Vid. cap. 5. 23. Cf. Jac. 5. 14, 15. [t] Matt. 14. 14. cap. 6. 5, 13. [u] Act. 1. 3. [x] Luc. 9. 51. Joan. 6. 62. Act. 1. 2, 9. [y] Matt. 22. 44. Act. 2. 33; 7. 55. Rom. 8. 34. Eph. 1. 20. Col. 3. 1. Heb. 1. 3; 8. 1; 10. 12; 12. 2. 1 Pet. 3. 22. [z] Heb. 2. 3, 4. Cf. 1 Cor. 3. 9. [aa] cap. 4. 14. Luc. 1. 2. [bb] Act. 2. 43; 4. 30; 5. 12; 14. 3. Rom. 15. 19. 2 Cor. 12. 12. [cc] Rom. 4. 21; 14. 5. Col. 4. 12 (var. lect.). 2 Tim. 4. 5, 17. Cf. Col. 2. 2. 1 Thess. 1. 5. Heb. 6. 11; 10. 22. [dd] Joan. 15. 27. Cf. Marc. 1. 1. [ee] Cf. Heb. 2. 3. 2 Pet. 1. 16. 1 Joan. 1. 1. [ff] Act. 26. 16. 1 Cor. 4. 1. [gg] Act. 15. 25. [hh] Act. 11. 4; 18. 23.

4 σοι γράψαι, [a] κράτιστε [b] Θεόφιλε, ἵνα ἐπιγνῷς περὶ ὧν
[c] κατηχήθης λόγων τὴν ἀσφάλειαν.
5 ἘΓΕΝΕΤΟ [d] ἐν ταῖς ἡμέραις Ἡρώδου[1] τοῦ[2] βασιλέως
τῆς Ἰουδαίας ἱερεύς τις ὀνόματι Ζαχαρίας, [e] ἐξ ἐφημε-
ρίας Ἀβιά· καὶ ἡ γυνὴ αὐτοῦ[3] ἐκ τῶν θυγατέρων
6 Ἀαρών, καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ[4]. ἦσαν δὲ
[f] δίκαιοι ἀμφότεροι ἐνώπιον[5] τοῦ Θεοῦ πορευόμενοι ἐν
πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου
7 [g] ἄμεμπτοι. καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθότι [h] ἡ Ἐλι-
σάβετ[4] ἦν[6] στεῖρα, καὶ [i] ἀμφότεροι προβεβηκότες ἐν
8 ταῖς ἡμέραις αὐτῶν ἦσαν. Ἐγένετο δὲ ἐν τῷ ἱερα-
τεύειν αὐτὸν [k] ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι[7]
9 τοῦ Θεοῦ, κατὰ τὸ ἔθος τῆς ἱερατείας, [l] ἔλαχε τοῦ θυ-
10 μιάσαι[8] [m] εἰσελθὼν εἰς [n] τὸν ναὸν τοῦ Κυρίου· καὶ πᾶν
τὸ πλῆθος τοῦ λαοῦ ἦν[9] [o] προσευχόμενον [p] ἔξω τῇ ὥρᾳ
11 τοῦ θυμιάματος. ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου,
ἑστὼς ἐκ δεξιῶν [q] τοῦ θυσιαστηρίου τοῦ θυμιάματος·
12 καὶ [r] ἐταράχθη Ζαχαρίας ἰδών, καὶ [r] φόβος ἐπέπεσεν
13 ἐπ' αὐτόν. Εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος, "Μὴ
φοβοῦ, Ζαχαρία· διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ
ἡ γυνή σου Ἐλισάβετ[4] γεννήσει υἱόν σοι, καὶ [s] καλέ-
14 σεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην[10]. καὶ ἔσται χαρά σοι
καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει[11] αὐτοῦ
15 χαρήσονται. ἔσται γὰρ μέγας ἐνώπιον τοῦ[12] Κυρίου·
καὶ [t] οἶνον καὶ σίκερα οὐ μὴ πίῃ, καὶ Πνεύματος
Ἁγίου πλησθήσεται ἔτι [u] ἐκ κοιλίας μητρὸς αὐτοῦ.
16 καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ [x] ἐπιστρέψει ἐπὶ Κύ-
17 ριον τὸν Θεὸν αὐτῶν· καὶ αὐτὸς προελεύσεται[13] ἐνώπιον
αὐτοῦ [y] ἐν πνεύματι καὶ δυνάμει Ἠλίου[14], [y] ἐπιστρέψαι
καρδίας πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν [z] φρονήσει
δικαίων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον."
18 Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν ἄγγελον, [a] "Κατὰ τί
γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή

[a] Act. 23. 26; 24. 3; 26. 25. [b] Act. 1. 1. [c] Act. 18. 25. Rom. 2. 18. 1 Cor. 14. 19. Gal. 6. 6. [d] Matt. 2. 1. [e] 1 Chr. 24. 10, 19. [f] Gen. 7. 1. cap. 2. 25. [g] Phil. 2. 15; 3. 6. 1 Thess. 2. 10; 3. 13; 5. 23. [h] ver. 36. Cf. Judic. 13. 2. 1 Sam. 1. 2. [i] Cf. Gen. 18. 11. [k] 1 Chr. 24. 19. 2 Chr. 8. 14; 31. 2. [l] Ex. 30. 7, 8. 1 Sam. 2. 28. 1 Chr. 23. 13. 2 Chr. 29. 11. [m] Ex. 30. 1—6. [n] Vid. Matt. 23. 35. [o] Ps. 141. 2. Cf. Rev. 5. 8; 8. 3, 4. [p] Lev. 16. 17. [q] Ex. 30. 6; 40. 26, 27. [r] Cf. Judic. 6. 22; 13. 22. Dan. 10. 8, 17. ver. 29. cap. 2. 9. Act. 10. 4. Rev. 1. 17. [s] ver. 60, 63. [t] Num. 6. 3. Judic. 13. 4. Matt. 11. 18. cap. 7. 33. [u] Jer. 1. 5. Gal. 1. 15. [x] Vid. Matt. 17. 11. [y] Mal. 3. 1. Vid. Matt. 11. 14. [z] Eph. 1. 8. [a] Cf. Gen. 17. 17.

[1] Ἡρῴδου WH. [2] —τοῦ TTrWHR. [3] γυνὴ αὐτῷ L (*non marg.*) TTrWHR. [4] Ἐλεισάβετ WH. [5] ἐναντίον TTrWHR. [6] ἦν (+ ἡ T[TrWH]) Ἐλισάβετ LTTrWH. [7] ἐναντίον Tr *marg.* [8] θυμιᾶσαι LTTrWH. [9] ἦν τοῦ λαοῦ LTTrWH. [10] Ἰωάνην Tr WH. [11] γενέσει LTTrWHR. [12] —τοῦ T[Tr]WH (*non marg.*). [13] προσελεύσεται WH *marg.* R *marg.* [14] Ἠλίου SE, Ἡλεία TTr *marg.*, Ἠλεία WH.

μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς.” Καὶ ἀπο- 19
κριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῷ, “Ἐγώ εἰμι [a] Γαβριὴλ [b] ὁ
παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ· καὶ ἀπεστάλην λαλῆ-
σαι πρός σε, καὶ εὐαγγελίσασθαί σοι ταῦτα. καὶ ἰδού, 20
[c] ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέ-
ρας γένηται ταῦτα· ἀνθ᾽ ὧν οὐκ ἐπίστευσας τοῖς
λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν
αὐτῶν.” Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν· 21
καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν **αὐτὸν ἐν τῷ ναῷ**[1].
ἐξελθὼν δὲ οὐκ **ἠδύνατο**[2] λαλῆσαι αὐτοῖς· καὶ ἐπέ- 22
γνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ· [d] καὶ αὐτὸς
ἦν διανεύων αὐτοῖς, καὶ διέμενε κωφός. καὶ ἐγένετο 23
[e] ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς [f] λειτουργίας αὐτοῦ,
ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. Μετὰ δὲ ταύτας τὰς 24
ἡμέρας συνέλαβεν **Ἐλισάβετ**[3] ἡ γυνὴ αὐτοῦ, καὶ
περιέκρυβεν ἑαυτὴν [g] μῆνας πέντε, λέγουσα, “Ὅτι 25
οὕτω μοι πεποίηκεν **ὁ**[4] Κύριος ἐν ἡμέραις, αἷς ἐπεῖδεν
[h] ἀφελεῖν **τὸ**[5] ὄνειδός μου ἐν ἀνθρώποις.”

ἘΝ δὲ [g] τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος 26
[a] Γαβριὴλ **ὑπὸ**[6] τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ
ὄνομα [i] **Ναζαρέτ**[7], πρὸς [k] παρθένον **μεμνηστευμένην**[8] 27
ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, [l] ἐξ οἴκου **Δαβίδ**[9]· καὶ τὸ
ὄνομα τῆς παρθένου Μαριάμ. καὶ εἰσελθὼν **ὁ ἄγγε-** 28
λος[10] πρὸς αὐτὴν εἶπε, “Χαῖρε, [m] κεχαριτωμένη· [n] ὁ
Κύριος μετὰ σοῦ, **εὐλογημένη σὺ ἐν γυναιξίν**[11].” Ἡ δὲ 29
ἰδοῦσα[12] [o] **διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ**[13], καὶ διελογί-
ζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. Καὶ εἶπεν ὁ 30
ἄγγελος **αὐτῇ**[14], “Μὴ φοβοῦ, Μαριάμ· [p] εὗρες γὰρ
χάριν παρὰ τῷ Θεῷ. καὶ ἰδού, [q] **συλλήψῃ**[15] ἐν γαστρί, 31
καὶ τέξῃ υἱόν, καὶ [r] καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.
οὗτος ἔσται μέγας, καὶ υἱὸς [s] ὑψίστου κληθήσεται· 32
καὶ [t] δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον **Δαβίδ**[9]

[a] ver. 26. Dan. 8. 16; 9. 21.
[b] Rev. 8. 2.
[c] Cf. Ezek. 3. 26; 24. 27.
[d] ver. 62.
[e] 2 Reg. 11. 5. 1 Chr. 9. 25.
[f] Phil. 2. 17. Act. 13. 2. Heb. 8. 6; 9. 21; 10. 11.
[g] ver. 24.
[h] Gen. 30. 23. Esa. 4. 1. Cf. 1 Sam. 1. 6.
[i] Vid. Matt. 2. 23.
[k] Matt. 1. 18.
[l] Matt. 1. 16, 20. cap. 2. 4.
[m] Eph. 1. 6. Cf. Ps. 45. 2.
[n] Judic. 6. 12.
[o] Vid. ver. 12.
[p] Act. 7. 46. Heb. 4. 16.
[q] Esa. 7. 14.
[r] Cf. Matt. 1. 21, 25. cap. 2. 21.
[s] ver. 35, 76. cap. 6. 35. Act. 7. 48. Vid. Marc. 5. 7.
[t] 2 Sam. 7. 11—13, 16. Ps. 89. 4; 132. 11. Esa. 9. 6, 7; 16. 5. Jer. 23. 5. ver. 69. Act. 2. 30.

[1] ἐν τῷ ναῷ αὐτὸν Tr *marg.* WH. [2] ἐδύνατο LTTrWH. [3] Ἐλεισάβετ WH. [4] —ὁ LTTrWH (*non marg.*). [5] —τὸ TTrWH. [6] ἀπὸ TTrWHR. [7] Ναζαρέθ ELTTr *marg.* [8] ἐμνηστευμένην LTTrWH. [9] Δαυείδ LTTrWH. [10] [ὁ ἄγγελος] T, —ὁ ἄγγελος WHR, ὁ ἄγγελος *post* αὐτὴν *ponit* T. [11] —εὐλογημένη σὺ ἐν γυναιξίν T[Tr]Tr *marg.* WH (*non marg.*) R (*non marg.*). [12] —ἰδοῦσα TTrWHR. [13] ἐπὶ τῷ λόγῳ διεταράχθη TTrWHR. [14] πρὸς αὐτὴν L *marg.* [15] συλλήμψῃ LTTrWH.

33 τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον
Ἰακὼβ [a] εἰς τοὺς αἰῶνας, [a] καὶ τῆς βασιλείας αὐτοῦ οὐκ
34 ἔσται τέλος." Εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον,
35 "Πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;" Καὶ
ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ, [b] "Πνεῦμα Ἅγιον
ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις [c] ὑψίστου ἐπισκιάσει
σοι· διὸ καὶ τὸ γεννώμενον [1] ἅγιον κληθήσεται [d] υἱὸς
36 Θεοῦ. καὶ ἰδού, **Ἐλισάβετ** [2] ἡ **συγγενής** [3] σου, καὶ
αὐτὴ **συνειληφυῖα** [4] υἱὸν ἐν γήρᾳ [5] αὐτῆς· καὶ οὗτος
37 μὴν ἕκτος ἐστὶν αὐτῇ [e] τῇ καλουμένῃ στείρᾳ· ὅτι οὐκ
38 [f] ἀδυνατήσει παρὰ τῷ Θεῷ [6] πᾶν ῥῆμα." Εἶπε δὲ
Μαριάμ, "Ἰδού, ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ
τὸ ῥῆμά σου." Καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος.
39 Ἀναστᾶσα δὲ **Μαριὰμ** [7] ἐν ταῖς ἡμέραις ταύταις
ἐπορεύθη [g] εἰς τὴν **ὀρεινὴν** [8] μετὰ σπουδῆς, εἰς πόλιν
40 Ἰούδα, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ
41 ἠσπάσατο τὴν **Ἐλισάβετ** [2]. καὶ ἐγένετο ὡς ἤκουσεν ἡ
Ἐλισάβετ [2] **τὸν ἀσπασμὸν τῆς Μαρίας** [9], ἐσκίρτησε τὸ
βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ [h] ἐπλήσθη Πνεύματος
42 Ἁγίου ἡ **Ἐλισάβετ** [2], καὶ ἀνεφώνησε **φωνῇ** [10] μεγάλῃ,
καὶ εἶπεν, [i] "Εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογη-
43 μένος ὁ καρπὸς τῆς κοιλίας σου. καὶ πόθεν μοι
τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου **πρός με** [11];
44 ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς
τὰ ὦτά μου, ἐσκίρτησεν ἐν ἀγαλλιάσει τὸ βρέφος
45 ἐν τῇ κοιλίᾳ μου. καὶ [k] μακαρία ἡ πιστεύσασα, [12] ὅτι [l]
ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυ-
ρίου."
46 Καὶ εἶπε Μαριάμ, [m n] "Μεγαλύνει [o] ἡ ψυχή μου τὸν
47 Κύριον, καὶ [p] ἠγαλλίασε [o] τὸ πνεῦμά μου ἐπὶ [q] τῷ Θεῷ
48 [p] τῷ σωτῆρί μου· ὅτι [r] ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν
τῆς δούλης αὐτοῦ. ἰδοὺ γάρ, ἀπὸ τοῦ νῦν [ks] μακαριοῦσί
49 με πᾶσαι αἱ γενεαί· ὅτι [t] ἐποίησέ μοι **μεγαλεῖα** [13] ὁ

[a] Dan. 2. 44; 7. 14, 18, 27.
[b] Matt. 1. 18, 20.
[c] Vid. ver. 32.
[d] Vid. Matt. 14. 33. Cf. Marc. 1. 24.
[e] Vid. ver. 7.
[f] Vid. Matt. 19. 26.
[g] ver. 65. Josh. 20. 7; 21. 11.
[h] ver. 67.
[i] Cf. Judic. 5. 24.
[k] Joan. 20. 29. Cf. ver. 20, 48.
[l] Act. 27. 25.
[m] ver. 46—53, 1 Sam. 2. 1—10.
[n] Ps. 34. 2, 3.
[o] 1 Thess. 5. 23.
[p] Ps. 35. 9. Hab. 3. 18.
[q] 1 Tim. 1. 1; 2. 3. Tit. 1. 3; 2. 10; 3. 4. Jud. 25.
[r] 1 Sam. 1. 11. Ps. 138. 6.
[s] Ps. 72. 17. Mal. 3. 12.
[t] Ps. 71. 19; 126. 2.

[1] + ἐκ σοῦ [L]R *marg.* [2] Ἐλεισάβετ WH. [3] συγγενίς LTWHR. [4] συνείληφεν Tr (*non marg.*) WHR. [5] γήρει LTTrWH. [6] τοῦ θεοῦ L *marg.* TTrWHR. [7] Μαρία L *marg.* [8] ὀρινὴν WH. [9] τὸν ἀσπασμὸν τῆς Μαρίας ἡ Ἐλισάβετ LTTrWH. [10] κραυγῇ TTr (*non marg.*) WHR. [11] πρὸς ἐμέ TWH. [12] —, WH.R *marg.* [13] μεγάλα LTTrWHR.

δυνατός, καὶ [a]ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ [b]τὸ[1] ἔλεος 50
αὐτοῦ εἰς γενεὰς **γενεῶν**[2] τοῖς φοβουμένοις αὐτόν.
[c]ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ· [d]διεσκόρπισεν 51
ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν. [e]καθεῖλε [f]δυνά- 52
στας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς. [g]πεινῶντας 53
ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας [h]ἐξαπέστειλε κε-
νούς. ἀντελάβετο [i]Ἰσραὴλ παιδὸς αὐτοῦ, [k]μνησθῆναι 54
ἐλέους, [l]καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, 55
τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ εἰς τὸν αἰῶνα."
Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ **ὡσεὶ**[3] μῆνας τρεῖς· καὶ 56
ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Τῇ δὲ **Ἐλισάβετ**[4] ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν 57
αὐτήν, καὶ ἐγέννησεν υἱόν· καὶ ἤκουσαν οἱ περίοικοι 58
καὶ οἱ συγγενεῖς αὐτῆς, [m]ὅτι ἐμεγάλυνε Κύριος τὸ
ἔλεος αὐτοῦ μετ' αὐτῆς, καὶ συνέχαιρον αὐτῇ. Καὶ 59
ἐγένετο [n]ἐν τῇ **ὀγδόῃ ἡμέρᾳ**[5], **ἦλθον**[6] περιτεμεῖν τὸ
παιδίον· καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πα-
τρὸς αὐτοῦ Ζαχαρίαν. καὶ ἀποκριθεῖσα ἡ μήτηρ 60
αὐτοῦ εἶπεν, "Οὐχί, [o]ἀλλὰ κληθήσεται **Ἰωάννης**[7]."
Καὶ **εἶπον**[8] πρὸς αὐτήν, "Ὅτι οὐδείς ἐστιν **ἐν** τῇ 61
συγγενείᾳ[9] σου, ὃς καλεῖται τῷ ὀνόματι τούτῳ."
[p]Ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ, τὸ τί ἂν θέλοι κα- 62
λεῖσθαι **αὐτόν**[10]. καὶ αἰτήσας πινακίδιον ἔγραψε, λέ- 63
γων, [o]"**Ἰωάννης**[7] ἐστὶ **τὸ**[11] ὄνομα αὐτοῦ." καὶ ἐθαύ-
μασαν πάντες. [q]Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παρα- 64
χρῆμα [r]καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει [s]εὐλογῶν τὸν
Θεόν. Καὶ [t]ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοι- 65
κοῦντας αὐτούς· καὶ ἐν ὅλῃ [u]τῇ **ὀρεινῇ**[12] τῆς Ἰουδαίας
διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα· καὶ ἔθεντο 66
πάντες οἱ **ἀκούσαντες**[13] ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες,
"Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται;" Καὶ[14] [x]χεὶρ Κυρίου
ἦν μετ' αὐτοῦ. Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ [y]ἐπλή- 67
σθη Πνεύματος Ἁγίου, καὶ [z]**προεφήτευσε**[15], λέγων,

[a] Ps. 99. 3; 111. 9. Esa. 57. 15.
[b] Ps. 103. 17.
[c] Ps. 98. 1; 118. 15.
[d] Cf. Ps. 33. 10.
[e] Ps. 75. 7; 113. 7. Cf. Job 5. 11. Ezek. 21. 26.
[f] Act. 8. 27.
[g] Ps. 34. 10.
[h] Job 22. 9.
[i] Esa. 41. 8; 44. 21; 49. 3.
[k] Ps. 98. 3.
[l] Gen. 17. 19. Ps. 132. 11. Gal. 3. 16.
[m] Gen. 19. 19.
[n] Gen. 17. 12. Lev. 12. 3. cap. 2. 21. Phil. 3. 5.
[o] ver. 13, 63.
[p] ver. 22.
[q] ver. 20.
[r] Cf. Ex. 20. 18. Deut. 4. 12. Job 4. 10. 1 Tim. 4. 8.
[s] cap. 2. 28; 24. 53 (var. lect.).
[t] cap. 7. 16. Act. 2. 43.
[u] ver. 39.
[x] Act. 11. 21.
[y] ver. 41.
[z] Joel 2. 28.

[1] —τὸ B. [2] *καὶ γενεὰς* TTrWHR. [3] ὡς LTTrWHR. [4] Ἐλεισάβετ WH. [5] ἡμέρᾳ τῇ ὀγδόῃ LTTrWH. [6] ἦλθαν WH. [7] Ἰωάνης TrWH. [8] εἶπαν TTrWH. [9] ἐκ τῆς συγγενείας LTTrWHR. [10] αὐτό LTTrWH. [11] —τὸ TrWH. [12] ὀρινῇ WH. [13] ἀκούοντες Tr *marg.* [14] + γὰρ LTTrWHR. [15] ἐπροφήτευσεν LTTrWH.

68 [a]"Εὐλογητὸς Κύριος [a b]ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι [c]ἐπε-
69 σκέψατο καὶ ἐποίησε [d]λύτρωσιν τῷ λαῷ αὐτοῦ· καὶ
[e]ἤγειρε κέρας σωτηρίας ἡμῖν, [f]ἐν τῷ[1] οἴκῳ **Δαβὶδ**[2]
70 **τοῦ**[3] παιδὸς αὐτοῦ· ([g]καθὼς ἐλάλησε διὰ στόματος
71 [h]τῶν ἁγίων [h i]**τῶν**[4] ἀπ' αἰῶνος προφητῶν αὐτοῦ·) σωτη-
ρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν
72 μισούντων ἡμᾶς· [k]ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων
73 ἡμῶν, καὶ [l]μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ, [m]ὅρκον
74 ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦ-
ναι ἡμῖν, ἀφόβως, ἐκ χειρὸς **τῶν**[5] ἐχθρῶν **ἡμῶν**[6]
75 ῥυσθέντας, λατρεύειν αὐτῷ [n]ἐν ὁσιότητι καὶ δικαιο-
σύνῃ ἐνώπιον αὐτοῦ **πάσας τὰς ἡμέρας**[7] **τῆς ζωῆς**[8]
76 ἡμῶν. Καὶ σύ[9], παιδίον, προφήτης [o]ὑψίστου κλη-
θήσῃ· [p]προπορεύσῃ γὰρ **πρὸ προσώπου**[10] Κυρίου, [q]ἑτοι-
77 μάσαι ὁδοὺς αὐτοῦ· τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ
78 λαῷ αὐτοῦ ἐν ἀφέσει ἁμαρτιῶν **αὐτῶν**[11], [r]διὰ σπλάγχνα
ἐλέους Θεοῦ ἡμῶν, ἐν οἷς **ἐπεσκέψατο**[12] ἡμᾶς [s]ἀνατολὴ
79 ἐξ ὕψους, [t]ἐπιφᾶναι [u]τοῖς ἐν σκότει καὶ [t]σκιᾷ θανάτου
καθημένοις· τοῦ [x]κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς
80 [y]ὁδὸν [z]εἰρήνης." [a]Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραται-
οῦτο πνεύματι· καὶ [b]ἦν ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας
ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

Α'. 2 ἘΓΕΝΕΤΟ δὲ ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε
δόγμα παρὰ Καίσαρος Αὐγούστου, ἀπογράφεσθαι
2 [c]πᾶσαν τὴν οἰκουμένην· αὕτη ἡ[13] ἀπογραφὴ **πρώτη**
3 **ἐγένετο**[14] [d]ἡγεμονεύοντος τῆς Συρίας **Κυρηνίου**[15]. καὶ
ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν
4 **ἰδίαν**[16] πόλιν. [e]Ἀνέβη δὲ καὶ Ἰωσὴφ [f]ἀπὸ τῆς Γαλι-
λαίας, ἐκ πόλεως **Ναζαρὲτ**[17], εἰς τὴν Ἰουδαίαν, [g]εἰς
πόλιν **Δαβὶδ**[18], ἥτις καλεῖται Βηθλεέμ, [h]διὰ τὸ εἶναι
5 αὐτὸν ἐξ οἴκου καὶ [i]πατριᾶς **Δαβὶδ**[18], **ἀπογράψασθαι**[19]
σὺν Μαριὰμ [k]τῇ **μεμνηστευμένῃ**[20] αὐτῷ **γυναικί**[21], οὔσῃ

[1] –τῷ LTTrWH. [2] Δαυεὶδ LTTrWH. [3] –τοῦ LTTrWH. [4] –τῶν TTrWHR. [5] –τῶν LTTrWH. [6] –ἡμῶν TTr[LTr *marg.*]WH. [7] πάσαις ταῖς ἡμέραις L *marg.* Tr *marg.* WH (*non marg.*). [8] –τῆς ζωῆς LTTrWHR. [9] + δὲ TTrWHR. [10] ἐνώπιον WH. [11] ἡμῶν Tr *marg.* [12] ἐπισκέψεται Tr *marg.* WHR (*non marg.*). [13] –ἡ LTTrWHR. [14] ἐγένετο πρώτη T. [15] Κυρίνου L, Κυρείνου Tr *marg.* WH *marg.* [16] ἑαυτοῦ LTTr (*non marg.*) WHR. [17] Ναζαρὰθ L, Ναζαρὲθ ETTr *marg.* [18] Δαυεὶδ LTTrWH. [19] ἀπογράφεσθαι L. [20] ἐμνηστευμένῃ LTTrWH. [21] –γυναικί LTTrWHR.

[a] 1 Reg. 1. 48. Ps. 41. 13; 72. 18; 106. 48.
[b] Vid. Matt. 15. 31.
[c] cap. 7. 16.
[d] cap. 2. 38. Heb. 9. 12.
[e] 1 Sam. 2. 1. Ps. 132. 17. Ezek. 29. 21.
[f] Vid. ver. 32.
[g] Rom. 1. 2.
[h] Act. 3. 21.
[i] Joan. 9. 32. Act. 15. 18.
[k] Mic. 7. 20.
[l] Ps. 105. 8, 9; 106. 45.
[m] Gen. 22. 16—18.
[n] Eph. 4. 24. 1 Thess. 2. 10.
[o] ver. 32.
[p] ver. 17. Vid. Matt. 11. 10.
[q] Matt. 3. 3.
[r] Cf. Col. 3. 12.
[s] Mal. 4. 2. Eph. 5. 14. 2 Pet. 1. 19.
[t] Esa. 9. 2.
[u] Esa. 42. 7.
[x] 1 Thess. 3. 11.
[y] Rom. 3. 17.
[z] Vid. cap. 2. 14.
[a] cap. 2. 40.
[b] Matt. 3. 1; 11. 7.
[c] cap. 4. 5. Vid. Matt. 24. 14.
[d] cap. 3. 1.
[e] ver. 42. cap. 18. 31; 19. 28. Joan. 11. 55.
[f] cap. 1. 26.
[g] Joan. 7. 42. Cf. 1 Sam. 16. 1, 4.
[h] cap. 1. 27.
[i] Act. 3. 25. Eph. 3. 15.
[k] Matt. 2. 1.

[1]**ἐγκύῳ**. Ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλή- 6 β
σθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν· καὶ ἔτεκε τὸν 7 ε
υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ [a] ἐσπαργάνωσεν αὐτόν,
καὶ ἀνέκλινεν αὐτὸν [a] ἐν **τῇ**[2] φάτνῃ· διότι οὐκ ἦν
αὐτοῖς τόπος ἐν τῷ [b] καταλύματι.
Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυ- 8 Β'
λοῦντες καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ γ
τὴν ποίμνην αὐτῶν. καὶ **ἰδού**[3], ἄγγελος Κυρίου [c] ἐπέστη 9 ι
αὐτοῖς, καὶ [d] δόξα Κυρίου περιέλαμψεν αὐτούς· [e] καὶ
ἐφοβήθησαν φόβον μέγαν. καὶ εἶπεν αὐτοῖς ὁ ἄγγε- 10
λος, "Μὴ φοβεῖσθε· ἰδοὺ γάρ, εὐαγγελίζομαι ὑμῖν
χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ· [f] ὅτι ἐτέχθη 11
ὑμῖν σήμερον [g] σωτήρ, ὅς ἐστι Χριστὸς Κύριος, ἐν
πόλει **Δαβίδ**[4]. καὶ τοῦτο ὑμῖν **τὸ**[5] σημεῖον· εὑρήσετε 12
βρέφος ἐσπαργανωμένον, [6]**κείμενον**[7] [a] ἐν **τῇ**[8] φάτνῃ."
Καὶ **ἐξαίφνης**[9] ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρα- 13
τιᾶς **οὐρανίου**[10], αἰνούντων τὸν Θεόν, καὶ λεγόντων,
"Δόξα [h] ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς [i] εἰρήνη· [k] ἐν ἀν- 14
θρώποις **εὐδοκία**[11]." Καὶ ἐγένετο, ὡς ἀπῆλθον ἀπ' 15
αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, **καὶ οἱ ἄνθρωποι**[12]
οἱ ποιμένες **εἶπον**[13] πρὸς ἀλλήλους, "Διέλθωμεν δὴ
ἕως Βηθλεέμ, καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονός,
ὃ ὁ Κύριος ἐγνώρισεν ἡμῖν." Καὶ **ἦλθον**[14] σπεύ- 16
σαντες, καὶ **ἀνεῦρον**[15] τήν τε Μαριὰμ καὶ τὸν Ἰωσήφ,
καὶ τὸ βρέφος κείμενον [a] ἐν τῇ φάτνῃ. ἰδόντες δὲ 17
διεγνώρισαν[16] περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐ-
τοῖς περὶ τοῦ παιδίου τούτου. καὶ πάντες οἱ ἀκού- 18
σαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν
ποιμένων πρὸς αὐτούς. [l] ἡ δὲ **Μαριὰμ**[17] πάντα συνε- 19
τήρει τὰ ῥήματα ταῦτα, [18]**συμ**βάλλουσα ἐν τῇ καρδίᾳ
αὐτῆς. καὶ **ἐπέστρεψαν**[19] οἱ ποιμένες, [m] δοξάζοντες καὶ 20
αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ **εἶδον**[20],
καθὼς ἐλαλήθη πρὸς αὐτούς.

[a] ver. 12, 16.
[b] Vid. Marc. 14. 14.
[c] cap. 24. 4. Cf. Act. 12. 7.
[d] cap. 9. 31.
[e] Vid. cap. 1. 12.
[f] Esa. 9. 6.
[g] Joan. 4. 42 (var. lect.). Cf. Matt. 1. 21.
[h] Matt. 21. 9.
[i] cap. 1. 79. Ps. 185. 10. Esa. 57. 19. Agg. 2. 9. Act. 10. 36. Rom. 5. 1. Eph. 2. 14, 17. Col. 1. 20.
[k] (var. lect.) Cf. cap. 3. 22. Eph. 1. 9. Phil. 2. 13.
[l] ver. 51. Cf. Ps. 119. 11.
[m] Vid. Matt. 9. 8.

[1] ἐν- WH. [2] —τῇ LTTrWHR. [3] —ἰδού T[Tr]WHR. [4] Δαυείδ LTTrWH. [5] [τὸ] Tr *marg.*, —τὸ WH (*non marg.*). [6] + καὶ [L]TrWHR. [7] —κείμενον T. [8] —τῇ LTTrWHR. [9] ἐξέφνης WH. [10] οὐρανοῦ Tr (*non marg.*) WH *marg.* [11] εὐδοκίας LTTr (*non marg.*) WH (*non marg.*) R (*non marg.*): *omnes, puncto post* εἰρήνη *sublato.* [12] —καὶ οἱ ἄνθρωποι T[LTr]WHR. [13] ἐλάλουν L *marg.* TWH. [14] ἦλθαν TTrWH. [15] ἀνεῦραν TTrWH. [16] ἐγνώρισαν LTTrWHR. [17] Μαρία LTTrWH (*non marg.*). [18] συν- TWH. [19] ὑπέστρεψαν LTTrWHR. [20] ἴδον T.

21 ΚΑΙ ὅτε ἐπλήσθησαν [a]ἡμέραι ὀκτὼ τοῦ περιτε-
μεῖν **τὸ παιδίον**[1], καὶ [b]ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς,
[b]τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ **συλληφθῆναι**[2]
αὐτὸν ἐν τῇ κοιλίᾳ.
22 ΚΑΙ ὅτε ἐπλήσθησαν [c]αἱ ἡμέραι τοῦ καθαρισμοῦ
αὐτῶν[3], κατὰ τὸν νόμον **Μωσέως**[4], ἀνήγαγον αὐτὸν
23 εἰς **Ἱεροσόλυμα**[5], παραστῆσαι τῷ Κυρίῳ, καθὼς
γέγραπται ἐν[6] νόμῳ Κυρίου, [d]"Ὅτι πᾶν ἄρσεν διανοῖ-
24 γον μήτραν ἅγιον τῷ Κυρίῳ κληθήσεται·' καὶ τοῦ
δοῦναι θυσίαν, κατὰ τὸ εἰρημένον ἐν[7] νόμῳ Κυρίου,
[e]'Ζεῦγος τρυγόνων ἢ δύο **νεοσσοὺς**[8] περιστερῶν.'
Γ'. 25 Καὶ ἰδού, **ἦν ἄνθρωπος**[9] ἐν **Ἱερουσαλὴμ**[10], ᾧ ὄνομα
Συμεών[11], καὶ ὁ ἄνθρωπος οὗτος [f]δίκαιος καὶ [g]εὐλαβής,
[h]προσδεχόμενος [i]παράκλησιν τοῦ Ἰσραήλ, καὶ Πνεῦμα
26 **Ἅγιον ἦν**[12] ἐπ' αὐτόν· καὶ ἦν αὐτῷ [k]κεχρηματισμένον
ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου, [l]μὴ ἰδεῖν θάνατον
27 πρὶν ἢ[13] ἴδῃ τὸν Χριστὸν Κυρίου. Καὶ ἦλθεν ἐν τῷ
Πνεύματι εἰς τὸ ἱερόν· καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς
γονεῖς τὸ παιδίον Ἰησοῦν, [c]τοῦ ποιῆσαι αὐτοὺς κατὰ
28 τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, καὶ αὐτὸς ἐδέ-
ξατο αὐτὸ εἰς τὰς ἀγκάλας **αὐτοῦ**[14], καὶ [m]εὐλόγησε
29 τὸν Θεόν, καὶ εἶπε, "Νῦν [n]ἀπολύεις τὸν δοῦλόν σου,
30 [o]δέσποτα, [p]κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι [q]εἶδον οἱ
31 ὀφθαλμοί μου [q r]τὸ σωτήριόν σου, [s]ὃ ἡτοίμασας κατὰ
32 πρόσωπον πάντων τῶν λαῶν· φῶς [t]εἰς ἀποκάλυψιν
33 ἐθνῶν, καὶ δόξαν [u]λαοῦ σου Ἰσραήλ." Καὶ ἦν[15]
Ἰωσὴφ[16] καὶ ἡ μήτηρ **αὐτοῦ**[17] θαυμάζοντες ἐπὶ τοῖς
34 λαλουμένοις περὶ αὐτοῦ. καὶ εὐλόγησεν αὐτοὺς Συ-
μεών, καὶ εἶπε πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ,
"Ἰδού, οὗτος [x]κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολ-
λῶν ἐν τῷ Ἰσραήλ, καὶ εἰς σημεῖον [y]ἀντιλεγόμενον·
35 (καὶ σοῦ **δὲ**[18] αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία·)

[a] Vid. cap. 1. 59.
[b] cap. 1. 31.
[c] Lev. 12. 2—6. ver. 27. Cf. Gal. 4. 4.
[d] Ex. 12. 2.
[e] Lev. 12. 8.
[f] cap. 1. 6.
[g] Act. 2. 5; 8. 2.
[h] ver. 38. Marc. 15. 43.
[i] Esa. 40. 1. cap. 6. 24. Phil. 2. 1. 2 Thess. 2. 16.
[k] Heb. 8. 5; 11. 7. Vid. Matt. 2. 12.
[l] Vid. Joan. 8. 52.
[m] Vid. cap. 1. 64.
[n] Matt. 15. 23.
[o] Act. 4. 24.
[p] ver. 26.
[q] Esa. 52. 10.
[r] cap. 3. 6. Act. 28. 28.
[s] Ps. 98. 2.
[t] Esa. 42. 6; 49. 6. Act. 13. 47; 26. 23.
[u] ver. 10.
[x] Phil. 1. 17. 1 Thess. 3. 3.
[y] Act. 28. 22.

1 αὐτόν LTTrWHR. 2 συλλημφθῆναι LTTrWH. 3 αὐτῆς BE. 4 Μωυσέως LTTrWH. 5 Ἰεροσόλυμα WH. 6 + τῷ L. 7 + τῷ LTTrWH. 8 νοσσοὺς TWH. 9 ἄνθρωπος ἦν L marg. TTr marg. WH. 10 Ἰερουσαλὴμ WH. 11 Σιμεών B. 12 ἦν ἅγιον LTTrWHR. 13 ἢ ἂν T, ἂν Tr, ἢ seu [ἢ] ἂν Tr marg., [ἢ] ἂν WH. 14 —αὐτοῦ T[LTr]WH. 15 + ὁ LTTrWHR. 16 πατὴρ αὐτοῦ TTrWHR. 17 —αὐτοῦ TrWH. 18 —δὲ [LTr]WH (non marg.).

ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν [a]διαλο-
γισμοί."
Καὶ ἦν **Ἄννα**[1] [b]προφῆτις, θυγάτηρ Φανουήλ, ἐκ 36 Δ΄.
φυλῆς [c]Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς,
ζήσασα **ἔτη μετὰ ἀνδρὸς ἑπτὰ**[2] ἀπὸ τῆς παρθενίας
αὐτῆς· καὶ **αὕτη**[3] χήρα **ὡς**[4] ἐτῶν ὀγδοηκοντατεσ- 37
σάρων[5], ἣ οὐκ ἀφίστατο **ἀπὸ**[6] τοῦ ἱεροῦ, [d]νηστείαις
καὶ δεήσεσι [e]λατρεύουσα [f]νύκτα καὶ ἡμέραν· καὶ 38
αὕτη[7] αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμολογεῖτο τῷ
Κυρίῳ[8], καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς [g]προσδεχο-
μένοις [h]λύτρωσιν **ἐν**[9] **Ἱερουσαλήμ**[10]. Καὶ ὡς ἐτέλεσαν 39
ἅπαντα[11] **τὰ**[12] κατὰ τὸν νόμον Κυρίου, **ὑπέστρεψαν**[13] εἰς
τὴν Γαλιλαίαν, εἰς **τὴν πόλιν αὐτῶν**[14] [i]**Ναζαρέτ**[15]. [k]Τὸ 40
δὲ παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο **πνεύματι**[16], πλη-
ρούμενον **σοφίας**[17]· καὶ [l]χάρις Θεοῦ ἦν ἐπ' αὐτό.
ΚΑΙ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ [m]κατ' ἔτος εἰς 41
Ἱερουσαλὴμ[10] [n]τῇ ἑορτῇ τοῦ πάσχα. καὶ ὅτε ἐγένετο 42
ἐτῶν δώδεκα, [o]**ἀναβάντων**[18] αὐτῶν **εἰς Ἱεροσόλυμα**[19]
κατὰ τὸ ἔθος τῆς ἑορτῆς, καὶ τελειωσάντων [p]τὰς ἡμέ- 43
ρας, ἐν τῷ ὑποστρέφειν αὐτούς, ὑπέμεινεν Ἰησοῦς ὁ
παῖς ἐν **Ἱερουσαλήμ**[10]· καὶ οὐκ **ἔγνω Ἰωσὴφ καὶ ἡ
μήτηρ**[20] αὐτοῦ. νομίσαντες δὲ αὐτὸν **ἐν τῇ συνοδίᾳ** 44
εἶναι[21], ἦλθον ἡμέρας ὁδόν, καὶ ἀνεζήτουν αὐτὸν ἐν
τοῖς **συγγενέσι**[22] καὶ **ἐν**[23] τοῖς [q]γνωστοῖς· καὶ μὴ εὑ- 45
ρόντες **αὐτόν**[24], ὑπέστρεψαν εἰς **Ἱερουσαλήμ**[10], **ζητοῦν-
τες**[25] αὐτόν. Καὶ ἐγένετο **μεθ'**[26] ἡμέρας τρεῖς, εὗρον 46
αὐτὸν ἐν τῷ ἱερῷ, [r]καθεζόμενον ἐν μέσῳ τῶν [s]διδασκά-
λων, καὶ ἀκούοντα αὐτῶν, καὶ ἐπερωτῶντα αὐτούς.
[t]ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ, ἐπὶ τῇ [u]συν- 47 δ β
έσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ. Καὶ ἰδόντες 48 ε ι
αὐτόν, ἐξεπλάγησαν· καὶ **πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ**

[a] cap. 5. 22; 6. 8; 9. 46, 47; 24. 38.
[b] 1 Cor. 11. 5. Cf. Act. 21. 9.
[c] Josh. 19. 24.
[d] Matt. 6. 16—18. cap. 5. 33. Act. 13. 2; 14. 23. 2 Cor. 6. 5; 11. 27.
[e] Phil. 3. 3.
[f] Marc. 4. 27.
[g] Vid. cap. 1. 68.
[h] Cf. ver. 25.
[i] ver. 51. cap. 4. 16. Vid. Matt. 2. 23.
[k] cap. 1. 80.
[l] ver. 52.
[m] Cf. 1 Sam. 1. 3.
[n] Ex. 23. 15. Deut. 16. 1—6. Joan. 2. 13, 23.
[o] Vid. ver. 4.
[p] Ex. 12. 15.
[q] cap. 23. 49.
[r] Vid. Matt. 26. 55.
[s] Joan. 3. 10. Cf. cap. 5. 17.
[t] cap. 8. 56. Act. 2. 7, 12.
[u] Vid. Marc. 12. 33.

[1] Ἄννα WH. [2] μετὰ ἀνδρὸς ἔτη ἑπτὰ LTTrWH, *at* ἔτη ἑπτὰ μετὰ ἀνδρὸς Tr *marg.* [3] αὐτὴ TTrWHR. [4] ἕως LTTrWHR. [5] ὀγδοήκοντα τεσσάρων BELTTrWH. [6] —ἀπὸ TTrWH. [7] —αὕτη LTTrWHR. [8] θεῷ L (*non marg.*) TTrWHR. [9] —ἐν LTTrWHR. [10] Ἰερουσαλήμ WH. [11] πάντα TTrWHR. [12] —τὰ T. [13] ἐπέστρεψαν TTr *marg.* WH. [14] πόλιν ἑαυτῶν LTTrWH. [15] Ναζαρέθ ETTr (*non marg.*). [16] —πνεύματι LTTrWHR. [17] σοφίᾳ L *marg.* Tr (*non marg.*) WH. [18] ἀναβαινόντων LTTrWHR. [19] —εἰς Ἱεροσόλυμα T[Tr]Tr *marg.* WHR. [20] ἔγνωσαν οἱ γονεῖς L (*non marg.*) TTrWHR. [21] εἶναι ἐν τῇ συνοδίᾳ LTTrWH. [22] συγγενεῦσιν WH. [23] —ἐν LTTrWHR. [24] —αὐτόν TTr[L]. [25] ἀναζητοῦντες L (*non marg.*) TTrWHR. [26] μετὰ TTrWH.

εἶπε[1], "Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδού, [a]ὁ
49 πατήρ σου **κἀγὼ**[2] ὀδυνώμενοι **ἐζητοῦμέν**[3] σε." Καὶ
εἶπε πρὸς αὐτούς, "Τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε
50 ὅτι ἐν τοῖς [a b]τοῦ πατρός μου δεῖ εἶναί με;" Καὶ
51 [c]αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς. Καὶ
κατέβη μετ' αὐτῶν, καὶ ἦλθεν εἰς [d]**Ναζαρέτ**[4]· καὶ ἦν
ὑποτασσόμενος αὐτοῖς. καὶ [e]ἡ μήτηρ αὐτοῦ διετήρει
52 **πάντα τὰ ῥήματα ταῦτα**[5] ἐν τῇ καρδίᾳ αὐτῆς. καὶ
Ἰησοῦς προέκοπτε[6] **σοφίᾳ καὶ** [f]**ἡλικίᾳ**[7], καὶ [g]χάριτι
παρὰ Θεῷ καὶ ἀνθρώποις.

Ε΄. 3 ἘΝ ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβε-
ς̄ ρίου Καίσαρος, [h]**ἡγεμονεύοντος**[8] [i]Ποντίου **Πιλάτου**[9] τῆς
γ Ἰουδαίας, καὶ **τετραρχοῦντος**[10] τῆς Γαλιλαίας [k]Ἡρώ-
δου[11], [l]Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ **τετραρχοῦντος**[10]
τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσα-
2 νίου τῆς **Ἀβιληνῆς**[12] **τετραρχοῦντος**[10], **ἐπ' ἀρχιερέων**[13]
[m]Ἄννα[14] καὶ [m]**Καϊάφα**[15], [n]ἐγένετο ῥῆμα Θεοῦ ἐπὶ [o]Ἰω-
ζ̄ 3 **άννην**[16] τὸν τοῦ[17] Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ· καὶ ἦλθεν
α εἰς πᾶσαν **τὴν**[18] περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων
4 βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν· ὡς γέ-
γραπται ἐν βίβλῳ λόγων **Ἡσαΐου**[19] τοῦ προφήτου,
λέγοντος[20], [p]'Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε
τὴν ὁδὸν Κυρίου· εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.
5 πᾶσα φάραγξ πληρωθήσεται, [p]καὶ πᾶν ὄρος καὶ βου-
νὸς ταπεινωθήσεται· καὶ ἔσται τὰ σκολιὰ εἰς **εὐθεῖαν**[21],
6 καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας. [p]καὶ ὄψεται [q]πᾶσα
η̄ 7 σὰρξ [r]τὸ σωτήριον τοῦ Θεοῦ.' Ἔλεγεν οὖν τοῖς ἐκ-
ε πορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ, "Γεν-
νήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς
8 μελλούσης ὀργῆς; ποιήσατε οὖν **καρποὺς ἀξίους**[22]
τῆς μετανοίας· καὶ μὴ [s]ἄρξησθε λέγειν ἐν ἑαυτοῖς,
Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν, ὅτι
δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα

[a] Cf. ver. 49.
[b] Joan. 2. 16.
[c] Vid. Marc. 9. 32.
[d] ver. 39.
[e] ver. 19.
[f] Matt. 6. 27. cap. 19. 3. Eph. 4. 13.
[g] ver. 40.
[h] cap. 2. 2.
[i] Vid. Matt. 27. 2.
[k] ver. 19. cap. 9. 7. Vid. Matt. 14. 1.
[l] Matt. 14. 3 (var. lect.). Marc. 6. 17.
[m] Vid. Matt. 26. 3.
[n] ver. 2—17. Matt. 3. 1—12. Marc. 1. 3—8.
[o] cap. 1. 13.
[p] Esa. 40. 3, 4, 5.
[q] Act. 2. 17.
[r] Vid. cap. 2. 30.
[s] cap. 5. 21; 13. 25, 26; 14. 9.

[1] *εἶπεν πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ* LTTrWH. [2] *καὶ ἐγὼ* WH. [3] *ζητοῦμέν* WH. [4] Ναζαρέθ ETTr (*non marg.*). [5] *τὰ ῥήματα πάντα* [*ταῦτα*] L, *at* —*ταῦτα tantum* T[Tr *marg.*]WHR. [6] + *ἐν τῇ* T, + *τῇ* WH. [7] *ἡλικίᾳ καὶ σοφίᾳ* Tr (*non marg.*). [8] *ἐπιτροπεύοντος* WH *marg.* [9] Πειλάτου TWH. [10] *τετρααρχοῦντος* TWH. [11] Ἡρώδου WH. [12] Ἀβειληνῆς WH. [13] *ἐπὶ ἀρχιερέως* LTTrWHR. [14] Ἄννα WH. [15] Καΐφα L, Καιάφα WH. [16] Ἰωάνην TrWH. [17] —*τοῦ* LTTrWH. [18] —*τὴν* LTrWH. [19] Ἠσαΐου L, Ἠσαίου WH. [20] —*λέγοντος* LTTrWHR. [21] *εὐθείας* LTTrWHR. [22] *ἀξίους καρποὺς* Tr *marg.* WH *marg.*

τῷ Ἀβραάμ. ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν 9
δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν
καλὸν[1] ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται."
Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι, λέγοντες, [a]"Τί οὖν 10 ς̅.
ποιήσομεν[2];" Ἀποκριθεὶς δὲ **λέγει**[3] αὐτοῖς, [b]"Ὁ ἔχων 11 θ̅
δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι· καὶ ὁ ἔχων ι
βρώματα ὁμοίως ποιείτω." [c]Ἦλθον δὲ καὶ τελῶναι 12
βαπτισθῆναι, καὶ **εἶπον**[4] πρὸς αὐτόν, "Διδάσκαλε,
[a]τί **ποιήσομεν**[5];" Ὁ δὲ εἶπε πρὸς αὐτούς, [d]"Μηδὲν 13
πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε." Ἐπ- 14
ηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι, λέγοντες, [a]"**Καὶ
ἡμεῖς τί ποιήσομεν**[6];" **Καὶ εἶπε πρὸς αὐτούς**[7], "Μη-
δένα διασείσητε, **μηδὲ**[8] συκοφαντήσητε· καὶ ἀρκεῖσθε
τοῖς [e]ὀψωνίοις ὑμῶν."
Προσδοκῶντος δὲ τοῦ λαοῦ, καὶ διαλογιζομένων 15
πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ **Ἰωάννου**[9],
[f]μήποτε αὐτὸς εἴη ὁ Χριστός, ἀπεκρίνατο **ὁ Ἰωάννης**[10] 16 ι̅
ἅπασι λέγων[11], [g]"Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς[12]· α
ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς
λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς
ὑμᾶς βαπτίσει ἐν Πνεύματι Ἁγίῳ καὶ πυρί· οὗ τὸ 17 ι̅α̅
πτύον ἐν τῇ χειρὶ αὐτοῦ, **καὶ διακαθαριεῖ**[13] τὴν ἅλωνα ε
αὐτοῦ· καὶ **συνάξει**[14] τὸν σῖτον εἰς τὴν ἀποθήκην
αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ."
[h]Πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν εὐηγγελίζετο 18
τὸν λαόν. Ὁ δὲ [i]Ἡρώδης[15] ὁ **τετράρχης**[16], [k]ἐλεγχόμενος 19 ι̅β̅
ὑπ' αὐτοῦ περὶ Ἡρωδιάδος[17] τῆς γυναικὸς **Φιλίππου**[18] β
τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ περὶ πάντων ὧν ἐποίησε
πονηρῶν ὁ Ἡρώδης[15], προσέθηκε **καὶ**[19] τοῦτο ἐπὶ πᾶσι, 20
καὶ[20] [l]κατέκλεισε τὸν **Ἰωάννην**[21] ἐν **τῇ**[22] φυλακῇ.
[m]Ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαόν, 21 ι̅γ̅
καὶ Ἰησοῦ βαπτισθέντος καὶ [n]προσευχομένου, ἀνεῳ- α

[a] ver. 12, 14. Act. 2. 37; 16. 30; 22. 10.
[b] Esa. 58. 7. Eph. 4. 28. Jac. 2. 15, 16.
[c] cap. 7. 29. Cf. Matt. 21. 32.
[d] Cf. cap. 19. 8.
[e] 1 Cor. 9. 7. 2 Cor. 11. 8.
[f] Joan. 1. 19, 20.
[g] ver. 16, 17, Matt. 3. 11, 12. Marc. 1. 7, 8.
[h] Cf. Joan. 20. 30; 21. 25.
[i] ver. 1.
[k] Matt. 14. 3, 4. Marc. 6. 17.
[l] Cf. Joan. 3. 24. Vid. Matt. 4. 12.
[m] ver. 21, 22, Matt. 3. 13—17. Marc. 1. 9—11.
[n] cap. 9. 28, 29.

[1] [καλὸν] LWH. [2] ποιήσωμεν LTTrWHR. [3] ἔλεγεν LTTrWHR. [4] εἶπαν LTTrWH. [5] ποιήσωμεν LTTrWHR. [6] τί ποιήσομεν (ποιήσωμεν TTr *marg.* WHR) καὶ ἡμεῖς L (*non marg.*) TTrWHR. [7] εἶπεν αὐτοῖς LTrWH. [8] μηδένα T. [9] Ἰωάνου TrWH. [10] Ἰωάνης TrWH. [11] λέγων πᾶσιν ὁ Ἰωάννης (Ἰώανης WH) TTr *marg.* WH. [12] + εἰς μετάνοιαν L. [13] διακαθᾶραι L *marg.* TTr *marg.* WHR. [14] συναγαγεῖν TWHR. [15] Ἡρῴδης WH. [16] τετραάρχης TWH. [17] Ἡρῳδιάδος WH. [18] —Φιλίππου LTTrWHR. [19] [καὶ] L. [20] —καὶ T[Tr *marg.*]WHR. [21] Ἰωάνην TrWH. [22] —τῇ LTTrWHR.

22 χθῆναι τὸν οὐρανόν, καὶ καταβῆναι τὸ Πνεῦμα τὸ
Ἅγιον σωματικῷ εἴδει ὡσεὶ[1] περιστερὰν ἐπ᾿ αὐτόν,
καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι, λέγουσαν[2], [a]"Σὺ εἶ
ιδ/γ 23 ὁ υἱός μου ὁ ἀγαπητός, ἐν σοὶ ηὐδόκησα[3,4]." Καὶ
αὐτὸς ἦν ὁ[5] Ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα [b]ἀρχόμενος[6],
24 ὤν, ὡς ἐνομίζετο, υἱὸς[7] [c]Ἰωσήφ, τοῦ Ἡλί[8], τοῦ
Ματθάτ[9], τοῦ Λευΐ[10], τοῦ Μελχί[11], τοῦ Ἰαννά[12], τοῦ
25 Ἰωσήφ, τοῦ Ματταθίου[13], τοῦ Ἀμώς, τοῦ Ναούμ, τοῦ
26 Ἐσλί[14], τοῦ Ναγγαί, τοῦ Μαάθ, τοῦ Ματταθίου[15], τοῦ
27 Σεμεΐ[16], τοῦ Ἰωσήφ[17], τοῦ Ἰούδα[18], τοῦ Ἰωαννᾶ[19], τοῦ
Ῥησά, τοῦ [d]Ζοροβάβελ, τοῦ [d]Σαλαθιήλ, τοῦ Νηρί[20],
28 τοῦ Μελχί[21], τοῦ Ἀδδί[22], τοῦ Κωσάμ, τοῦ Ἐλμω-
29 δάμ[23], τοῦ Ἤρ[24], τοῦ Ἰωσή[25], τοῦ Ἐλιέζερ, τοῦ
30 Ἰωρείμ, τοῦ Ματθάτ[26], τοῦ Λευΐ[27], τοῦ Συμεών, τοῦ
31 Ἰούδα, τοῦ Ἰωσήφ, τοῦ Ἰωνάν[28], τοῦ Ἐλιακείμ, τοῦ
Μελεᾶ[29], τοῦ Μαϊνάν[30], τοῦ Ματταθά, τοῦ [e]Ναθάν[31],
32 τοῦ Δαβίδ[32], [f]τοῦ Ἰεσσαί, τοῦ Ὠβήδ[33], τοῦ Βοόζ[34],
33 τοῦ Σαλμών[35], τοῦ Ναασσών, τοῦ Ἀμιναδάβ[36], τοῦ
34 Ἀράμ[37], τοῦ Ἐσρώμ[38], τοῦ Φαρές, τοῦ Ἰούδα, τοῦ
Ἰακώβ, τοῦ Ἰσαάκ, [g]τοῦ Ἀβραάμ, τοῦ Θάρα[39], τοῦ
35 Ναχώρ, τοῦ Σαρούχ[40], τοῦ Ῥαγαῦ, τοῦ Φαλέκ[41], τοῦ
36 Ἑβέρ[42], τοῦ Σαλά, τοῦ Καϊνάν[43], τοῦ Ἀρφαξάδ, τοῦ
37 Σήμ, [h]τοῦ Νῶε, τοῦ Λάμεχ, τοῦ Μαθουσάλα, τοῦ
Ἐνώχ[44], τοῦ Ἰαρέδ[45], τοῦ Μαλελεήλ[46], τοῦ Καϊνάν[47],
38 τοῦ Ἐνώς, τοῦ Σήθ, τοῦ Ἀδάμ, τοῦ Θεοῦ.

Ζ'. 4 [i]ἸΗΣΟΥΣ δὲ Πνεύματος Ἁγίου πλήρης[48] ὑπέστρε-
ιε/β

[a] Vid. Marc. 9. 7. Cf. cap. 2. 14.
[b] Matt. 4. 17. Act. 1. 1, 22. Cf. Num. 4. 3.
[c] ver. 23—27, cf. Matt. 1. 16, 15, 14, 13.
[d] Matt. 1. 12.
[e] 2 Sam. 5. 14. 1 Chr. 3. 5; 14. 4. Zech. 12. 12.
[f] ver. 32—34, Matt. 1. 6, 5, 4, 3, 2, 1.
[g] ver. 34—36, Gen. 11. 26—10. 1 Chr. 1. 1, 27—24.
[h] ver. 36—38, Gen. 5. 32, 33. 1 Chr. 1. 4—1.
[i] ver. 1—13, Matt. 4. 1—11. Marc. 1. 12, 13.

1 ὡς LTTrWHR. 2 —λέγουσαν LTTrWHR. 3 εὐδόκησα LTTrWH. 4 Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε WH *marg.* 5 —ὁ TTrWH. 6 ἀρχόμενος ὡσεὶ ἐτῶν τριάκοντα L *marg.* TTrWHR. 7 ὢν υἱός, ὡς ἐνομίζετο LTTrWHR (ὡς ἐνομ. R). 8 Ἡλὶ ER, Ἡλεί TTrWH. 9 Μαθθάθ T. 10 Λευεί TTrWH. 11 Μελχεί TTrWH. 12 Ἰανναί LTTrWHR. 13 Μαθθαθίου Tr. 14 Ἐσλεί TTrWH. 15 Ματαθίου Tr *marg.* 16 Σεμοίν L *marg.*, Σεμεείν TTrWHR. 17 Ἰωσήχ L *marg.* TTrWHR. 18 Ἰωδά TTrWHR. 19 Ἰωανάν LTTrWHR. 20 Νηρεί TTrWH. 21 Μελχεί TTrWH. 22 Ἀδδεί TTrWH. 23 Ἐλμαδάμ L, Ἐλμαδάμ TTrWHR. 24 Ἥρ L. 25 Ἰησοῦ LTTrWHR. 26 Μαθθάθ T, Μαθθάτ TrWH. 27 Λευεί TTrWH. 28 Ἰωνάμ TTrWHR. 29 Μελεά TTrWH. 30 [τοῦ Μεννᾶ] L, τοῦ Μεννά TTrWHR. 31 Ναθάμ L *marg.* TWH. 32 Δαυείδ LTTrWH. 33 Ἰωβήδ LTTr, Ἰωβήλ WH. 34 Βοός LTTrWH. 35 Σαλά TTr *marg.* WH.R *marg.* 36 —Ἀμιναδὰβ WHR *marg. partim.* 37 Ἀδμείν, τοῦ Ἀρνεί (*loco* Ἀράμ) TWHR *marg. partim* (Ἀδάμ *pro* Ἀδμείν WH *marg.*), *at* Ἀρνεί *tantum* Tr *marg.*, Ἀράμ LTrR *marg.* 38 Ἐσρών BEL (*non marg.*) Tr *marg.*, Ἑσρών WH. 39 Θαρά WH. 40 Σερούχ LTTrWH. 41 Φάλεγ L *marg.*, Φάλεκ L *text.* TrWH. 42 Ἔβερ Tr, Ἕβερ WHR. 43 Καινάμ TTr *marg.* WH. 44 Ἑνώχ WH. 45 Ἰάρεθ L, Ἰάρετ TWH. 46 Μελελεήλ T. 47 Καινάμ TWH. 48 πλήρης Πνεύματος ἁγίου LTTrWH.

ψεν ἀπὸ τοῦ Ἰορδάνου· καὶ ἤγετο [a]ἐν τῷ Πνεύματι
εἰς τὴν ἔρημον[1] ἡμέρας **τεσσαράκοντα**[2,3] πειραζόμενος 2
ὑπὸ τοῦ διαβόλου. καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ιε
ἡμέραις ἐκείναις· καὶ συντελεσθεισῶν αὐτῶν, **ὕστε-** ϛ
ρον[4] ἐπείνασε. **καὶ εἶπεν**[5] αὐτῷ ὁ διάβολος, "Εἰ υἱὸς 3
εἶ τοῦ Θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα γένηται ἄρτος."
Καὶ ἀπεκρίθη **Ἰησοῦς πρὸς αὐτόν**[6], **λέγων**[7], "Γέγραπ- 4
ται, [b]'Ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος,
ἀλλ' ἐπὶ παντὶ ῥήματι Θεοῦ[8].'" Καὶ [c]ἀναγαγὼν αὐτὸν 5
ὁ διάβολος[9] **εἰς ὄρος ὑψηλὸν**[10] ἔδειξεν αὐτῷ πάσας τὰς
βασιλείας [d]τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου· καὶ 6
εἶπεν αὐτῷ ὁ διάβολος, [e]"Σοὶ δώσω τὴν ἐξουσίαν
ταύτην ἅπασαν καὶ τὴν δόξαν αὐτῶν· ὅτι ἐμοὶ πα-
ραδέδοται, καὶ ᾧ **ἐὰν**[11] θέλω δίδωμι αὐτήν· σὺ οὖν 7
ἐὰν προσκυνήσῃς ἐνώπιόν **μου**[12], ἔσται σου **πάντα**[13]."
Καὶ ἀποκριθεὶς **αὐτῷ εἶπεν**[14] ὁ Ἰησοῦς, "**Ὕπαγε** 8
ὀπίσω μου, Σατανᾶ[15]· γέγραπται **γάρ**[16], [f]'**Προσκυνή-**
σεις Κύριον τὸν Θεόν σου[17], καὶ αὐτῷ μόνῳ λατρεύ-
σεις.'" **Καὶ ἤγαγεν**[18] αὐτὸν εἰς **Ἱερουσαλὴμ**[19], καὶ 9
[g]ἔστησεν **αὐτὸν**[20] ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ
εἶπεν **αὐτῷ**[21], "Εἰ **ὁ**[22] υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν
ἐντεῦθεν κάτω· γέγραπται γάρ, [h]'Ὅτι τοῖς ἀγγέλοις 10
αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε·' καὶ 11
'ὅτι ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς
λίθον τὸν πόδα σου.'" Καὶ ἀποκριθεὶς **εἶπεν αὐτῷ** 12
ὁ Ἰησοῦς[23], "Ὅτι εἴρηται, [i]'Οὐκ ἐκπειράσεις Κύριον
τὸν Θεόν σου.'" Καὶ συντελέσας πάντα πειρασμὸν 13
ὁ διάβολος ἀπέστη ἀπ' αὐτοῦ [k]ἄχρι καιροῦ.

ΚΑΙ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ 14 ιζ
Πνεύματος [l]εἰς τὴν Γαλιλαίαν· [m]καὶ φήμη ἐξῆλθε α

[a] Rev. 1. 10; 4. 2.
[b] Deut. 4. 3.
[c] Matt. 4. 8—10.
[d] Vid. cap. 2. 1.
[e] Rev. 13. 2. Cf. 1 Joan. 5. 19.
[f] Deut. 6. 13.
[g] Matt. 4. 5—7.
[h] Ps. 91. 11, 12.
[i] Deut. 6. 16.
[k] Act. 13. 11.
[l] Vid. Matt. 4. 12.
[m] ver. 37.

[1] ἐν τῇ ἐρήμῳ L (*non marg.*) TTrWHR. [2] τεσσεράκοντα TTr WH. [3] ἡμέρας τεσσαράκοντα, R. [4] —ὕστερον LTTrWHR. [5] εἶπεν δὲ LTTrWHR. [6] πρὸς αὐτὸν ὁ Ἰησοῦς LTTrWH. [7] —λέγων TTrWHR. [8] —ἀλλ' ἐπὶ παντὶ ῥήματι Θεοῦ T[Tr]WHR. [9] —ὁ διάβολος TTrWHR. [10] —εἰς ὄρος ὑψηλὸν TTr[L]WHR. [11] ἂν LTrWH. [12] ἐμοῦ LTTrWHR. [13] πᾶσα LTTrWHR. [14] εἶπεν αὐτῷ LTTr *marg.* WH (*non marg.*: *post* Ἰησοῦς *ponunt* TWH, *at* [ὁ] *tantum* WH *marg.*). [15] —ὕπαγε ὀπίσω μου, Σατανᾶ TTr[L] WHR. [16] —γάρ LTTrWHR. [17] Κύριον τὸν Θεόν σου προσκυνήσεις L (*non marg.*) TrWHR. [18] ἤγαγεν δὲ TTr (*non marg.*) WHR. [19] Ἰερουσαλήμ WH. [20] —αὐτὸν T[Tr]WH. [21] [αὐτῷ] WH. [22] —ὁ LTTrWHR. [23] ὁ Ἰησοῦς εἶπεν αὐτῷ Tr *marg.*

15 καθ' ὅλης τῆς περιχώρου περὶ αὐτοῦ. καὶ αὐτὸς [a] ἐδί-
δασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν, δοξαζόμενος ὑπὸ
ιη 16 πάντων. καὶ ἦλθεν εἰς τὴν[1] **Ναζαρέτ**[2], [b] οὗ ἦν τε-
ι **θραμμένος**[3]· καὶ εἰσῆλθε κατὰ τὸ εἰωθὸς αὐτῷ, ἐν τῇ
ἡμέρᾳ τῶν σαββάτων, εἰς τὴν συναγωγήν, καὶ [c] ἀνέστη
17 ἀναγνῶναι. καὶ ἐπεδόθη αὐτῷ βιβλίον **Ἡσαΐου τοῦ**
προφήτου[4]· καὶ [g] **ἀναπτύξας**[5] τὸ βιβλίον, εὗρε **τὸν**[6]
18 τόπον οὗ ἦν γεγραμμένον, [d] 'Πνεῦμα Κυρίου ἐπ' ἐμέ·
οὗ **ἕνεκεν**[7] ἔχρισέ με [e] **εὐαγγελίζεσθαι**[8] πτωχοῖς, ἀπέ-
σταλκέ με **ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρ-**
δίαν[9]· κηρύξαι[10] αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς
ἀνάβλεψιν· ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει·
19, 20 [f d] κηρύξαι[10] ἐνιαυτὸν Κυρίου δεκτόν.' Καὶ [g] πτύξας τὸ
βιβλίον, ἀποδοὺς [h] τῷ ὑπηρέτῃ, ἐκάθισε· καὶ πάντων
ἐν τῇ συναγωγῇ[11] **οἱ ὀφθαλμοὶ ἦσαν**[12] ἀτενίζοντες αὐτῷ.
21 Ἤρξατο δὲ λέγειν πρὸς αὐτούς, "Ὅτι σήμερον πε-
ιθ 22 πλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν." Καὶ
α πάντες ἐμαρτύρουν αὐτῷ, καὶ ἐθαύμαζον ἐπὶ [i] τοῖς
λόγοις τῆς χάριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στό-
ματος αὐτοῦ, καὶ ἔλεγον, [k] "**Οὐχ**[13] **οὗτός ἐστιν ὁ**[14] **υἱὸς**
κ 23 **Ἰωσήφ**[15];" Καὶ εἶπε πρὸς αὐτούς, "Πάντως ἐρεῖτέ
ι μοι τὴν παραβολὴν ταύτην, Ἰατρέ, θεράπευσον
σεαυτόν· ὅσα ἠκούσαμεν γενόμενα [l] **ἐν τῇ Καπερ-**
ναούμ[16], ποίησον καὶ ὧδε [b] ἐν τῇ πατρίδι σου."
κα 24 Εἶπε δέ, [m] "Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδεὶς προφήτης
α κβ 25 [n] δεκτός ἐστιν ἐν τῇ πατρίδι **αὐτοῦ**[17]. ἐπ' ἀληθείας δὲ
ι λέγω ὑμῖν, [18] πολλαὶ χῆραι ἦσαν [o] ἐν ταῖς ἡμέραις
Ἡλίου[19] ἐν τῷ Ἰσραήλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς **ἐπὶ**[20]
ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ
26 πᾶσαν τὴν γῆν· καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη
Ἠλίας[19], [p] εἰ μὴ εἰς **Σάρεπτα**[21] τῆς **Σιδῶνος**[22] πρὸς γυ-

[a] Vid. Matt. 4. 23.
[b] cap. 2. 39, 51. ver. 23. Matt. 4. 13. Cf. Marc. 6. 1, 2.
[c] Act. 13. 14—16; 17. 2.
[d] Esa. 61. 1, 2.
[e] Cf. Matt. 11. 5; 12. 18.
[f] Lev. 25. 10. Cf. 2 Cor. 6. 2.
[g] ver. 17.
[h] Act. 13. 5.
[i] Ps. 45. 2.
[k] Cf. Matt. 13. 55. Marc. 6. 3. Joan. 6. 42.
[l] ver. 31. Cf. Matt. 13. 54. Marc. 2. 1. Joan. 4. 46—54.
[m] Matt. 13. 57. Marc. 6. 4.
[n] Deut. 33. 24. Act. 10. 35.
[o] 1 Reg. 17. 1; 18. 1. Jac. 5. 17.
[p] 1 Reg. 17. 9.

[1] —τὴν LTTrWH. [2] Ναζαρά TWH, Ναζαρέθ ETr *marg.* [3] ἀνατεθραμμένος TWH *marg.* [4] τοῦ προφήτου Ἡσαΐου (Ἠσ. L, Ἠσαίου WH) L (*non marg.*) TTrWHR. [5] ἀνοίξας LTrWHR. [6] —τὸν T[WH]. [7] εἵνεκεν LTTrWH. [8] εὐαγγελίσασθαι LTTrWHR. [9] —ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν TTr[L]WHR. [10] κηρῦξαι LT. [12] ἦσαν οἱ ὀφθαλμοὶ L, *at* [11] οἱ ὀφθ. ἐν τῇ συν. ἦσαν TTr (*non marg.*) WHR. [13] οὐχὶ LTTrWH. [14] [ὁ] Tr. [15] ὁ (—ὁ TTr *marg.* WH) υἱός ἐστιν Ἰωσὴφ οὗτος L *marg.* TTr *marg.* WH. [16] εἰς τὴν (—τὴν LTr) Καφαρναούμ LTTrWH. [17] ἑαυτοῦ T. [18] +ὅτι T. [19] Ἠλίου *et* Ἠλίας SE, Ἡλείου *et* Ἡλείας T, Ἠλείου *et* Ἠλείας WH. [20] —ἐπὶ LTrWH (*non marg.*). [21] Σάρεφθα Tr *marg.* [22] Σιδωνίας LTTrWHR.

ναῖκα χήραν. καὶ πολλοὶ λεπροὶ ἦσαν [a]**ἐπὶ Ἐλισ-** 27
σαίου τοῦ προφήτου ἐν τῷ Ἰσραήλ[1]· καὶ οὐδεὶς αὐτῶν
ἐκαθαρίσθη, εἰ μὴ **Νεεμὰν**[2] ὁ Σύρος." Καὶ ἐπλή- 28
σθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ, ἀκούοντες
ταῦτα, καὶ ἀναστάντες [b]ἐξέβαλον αὐτὸν ἔξω τῆς 29
πόλεως, καὶ ἤγαγον αὐτὸν ἕως **τῆς**[3] ὀφρύος τοῦ
ὄρους, ἐφ' οὗ ἡ πόλις **αὐτῶν ᾠκοδόμητο**[4], **εἰς τὸ**[5]
κατακρημνίσαι αὐτόν· αὐτὸς δὲ [c]διελθὼν διὰ μέσου 30
αὐτῶν ἐπορεύετο.

[d]ΚΑΙ κατῆλθεν εἰς [e]**Καπερναοὺμ**[6] πόλιν [f]τῆς Γαλι- 31 κγ
λαίας· καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασι. καὶ 32 η/κδ
[g]ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν [h]ἐξουσίᾳ β
ἦν ὁ λόγος αὐτοῦ. Καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρω- 33 Η'.
πος ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου, καὶ ἀνέκραξε κε
φωνῇ μεγάλῃ, **λέγων**[7], "Ἔα, [i]τί ἡμῖν καὶ σοί, Ἰησοῦ 34 η
Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ
ἅγιος τοῦ Θεοῦ." Καὶ [k]ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, 35
λέγων, "Φιμώθητι, καὶ ἔξελθε **ἐξ**[8] αὐτοῦ." Καὶ
ῥίψαν[9] αὐτον τὸ δαιμόνιον εἰς τὸ μέσον ἐξῆλθεν
ἀπ' αὐτοῦ, μηδὲν βλάψαν αὐτόν. καὶ ἐγένετο θάμβος 36
ἐπὶ πάντας, καὶ συνελάλουν πρὸς ἀλλήλους, λέγον-
τες, "Τίς ὁ λόγος οὗτος, ὅτι ἐν [h]ἐξουσίᾳ καὶ δυνάμει
ἐπιτάσσει τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ ἐξέρχον-
ται;[10]" Καὶ [l]ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ εἰς πάντα 37
τόπον τῆς περιχώρου.

[m]Ἀναστὰς δὲ **ἐκ**[11] τῆς συναγωγῆς, εἰσῆλθεν εἰς τὴν 38 Θ'.
οἰκίαν Σίμωνος· ἡ[12] πενθερὰ δὲ τοῦ Σίμωνος ἦν [n]συν- κς
εχομένη πυρετῷ μεγάλῳ· καὶ ἠρώτησαν αὐτὸν περὶ β
αὐτῆς. καὶ ἐπιστὰς ἐπάνω αὐτῆς, [o]ἐπετίμησε τῷ πυ- 39
ρετῷ, καὶ ἀφῆκεν αὐτήν· **παραχρῆμα δὲ**[13] ἀναστᾶσα
διηκόνει αὐτοῖς.

[p]Δύνοντος δὲ τοῦ ἡλίου, **πάντες**[14] ὅσοι εἶχον ἀσθε- 40 Ι'.

[a] 2 Reg. 5. 1, 14. [b] Num. 15. 35. Act. 7. 58. [c] Joan. 8. 59 (var. lect.). Cf. Joan. 10. 39. [d] ver. 31—37, Marc. 1. 21—28. [e] Vid. Matt. 11. 23. [f] Matt. 4. 23. [g] Vid. Matt. 7. 28, 29. [h] ver. 36. [i] Vid. Matt. 8. 29. [k] ver. 39. [l] ver. 14. [m] ver. 38—41, Matt. 8. 14—16. Marc. 1. 29—34. [n] Matt. 4. 24. [o] ver. 35, 41. cap. 8. 24. Matt. 8. 26. Marc. 4. 39. [p] Cf. Marc. 1. 32.

[1] ἐν τῷ Ἰσραὴλ ἐπὶ Ἐλισαίου (Ἐλισαίου TrWH, Ἐλισσαίου R) τοῦ προφήτου LTTrWHR. [2] Ναιμὰν LTTrWH. [3] —τῆς TTrWHR. [4] ᾠκοδόμητο αὐτῶν TTrWH. [5] ὥστε LTTrWHR. [6] Καφαρναοὺμ LTTrWH. [7] —λέγων T[Tr]WHR. [8] ἀπ' LTTr (*non marg.*) WHR. [9] ῥῖψαν LT. [10] οὗτος; ὅτι...ἐξέρχονται. R (*non marg.*). [11] ἀπὸ TTrWHR. [12] —ἡ LTTrWHR. [13] καὶ παραχρῆμα L *marg.* Tr *marg.* [14] ἅπαντες Tr *marg.* WH (*non marg.*).

νοῦντας νόσοις ποικίλαις ἤγαγον αὐτοὺς πρὸς αὐτόν·
ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν [a]τὰς χεῖρας **ἐπιθεὶς**[1] **ἐθεράπευ-**
κζ/η 41 **σεν**[2] αὐτούς. **ἐξήρχετο**[3] δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν,
[b]**κράζοντα**[4] καὶ λέγοντα, "Ὅτι σὺ εἶ ὁ **Χριστὸς**[5] ὁ
υἱὸς τοῦ Θεοῦ." Καὶ [c]ἐπιτιμῶν [d]οὐκ εἴα αὐτὰ λαλεῖν,
κη/η 42 ὅτι ᾔδεισαν τὸν Χριστὸν αὐτὸν εἶναι. [e]Γενομένης δὲ
ἡμέρας ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον τόπον, καὶ οἱ
ὄχλοι **ἐζήτουν**[6] αὐτόν, καὶ ἦλθον ἕως αὐτοῦ, καὶ [f]κατ-
43 εῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐτῶν. ὁ δὲ
εἶπε πρὸς αὐτούς, "Ὅτι καὶ ταῖς ἑτέραις πόλεσιν
εὐαγγελίσασθαί **με δεῖ**[7] τὴν βασιλείαν τοῦ Θεοῦ·
44 ὅτι **εἰς**[8] τοῦτο **ἀπέσταλμαι**[9]." Καὶ ἦν κηρύσσων **ἐν**
ταῖς συναγωγαῖς[10] τῆς **Γαλιλαίας**[11].

κθ/ι 5 ἘΓΕΝΕΤΟ δὲ [g]ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ
τοῦ[12] ἀκούειν τὸν λόγον τοῦ Θεοῦ, καὶ αὐτὸς ἦν ἑστὼς
2 παρὰ τὴν λίμνην [h]Γεννησαρέτ· καὶ **εἶδε**[13] **δύο πλοῖα**[14]
ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ **ἁλιεῖς**[15] **ἀποβάντες ἀπ'**
3 **αὐτῶν**[16] **ἀπέπλυναν**[17] τὰ δίκτυα. ἐμβὰς δὲ εἰς ἓν τῶν
πλοίων, ὃ ἦν **τοῦ**[18] Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς
γῆς ἐπαναγαγεῖν ὀλίγον· [i]**καὶ καθίσας**[19] **ἐδίδασκεν ἐκ**
ΙΑ'. 4 **τοῦ πλοίου**[20] τοὺς ὄχλους. Ὡς δὲ ἐπαύσατο λαλῶν,
λ/θ εἶπε πρὸς τὸν Σίμωνα, [k]"Ἐπανάγαγε εἰς τὸ βάθος,
5 καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν." Καὶ
ἀποκριθεὶς **ὁ**[21] Σίμων εἶπεν **αὐτῷ**[22], [l]"Ἐπιστάτα, δι'
ὅλης **τῆς**[23] νυκτὸς κοπιάσαντες οὐδὲν ἐλάβομεν· ἐπὶ
6 δὲ τῷ ῥήματί σου χαλάσω **τὸ δίκτυον**[24]." Καὶ τοῦτο
ποιήσαντες, [m]συνέκλεισαν **ἰχθύων πλῆθος**[25] πολύ· **διερ-**
7 **ρήγνυτο**[26] δὲ **τὸ δίκτυον**[24] αὐτῶν, καὶ κατένευσαν [n]τοῖς
μετόχοις **τοῖς**[27] ἐν τῷ ἑτέρῳ πλοίῳ, τοῦ ἐλθόντας
συλλαβέσθαι αὐτοῖς· καὶ **ἦλθον**[28], καὶ ἔπλησαν ἀμ-

[a] Vid. Marc. 6. 23.
[b] Marc. 3. 11 (var. lect.).
[c] ver. 35.
[d] Vid. Matt. 12. 16.
[e] ver. 42—44, Marc. 1. 35—39.
[f] Rom. 1. 18. 2 Thess. 2. 6, 7.
[g] ver. 1—11, cf. Matt. 4. 18—22. Marc. 1. 16—20. Joan. 1. 40, 42. Cf. Matt. 14. 34.
[h] Num. 34. 11. Deut. 3. 17. Josh. 12. 3; 13. 27.
[i] Cf. Matt. 13. 2. Marc. 4. 1.
[k] Cf. Joan. 21. 6.
[l] cap. 8. 24, 45; 9. 33, 49; 17. 13.
[m] Cf. Joan 21. 3.
[n] Job 41. 6.

[1] ἐπιτιθεὶς L (*non marg.*) TTr (*non marg.*) WH. [2] ἐθεράπευεν TTr (*non marg.*) WH (*non marg.*). [3] ἐξήρχοντο TTr *marg.* WH *marg.* [4] κραυγάζοντα LTTr *marg.* [5] —ὁ Χριστὸς LTTrWHR. [6] ἐπεζήτουν LTTrWHR. [7] δεῖ με LTTr *marg.* WH *marg.* [8] ἐπὶ LTTr (*non marg.*) WHR. [9] ἀπεστάλην LTTrWHR. [10] εἰς τὰς συναγωγὰς TTr (*non marg.*) WHR. [11] Ἰουδαίας Tr *marg.* WH (*non marg.*) R *marg.* [12] καὶ L *marg.* TTr (*non marg.*) WHR. [13] ἴδεν T. [14] πλοιάρια δύο L *marg.*, πλοῖα δύο WH, δύο πλοιάρια TTr *marg.* WH *marg.* [15] ἁλεεῖς TWH. [16] ἀπ' αὐτῶν ἀποβάντες TTrWH, ἀποβάντες [ἀπ' αὐτῶν] Tr *marg.* [17] ἔπλυνον LTrWHR, ἔπλυναν TWH *marg.* [18] —τοῦ LTTrWH. [19] καθίσας δὲ L *marg.* TTr *marg.* WHR. [20] ἐν τῷ πλοίῳ ἐδίδασκεν TWH. [21] —ὁ TTrWH. [22] —αὐτῷ TWHR. [23] —τῆς LTTrWHR. [24] τὰ δίκτυα L *marg.* TTr (*non marg.*) WHR. [25] πλῆθος ἰχθύων TTrWH. [26] διερήγνυτο L, *at* διερρήσσετο (διερή. TTrWH) δὲ τὰ δίκτυα (τὸ δίκτυον Tr *marg.*) αὐτῶν L *marg.* TTrWHR. [27] —τοῖς TTr[L]WHR. [28] ἦλθαν TWH.

φότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά. ἰδὼν δὲ 8 λα ι
Σίμων Πέτρος προσέπεσε τοῖς γόνασι τοῦ[1] Ἰησοῦ,
λέγων, [a]"Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι,
Κύριε." Θάμβος γὰρ περιέσχεν αὐτὸν καὶ πάντας 9
τοὺς σὺν αὐτῷ, ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ᾗ[2] συνέ-
λαβον· ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην[3], υἱοὺς 10
Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι. Καὶ εἶπε λβ β
πρὸς τὸν Σίμωνα ὁ[4] Ἰησοῦς, "Μὴ φοβοῦ· ἀπὸ τοῦ
νῦν ἀνθρώπους ἔσῃ [b]ζωγρῶν." Καὶ καταγαγόντες τὰ 11
πλοῖα ἐπὶ τὴν γῆν, [c]ἀφέντες ἅπαντα[5], ἠκολούθησαν
αὐτῷ.

ΚΑΙ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πό- 12 ΙΒ'.
λεων, [d]καὶ ἰδού, ἀνὴρ πλήρης λέπρας· καὶ ἰδὼν[6] τὸν λγ β
Ἰησοῦν, πεσὼν ἐπὶ πρόσωπον, ἐδεήθη αὐτοῦ, λέγων,
"Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι." Καὶ 13
ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ, εἰπών[7], "Θέλω,
καθαρίσθητι." Καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν ἀπ'
αὐτοῦ. καὶ αὐτὸς παρήγγειλεν αὐτῷ μηδενὶ εἰπεῖν· 14
"ἀλλὰ ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προσ-
ένεγκε περὶ τοῦ καθαρισμοῦ σου, καθὼς προσέταξε
Μωσῆς[8], εἰς μαρτύριον αὐτοῖς[9]." [e]Διήρχετο δὲ μᾶλ- 15 λδ α
λον ὁ λόγος περὶ αὐτοῦ· καὶ συνήρχοντο ὄχλοι πολ-
λοὶ ἀκούειν, καὶ θεραπεύεσθαι ὑπ' αὐτοῦ[10] ἀπὸ τῶν
ἀσθενειῶν αὐτῶν· [f]αὐτὸς δὲ ἦν ὑποχωρῶν ἐν ταῖς 16 λε β
ἐρήμοις, καὶ προσευχόμενος.

Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἦν 17 λϛ β
διδάσκων· καὶ ἦσαν καθήμενοι [11]Φαρισαῖοι καὶ [g]νομο-
διδάσκαλοι, [h]οἳ ἦσαν ἐληλυθότες[12] ἐκ πάσης κώμης τῆς
Γαλιλαίας καὶ Ἰουδαίας καὶ Ἱερουσαλήμ[13]· καὶ [i]δύνα-
μις Κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτούς[14]. [k]καὶ ἰδού, ἄνδρες 18 ΙΓ'.
φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος, λζ α
καὶ ἐζήτουν αὐτὸν εἰσενεγκεῖν καὶ θεῖναι[15] ἐνώπιον
αὐτοῦ· καὶ μὴ εὑρόντες διὰ[16] ποίας εἰσενέγκωσιν 19

[a] Vid. Matt. 8. 34.
[b] 2 Tim. 2. 26.
[c] cap. 18. 28. Cf. ver. 28.
[d] ver. 12—14, Matt. 8. 2—4. Marc. 1. 40—44.
[e] Cf. Marc. 1. 45.
[f] Marc. 1. 35.
[g] Act. 5. 34. 1 Tim. 1. 7. Cf. cap. 2. 46.
[h] Vid. Marc. 1. 45.
[i] Marc. 5. 30. cap. 6. 19; 8. 46.
[k] ver. 18—26, Matt. 9. 2—8. Marc. 2. 3—12.

[1] γόνασιν (—τοῦ) LTTrWH. [2] ὧν TrWH (*non marg.*) R. [3] Ἰωάνην TrWH. [4] —ὁ [Tr] WH. [5] πάντα LTTrWH. [6] ἰδὼν δὲ TTr *marg.* WHR. [7] λέγων LTrWHR. [8] Μωυσῆς LTTrWH. [9] ἵνα εἰς μαρτύριον ᾖ ὑμῖν τοῦτο WH *marg.* [10] —ὑπ' αὐτοῦ LTTrWHR. [11] +οἱ L. [12] συνεληλυθότες L (*non marg.*). [13] Ἰερουσαλήμ WH. [14] αὐτόν TTr *marg.* WH.R (*non marg.*). [15] +[αὐτὸν] WH. [16] —διὰ LTTrWHR.

αὐτὸν διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ [a]τὸ δῶμα, [b]διὰ [a] 1 Sam. 9. 25, 26.
τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ Vid. Matt. 24. 17.
20 μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ. καὶ ἰδὼν τὴν πίστιν [b] Cf. Marc. 2. 4.
αὐτῶν, εἶπεν αὐτῷ[1], "Ἄνθρωπε, ἀφέωνταί σοι αἱ
21 ἁμαρτίαι σου." Καὶ [c]ἤρξαντο διαλογίζεσθαι οἱ γραμ- [c] Vid. cap. 3. 8.
ματεῖς καὶ οἱ Φαρισαῖοι, λέγοντες, "Τίς ἐστιν οὗτος
ὃς λαλεῖ βλασφημίας; τίς δύναται **ἀφιέναι ἁμαρτίας**[2],
22 εἰ μὴ μόνος ὁ Θεός;" Ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς
[d]διαλογισμοὺς αὐτῶν **ἀποκριθεὶς**[3] εἶπε πρὸς αὐτούς, [d] Vid. cap. 2. 35.
23 "Τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; τί ἐστιν
εὐκοπώτερον, εἰπεῖν, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου,
24 ἢ εἰπεῖν, **Ἔγειραι**[4] καὶ περιπάτει; ἵνα δὲ εἰδῆτε ὅτι
ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου[5] ἐπὶ τῆς γῆς ἀφιέ-
ναι ἁμαρτίας," εἶπε τῷ **παραλελυμένῳ**[6], "Σοὶ λέγω,
ἔγειραι[4], καὶ ἄρας τὸ κλινίδιόν σου, πορεύου εἰς τὸν
25 οἶκόν σου." Καὶ παραχρῆμα ἀναστὰς ἐνώπιον αὐτῶν,
ἄρας ἐφ' ᾧ[7] κατέκειτο, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ,
26 δοξάζων τὸν Θεόν. καὶ ἔκστασις ἔλαβεν ἅπαντας,
καὶ ἐδόξαζον τὸν Θεόν, καὶ [e]ἐπλήσθησαν φόβου, λέ- [e] cap. 7. 16. Cf. ver. 8.
γοντες, "Ὅτι **εἴδομεν**[8] παράδοξα σήμερον."
ΙΔ'. 27 Καὶ [f]μετὰ ταῦτα ἐξῆλθε, καὶ **ἐθεάσατο**[9] τελώνην, [f] ver. 27—38,
λη ὀνόματι [g]**Λευΐν**[10], καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ εἶπεν Matt. 9.
β 28 αὐτῷ, "Ἀκολούθει μοι." Καὶ καταλιπὼν **ἅπαντα**[11], 9—17.
λθ 29 ἀναστὰς **ἠκολούθησεν**[12] αὐτῷ. Καὶ ἐποίησε [h]δοχὴν Marc. 2. 14—22.
β μεγάλην **ὁ**[13] **Λευῒς**[14] αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ· καὶ ἦν [g] Vid. Matt. 9. 9.
[i]ὄχλος **τελωνῶν πολὺς**[15], καὶ ἄλλων οἳ ἦσαν μετ' **αὐτῶν**[16] [h] cap. 14. 13.
30 κατακείμενοι. καὶ ἐγόγγυζον [k]**οἱ γραμματεῖς αὐτῶν καὶ** [i] Cf. cap. 15. 1.
οἱ Φαρισαῖοι[17] πρὸς τοὺς μαθητὰς αὐτοῦ, λέγοντες, [k] Marc. 2. 16 (var. lect.). Act. 23. 9.
[l]"**Διατί**[18] μετὰ[19] τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ [l] Vid. Matt. 11. 19.
μ β 31 πίνετε;" Καὶ ἀποκριθεὶς ὁ[20] Ἰησοῦς εἶπε πρὸς αὐτούς,

[1] —*αὐτῷ* LTTrWHR. [2] *ἁμαρτίας ἀφεῖναι* L (*non marg.*) TTr WH. [3] —*ἀποκριθεὶς* L[Tr]. [4] *Ἔγειρε* LTTrWH. [5] *ὁ υἱὸς τοῦ ἀνθρώπου ἐξουσίαν ἔχει* L *marg.* TTrWH. [6] *παραλυτικῷ* LWH *marg.* [7] ὃ TTrWH. [8] *ειδαμεν* WH. [9] *εἶδεν* L *marg.* [10] *Λευείν* TTrWH. [11] *πάντα* LTTrWHR. [12] *ἠκολούθει* L (*non marg.*) TTrWHR. [13] —ὁ LTTrWH. [14] *Λευεὶς* TTrWH. [15] *πολὺς τελωνῶν* LTTrWH. [16] *αὐτοῦ* WH *marg.* [17] *Φαρισαῖοι καὶ οἱ γραμματεῖς αὐτῶν* LTTrWHR, *at* [*αὐτῶν*] Tr. [18] *Διὰ τί* WH. [19] +*τῶν* LTTrWHR. [20] [ὁ] WH.

[a] Cf. Joan. 9. 39, 41.
[b] cap. 2. 37.
[c] ver. 1—5, Matt. 12. 1—8. Marc. 2. 23—28.

"Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, **ἀλλ᾽**[1] οἱ
κακῶς ἔχοντες. [a]οὐκ ἐλήλυθα καλέσαι δικαίους, ἀλλὰ 32
ἁμαρτωλοὺς εἰς μετάνοιαν." Οἱ δὲ **εἶπον**[2] πρὸς αὐτόν, 33
"**Διατί**[3] οἱ μαθηταὶ **Ἰωάννου**[4] [b]νηστεύουσι πυκνά, καὶ
[b]δεήσεις ποιοῦνται, ὁμοίως καὶ οἱ τῶν Φαρισαίων· οἱ
δὲ σοὶ ἐσθίουσι καὶ πίνουσιν;[5]" Ὁ δὲ[6] εἶπε πρὸς αὐ- 34
τούς, "Μὴ δύνασθε τοὺς υἱοὺς τοῦ νυμφῶνος, ἐν ᾧ
ὁ νυμφίος μετ᾽ αὐτῶν ἐστί, ποιῆσαι **νηστεύειν**[7]; ἐλεύ- 35
σονται δὲ ἡμέραι,[8] **καὶ**[9] ὅταν ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ
νυμφίος, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις."
Ἔλεγε δὲ καὶ παραβολὴν πρὸς αὐτούς, "Ὅτι οὐδεὶς 36
ἐπίβλημα [10]ἱματίου καινοῦ [11]ἐπιβάλλει ἐπὶ ἱμάτιον
παλαιόν· εἰ δὲ μήγε, καὶ τὸ καινὸν **σχίζει**[12], καὶ τῷ
παλαιῷ οὐ **συμφωνεῖ**[13, 14]ἐπίβλημα τὸ ἀπὸ τοῦ καινοῦ.
καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ 37
δὲ μήγε, **ῥήξει**[15] **ὁ νέος οἶνος**[16] τοὺς ἀσκούς, καὶ αὐτὸς
ἐκχυθήσεται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται· ἀλλὰ οἶνον 38
νέον εἰς ἀσκοὺς καινοὺς βλητέον, **καὶ ἀμφότεροι συν-
τηροῦνται**[17]. **καὶ**[18] **οὐδεὶς πιὼν παλαιὸν εὐθέως**[19] **θέλει** 39
νέον· λέγει γάρ, Ὁ παλαιὸς χρηστότερός[20] **ἐστιν.**[21]"
[c]ΕΓΕΝΕΤΟ δὲ ἐν σαββάτῳ **δευτεροπρώτῳ**[22] διαπο- 6 μα/β
ρεύεσθαι αὐτὸν διὰ **τῶν**[23] σπορίμων· καὶ ἔτιλλον οἱ
μαθηταὶ αὐτοῦ **τοὺς στάχυας, καὶ ἤσθιον**[24], ψώχοντες
ταῖς χερσί[25]. τινὲς δὲ τῶν Φαρισαίων **εἶπον**[26] **αὐτοῖς**[27], 2
"Τί ποιεῖτε ὃ οὐκ ἔξεστι **ποιεῖν ἐν**[28] τοῖς σάββασι;"
Καὶ ἀποκριθεὶς **πρὸς αὐτοὺς εἶπεν ὁ Ἰησοῦς**[29], "Οὐδὲ 3
τοῦτο ἀνέγνωτε, ὃ ἐποίησε **Δαβίδ**[30], **ὁπότε**[31] ἐπείνασεν
αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ **ὄντες**[32]; **ὡς**[33] εἰσῆλθεν εἰς τὸν 4
οἶκον τοῦ Θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως
ἔλαβε, καὶ[34] ἔφαγε, καὶ ἔδωκε **καὶ**[35] τοῖς μετ᾽ αὐτοῦ,

[1] ἀλλὰ LTTrWH. [2] εἶπαν LTTrWH. [3] —Διατί T[Tr]WHR. [4] Ἰωάνου TrWH. [5] πίνουσιν. TWHR. [6] +Ἰησοῦς TTrWHR. [7] νηστεῦσαι TTr (*non marg.*) WH. [8] ἡμέραι· R. [9] [καὶ] L. [10] +ἀπὸ TTr[L]WHR. [11] +σχίσας TTrWHR. [12] σχίσει L (*non marg.*) TTr (*non marg.*) WHR. [13] συμφωνήσει LTTr (*non marg.*) WHR. [14] +τὸ TTrWHR. [15] ῥήσσει L *marg.* [16] ὁ οἶνος ὁ νέος LTTrWH. [17] —καὶ ἀμφότεροι συντηροῦνται T[Tr]WHR. [18] —καὶ WH (*non marg.*). [19] —εὐθέως TTr[Tr *marg.*]WHR. [20] χρηστός TTr (*non marg.*) WH.R (*non marg.*). [21] *Uncinis includit ver.* 39 WH. [22] —δευτεροπρώτῳ Tr[LTr *marg.*]WH (*non marg.*) R (*non marg.*). [23] —τῶν LTTrWHR. [24] καὶ ἤσθιον τοὺς στάχυας Tr (*non marg.*) WH. [25] +[ν αὐτῶν] L. [26] εἶπαν WH. [27] —αὐτοῖς TTr[L]WHR. [28] —ποιεῖν ἐν LTrWH, —ἐν TR. [29] ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτούς LTr *marg.*, ὁ Ἰησ. πρὸς αὐτ. εἶπ. T., *at* [ὁ] *tantum* WH. [30] Δαυείδ LTTrWH. [31] ὅτε LTrWHR. [32] —ὄντες LTr[Tr *marg.*]WH. [33] πῶς L (*non marg.*), [ὡς] TrWH. [34] λαβὼν LTrWHR. [35] —καὶ LTrWH.

οὓς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς;"
5 Καὶ ἔλεγεν αὐτοῖς, "Ὅτι[1] κύριός ἐστιν ὁ υἱὸς τοῦ
ἀνθρώπου καὶ τοῦ σαββάτου[2]."
ΙΕʹ. 6 Ἐγένετο δὲ καὶ[3] ἐν ἑτέρῳ σαββάτῳ [a] εἰσελθεῖν
μβ αὐτὸν εἰς τὴν συναγωγὴν καὶ διδάσκειν· καὶ ἦν ἐκεῖ
β 7 ἄνθρωπος[4], καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά. παρε-
τήρουν[5] δὲ αὐτὸν[6] οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι, εἰ
ἐν τῷ σαββάτῳ θεραπεύσει[7]· ἵνα εὕρωσι κατηγορίαν[8]
8 αὐτοῦ. [b] αὐτὸς δὲ ᾔδει τοὺς [c] διαλογισμοὺς αὐτῶν, καὶ
εἶπε[9] τῷ ἀνθρώπῳ[10] τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα,
"Ἔγειραι[11], καὶ στῆθι εἰς τὸ μέσον." Ὁ δὲ[12] ἀνα-
9 στὰς ἔστη. Εἶπεν οὖν[13] ὁ[14] Ἰησοῦς πρὸς αὐτούς,
"Ἐπερωτήσω[15] ὑμᾶς, τί[16] ἔξεστι τοῖς σάββασιν[17],
ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι; ψυχὴν σῶσαι ἢ ἀπο-
10 λέσαι;" Καὶ περιβλεψάμενος πάντας αὐτούς, εἶπε τῷ
ἀνθρώπῳ[18], "Ἔκτεινον τὴν χεῖρά σου." Ὁ δὲ ἐποίη-
σεν οὕτω[19]. καὶ ἀποκατεστάθη[20] ἡ χεὶρ αὐτοῦ ὑγιὴς[21]
11 ὡς ἡ ἄλλη[22]. αὐτοὶ δὲ ἐπλήσθησαν [d] ἀνοίας· καὶ διε-
λάλουν πρὸς ἀλλήλους, τί ἂν ποιήσειαν[23] τῷ Ἰησοῦ.
μγ 12 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις, ἐξῆλθεν[24] [e] εἰς
β τὸ ὄρος προσεύξασθαι· καὶ ἦν διανυκτερεύων ἐν τῇ
Ιϛʹ. 13 προσευχῇ τοῦ Θεοῦ. καὶ ὅτε ἐγένετο ἡμέρα, προσε-
μδ φώνησε τοὺς μαθητὰς αὐτοῦ· καὶ [f] ἐκλεξάμενος ἀπ'
β 14 αὐτῶν δώδεκα, οὓς καὶ [g] ἀποστόλους ὠνόμασε, [h] Σίμωνα
ὃν καὶ ὠνόμασε Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν
αὐτοῦ, [25] Ἰάκωβον καὶ Ἰωάννην[26], [25] Φίλιππον καὶ Βαρ-
15 θολομαῖον, [i] [25] Ματθαῖον[27] καὶ Θωμᾶν, [28] Ἰάκωβον τὸν
τοῦ[29] Ἀλφαίου[30] καὶ Σίμωνα τὸν καλούμενον Ζηλω-
16 τήν, [25] Ἰούδαν Ἰακώβου, καὶ Ἰούδαν Ἰσκαριώτην[31], ὃς
με 17 καὶ[32] ἐγένετο προδότης· καὶ [k] καταβὰς μετ' αὐτῶν,
α

[a] ver. 6—11, Matt. 12. 9—14. Marc. 3. 1—6.
[b] Vid. Matt. 9. 4.
[c] Vid. cap. 2. 35.
[d] 2 Tim. 3. 9.
[e] Matt. 14. 23. Marc. 1. 35. cap. 5. 16; 9. 28.
[f] Vid. Matt. 10. 1 & Act. 1. 2.
[g] Vid. Marc. 6. 30.
[h] ver. 14—16, Matt. 10. 2—4. Marc. 3. 16—19. Act. 1. 13.
[i] Vid. Matt. 9. 9.
[k] ver. 12.

[1] ὅτι [Tr] WH. [2] τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου WH *text.* (*non marg.*), —καὶ WH (*non marg.*) R. [3] —καὶ LTTrWHR. [4] ἄνθρωπος ἐκεῖ TTrWHR. [5] παρετηροῦντο LTTrWHR. [6] —αὐτὸν LTTr. [7] θεραπεύει LTTrWH (*non marg.*). [8] κατηγορεῖν TTr (*non marg.*) WHR. [9] εἶπεν δὲ L *marg.* TTrWHR. [10] ἀνδρὶ TTrWH. [11] Ἔγειρε LTTrWH. [12] καὶ LTTrWHR. [13] δὲ LTTrWHR. [14] [ὁ] WH. [15] Ἐπερωτῶ TTrWHR. [16] , εἰ LTTrWHR (*at* ὑμᾶς τί· E). [17] τῷ σαββάτῳ L (*non marg.*) TTrWHR. [18] εἶπεν αὐτῷ LTTrWHR. [19] —οὕτω TTrWHR. [20] ἀπεκατεστάθη LTTrWH. [21] —ὑγιὴς LTTrWHR. [22] —ὡς ἡ ἄλλη T[LTr]WHR. [23] ποιήσαιεν LTTrWH. [24] ἐξελθεῖν αὐτὸν TTrWHR. [25] +καὶ LTTr[Tr *marg.*]WHR. [26] Ἰωάνην TrWH. [27] Μαθθαῖον LTTrWH. [28] +καὶ T[WH]R. [29] —τὸν τοῦ TTrWHR. [30] Ἁλφαίου WH. [31] Ἰσκαριώθ LTTrWH. [32] —καὶ LT[Tr]WHR.

[a]ἔστη ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος[1] μαθητῶν αὐτοῦ,
καὶ [b]πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας
καὶ Ἱερουσαλήμ[2], καὶ τῆς παραλίου [c]Τύρου καὶ Σιδῶ-
νος, οἳ ἦλθον[3] ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν
νόσων αὐτῶν, [d]καὶ οἱ [e]ὀχλούμενοι[4] ὑπὸ[5] πνευμάτων 18
ἀκαθάρτων, καὶ[6] ἐθεραπεύοντο. καὶ πᾶς ὁ ὄχλος 19
[f]ἐζήτει[7] ἅπτεσθαι αὐτοῦ· ὅτι [g][h]δύναμις παρ' αὐτοῦ
[h]ἐξήρχετο, καὶ ἰᾶτο πάντας.
Καὶ αὐτὸς [i]ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς 20 ΙΖ'.
μαθητὰς αὐτοῦ ἔλεγε, [k]«Μακάριοι [l]οἱ πτωχοί, ὅτι μϛ/ε
ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. μακάριοι οἱ 21 μζ/ε
πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. μακάριοι οἱ κλαί-
οντες νῦν, ὅτι γελάσετε. μακάριοί ἐστε, ὅταν μισή- 22 μη/ε
σωσιν[8] ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν [m]ἀφορίσωσιν μθ/ε
ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ [n]ἐκβάλωσι τὸ ὄνομα ὑμῶν
ὡς πονηρόν, ἕνεκα[9] τοῦ υἱοῦ τοῦ ἀνθρώπου. χαίρετε[10] 23
ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ [o]σκιρτήσατε· ἰδοὺ γάρ, ὁ
μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ· κατὰ ταῦτα[11] γὰρ
ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν. Πλὴν 24 ν/ι
οὐαὶ ὑμῖν [p]τοῖς πλουσίοις, ὅτι [q]ἀπέχετε [r]τὴν παράκλη-
σιν ὑμῶν. οὐαὶ ὑμῖν, οἱ ἐμπεπλησμένοι[12], [s]ὅτι πεινά- 25
σετε. οὐαὶ ὑμῖν[13], [t]οἱ γελῶντες νῦν, [s]ὅτι πενθήσετε
καὶ κλαύσετε. οὐαὶ ὑμῖν[14], [u]ὅταν καλῶς ὑμᾶς εἴπωσι[15] 26 να/ι
πάντες[16] οἱ ἄνθρωποι· [x]κατὰ ταῦτα[11] γὰρ ἐποίουν τοῖς
[y]ψευδοπροφήταις οἱ πατέρες αὐτῶν.
«Ἀλλ'[17] ὑμῖν λέγω τοῖς ἀκούουσιν, [z]Ἀγαπᾶτε τοὺς 27 νβ/ε
ἐχθροὺς ὑμῶν, [a]καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς,
[b]εὐλογεῖτε τοὺς καταρωμένους ὑμῖν[18], καὶ[19] προσεύ- 28
χεσθε ὑπὲρ[20] τῶν [c]ἐπηρεαζόντων ὑμᾶς. [d]τῷ τύπτοντί σε 29 νγ/ε
ἐπὶ[21] τὴν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην· καὶ ἀπὸ τοῦ
αἴροντός σου τὸ ἱμάτιον, καὶ τὸν χιτῶνα μὴ κωλύ-
σῃς. παντὶ δὲ τῷ[22] αἰτοῦντί σε, δίδου· καὶ ἀπὸ τοῦ 30

[a] Cf. Matt. 5. 1. [b] Matt. 4. 25. Marc. 3. 7, 8. [c] Vid. Matt. 11. 21. [d] Matt. 4. 24. [e] Heb. 12. 15 (var. lect.). Cf. Act. 5. 16. [f] Vid. Matt. 14. 36. [g] Vid. cap. 5. 17. [h] Marc. 5. 30. [i] Joan. 6. 5; 17. 1. [k] ver. 20—23, cf. Matt. 5. 3—12. [l] Jac. 2. 5. [m] Cf. Joan. 16. 2. [n] Esa. 66. 5. [o] cap. 1. 44. [p] Amos 6. 1. Jac. 5. 1. [q] Vid. Matt. 6. 2. [r] Vid. cap. 2. 25. [s] Esa. 65. 13. [t] Prov. 14. 13. [u] Cf. Joan. 15. 19; 17. 14. 1 Joan. 4. 5. [x] Jer. 5. 31. [y] Vid. Matt. 7. 15. [z] ver. 35. Matt. 5. 44. [a] Prov. 25. 21, 22. Rom. 12. 20, 21. [b] Rom. 12. 14. 1 Cor. 4. 12. 1 Pet. 3. 9. [c] 1 Pet. 3. 16. [d] ver. 29, 30, Matt. 5. 39—42.

[1] +πολὺς TWHR. [2] Ἱερουσαλὴμ WH. [3] ἦλθαν WH. [4] ἐνοχλούμενοι TTrWHR. [5] ἀπὸ LTTrWHR. [6] —, καὶ LTTr WHR. [7] ἐζήτουν L *marg.* TTr (*non marg.*) WH. [8] μισήσουσιν L *marg.* [9] ἕνεκεν L. [10] χάρητε LTTrWHR. [11] τὰ αὐτὰ LTTrWHR, ταὐτὰ L *marg.* [12] +νῦν T[Tr]WHR. [13] —ὑμῖν TTrWHR. [14] —ὑμῖν LTTrWHR. [15] εἴπωσιν ὑμᾶς T. [16] [πάντες] Tr *marg.* [17] Ἀλλὰ LTTrWH. [18] ὑμᾶς L (*non marg.*) TTrWH. [19] —καὶ LTTrWHR. [20] περὶ TTr *marg.* WH. [21] —εἰς T. [22] —δὲ τῷ T[L]WHR, *at* [δὲ] τῷ Tr, [δὲ τῷ] Tr *marg.*

νδ 31 αἴροντος τὰ σά, μὴ ἀπαίτει. καὶ [a] καθὼς θέλετε ἵνα [a] Matt. 7. 12.
ε ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς[1] ποιεῖτε αὐτοῖς
νε 32 ὁμοίως. καὶ [b] εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία [b] Matt. 5. 46.
ε ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγα-
33 πῶντας αὐτοὺς ἀγαπῶσι. [c] καὶ[2] ἐὰν ἀγαθοποιῆτε τοὺς [c] 1 Pet. 2. 19, 20.
ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί[3]; καὶ
34 γάρ[4] οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσι. [cd] καὶ ἐὰν δανεί- [d] Cf. Matt. 5. 42.
ζητε[5] παρ' ὧν ἐλπίζετε ἀπολαβεῖν[6], ποία ὑμῖν χάρις
ἐστί[7]; καὶ γὰρ[8] οἱ[9] ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανεί-
35 ζουσιν[10], ἵνα ἀπολάβωσι τὰ ἴσα[11]. [e] πλὴν ἀγαπᾶτε [e] ver. 27.
τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε, καὶ δανείζετε[12]
μηδὲν[13] ἀπελπίζοντες[14]· καὶ ἔσται ὁ μισθὸς ὑμῶν πο-
λύς[15], [f] καὶ ἔσεσθε υἱοὶ [g] τοῦ[16] ὑψίστου· [b] ὅτι αὐτὸς χρη- [f] Cf. Matt. 5. 45.
36 στός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς. [h] γίνεσθε [g] Vid. cap. 1. 32.
οὖν[17] οἰκτίρμονες, καθὼς καὶ[18] ὁ πατὴρ ὑμῶν [i] οἰκτίρ- [h] Cf. Matt. 5. 48. Eph. 5. 1.
κϛ β 37 μων ἐστί. [k] καὶ μὴ κρίνετε, καὶ οὐ[19] μὴ κριθῆτε. [20] μὴ [i] Jac. 5. 11.
καταδικάζετε[21], καὶ οὐ μὴ καταδικασθῆτε[22]. [l] ἀπολύετε, [k] ver. 37—39, Matt. 7. 1, 2.
38 καὶ ἀπολυθήσεσθε· [m] δίδοτε, καὶ δοθήσεται ὑμῖν· μέ- [l] Vid. Matt. 6. 14.
τρον καλόν, πεπιεσμένον καὶ[23] σεσαλευμένον καὶ[23] [m] Prov. 19. 17.
ὑπερεκχυνόμενον[24] δώσουσιν [n] εἰς τὸν κόλπον ὑμῶν. τῷ [n] Ps. 79. 12. Esa. 65. 6, 7. Jer. 32. 18.
γὰρ αὐτῷ μέτρῳ ᾧ[25] μετρεῖτε, ἀντιμετρηθήσεται[26] ὑμῖν."
νζ ε 39 Εἶπε δὲ[27] παραβολὴν αὐτοῖς, [o] "Μήτι δύναται τυφ- [o] Matt. 15. 14.
λὸς τυφλὸν ὁδηγεῖν; οὐχὶ ἀμφότεροι εἰς βόθυνον
νη γ 40 πεσοῦνται[28]; [p] οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον [p] Matt. 10. 24. Joan. 15. 20.
αὐτοῦ[29]· κατηρτισμένος δὲ πᾶς ἔσται ὡς ὁ διδάσκαλος
νθ ε 41 αὐτοῦ. [q] τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ [q] ver. 41, 42, Matt. 7. 3—5.
τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφ-
42 θαλμῷ οὐ κατανοεῖς; ἢ[30] πῶς δύνασαι λέγειν τῷ
ἀδελφῷ σου, Ἀδελφέ, ἄφες ἐκβάλω τὸ κάρφος τὸ ἐν

[1] —καὶ ὑμεῖς [LTr *marg.*] WH (*non marg.*). [2] +γὰρ T[WH]. [3] ἐστὶν χάρις L. [4] —γὰρ T[Tr *marg.*] WH. [5] δανείσητε LTr *marg.*, δανείζετε L *marg.* Tr, δανίσητε TWH. [6] λαβεῖν TTr, [ἀπὸ] λαβεῖν Tr *marg.* WHR. [7] [ἐστίν] WH. [8] —γὰρ T[Tr] WHR. [9] —οἱ LTTrWHR. [10] δανίζουσιν TWH. [11] ἶσα SBETr. [12] δανίζετε TWH. [13] μηδένα TWH *marg.* R *marg.* [14] ἀφελπίζοντες L. [15] +[ἐν τοῖς οὐρανοῖς] L. [16] —τοῦ LTTrWH. [17] οὖν LTTrWHR. [18] —καὶ T[LTr] WHR. [19] ἵνα L (*non marg.*). [20] +καὶ T[Tr *marg.*] WHR. [21] δικάζετε Tr *marg.* [22] δικασθῆτε Tr *marg.* [23] —καὶ LTTrWHR. [24] ὑπερεκχυννόμενον LTTrWH. [25] ᾧ γὰρ μέτρῳ L (*non marg.*) TTrWHR. [26] μετρηθήσεται L *marg.* WH *marg.* [27] +καὶ LTTrWHR. [28] ἐμπεσοῦνται L (*non marg.*) TTrWHR. [29] —αὐτοῦ LTTrWHR. [30] —ἢ T[Tr] WH.

τῷ ὀφθαλμῷ σου, αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σου
δοκὸν οὐ βλέπων; ὑποκριτά, ἔκβαλε πρῶτον τὴν
δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις
ἐκβαλεῖν[1] τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελ-
[a] ver. 43, 44, Matt. 7. 16, 18, 20.
φοῦ σου. [a]οὐ γάρ ἐστι δένδρον καλὸν ποιοῦν καρπὸν 43 ξ
σαπρόν· οὐδὲ[2] δένδρον σαπρὸν ποιοῦν καρπὸν καλόν. ε
Vid. Matt. 7. 16.
[b] Vid. Matt. 12. 33, 34, 35.
[ba]ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται· 44 ξα
οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσι σῦκα, οὐδὲ ἐκ βάτου ε
τρυγῶσι σταφυλήν[3]. ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγα- 45 ξβ
θοῦ θησαυροῦ τῆς καρδίας **αὐτοῦ**[4] προφέρει τὸ ἀγαθόν· ε
καὶ ὁ πονηρὸς **ἄνθρωπος**[5] ἐκ τοῦ πονηροῦ **θησαυροῦ**
τῆς καρδίας αὐτοῦ[6] προφέρει τὸ πονηρόν· [b]ἐκ γὰρ
τοῦ[7] περισσεύματος **τῆς**[8] καρδίας **λαλεῖ τὸ στόμα**
αὐτοῦ[9].

[c] Vid. Matt. 7. 21. Cf. Mal. 1. 6.
[d] ver. 47—49, Matt. 7. 24—27.
[c]“Τί δέ με καλεῖτε, Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ[10] 46 ξγ
λέγω; [d]πᾶς ὁ ἐρχόμενος πρός με καὶ ἀκούων μου τῶν 47 γ ξδ
λόγων καὶ ποιῶν αὐτούς, ὑποδείξω ὑμῖν τίνι ἐστὶν ε
ὅμοιος. ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν, 48
ὃς ἔσκαψε καὶ ἐβάθυνε, καὶ ἔθηκε θεμέλιον ἐπὶ τὴν
πέτραν· **πλημμύρας**[11] δὲ γενομένης, **προσέρρηξεν**[12] ὁ
ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἴσχυσε σαλεῦσαι
αὐτήν· **τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν**[13]. ὁ δὲ ἀκούσας 49
καὶ μὴ ποιήσας ὅμοιός ἐστιν ἀνθρώπῳ **οἰκοδομήσαντι**[14]
οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου· ᾗ **προσέρρηξεν**[12]
[e] Amos 6. 11.
ὁ ποταμός, καὶ **εὐθέως ἔπεσε**[15], [e]καὶ ἐγένετο τὸ ῥῆγμα
τῆς οἰκίας ἐκείνης μέγα.”

ἘΠΕΙ **δὲ**[16] ἐπλήρωσε πάντα τὰ ῥήματα αὐτοῦ 7 ΙΗ′.
[f] ver. 1—10, Matt. 8. 5—13.
εἰς τὰς ἀκοὰς τοῦ λαοῦ, [f]εἰσῆλθεν εἰς **Καπερναούμ**[17]. ξε
Ἑκατοντάρχου δέ τινος δοῦλος κακῶς ἔχων ἤμελλε 2 γ
[g] Phil. 2. 29.
τελευτᾷν, ὃς ἦν αὐτῷ [g]ἔντιμος. ἀκούσας δὲ περὶ τοῦ 3
[h] Cf. Matt. 8. 5.
Ἰησοῦ, [h]ἀπέστειλε πρὸς αὐτὸν πρεσβυτέρους τῶν

[1] ἐκβαλεῖν *transferunt* TTr *marg.* WH *ad fin. vers.* [2] +πάλιν T[LTr]WHR. [3] σταφυλὴν τρυγῶσιν TTrWH. [4] −αὐτοῦ T[Tr *marg.*]WH. [5] −ἄνθρωπος TTr[L]WHR. [6] −θησαυροῦ τῆς καρδίας αὐτοῦ TTr[L]WHR. [7] −τοῦ LTTrWHR. [8] −τῆς LTTrWHR. [9] τὸ στόμα αὐτοῦ λαλεῖ L. [10] ὃ WH *marg.* [11] πλημμύρης TTrWH. [12] προσέρηξεν TTrWH. [13] διὰ τὸ καλῶς οἰκοδομεῖ(-ῆ- TWHR)σθαι αὐτήν TTrWHR (*text.*, *non marg.*). [14] οἰκοδομοῦντι L. [15] εὐθὺς συνέπεσεν TTrWHR. [16] Ἐπειδὴ LTTr (*non marg.*) WH (*non marg.*) R. [17] Καφαρναούμ LTTrWH.

Ιουδαίων, ἐρωτῶν αὐτόν, ὅπως ἐλθὼν διασώσῃ τὸν
4 δοῦλον αὐτοῦ. οἱ δὲ παραγενόμενοι πρὸς τὸν Ἰησοῦν
παρεκάλουν[1] αὐτὸν [a]σπουδαίως, λέγοντες, "Ὅτι ἄξιός
5 ἐστιν ᾧ **παρέξει**[2] τοῦτο· ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν,
6 καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν." Ὁ δὲ
Ἰησοῦς ἐπορεύετο σὺν αὐτοῖς. ἤδη δὲ αὐτοῦ οὐ μακ-
ρὰν ἀπέχοντος **ἀπὸ**[3] τῆς οἰκίας, ἔπεμψε **πρὸς αὐτὸν**[4] ὁ
ἑκατόνταρχος φίλους[5], λέγων **αὐτῷ**[6], "Κύριε, μὴ [b]σκύλ-
λου· οὐ γάρ **εἰμι ἱκανὸς**[7] ἵνα ὑπὸ τὴν στέγην μου
7 εἰσέλθῃς· διὸ οὐδὲ ἐμαυτὸν ἠξίωσα πρός σε ἐλθεῖν·
8 ἀλλὰ εἰπὲ λόγῳ, καὶ **ἰαθήσεται**[8] ὁ παῖς μου. καὶ γὰρ
ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος, ἔχων
ὑπ' ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ, Πορεύθητι,
καὶ πορεύεται· καὶ ἄλλῳ, Ἔρχου, καὶ ἔρχεται· καὶ
9 τῷ δούλῳ μου, Ποίησον τοῦτο, καὶ ποιεῖ." Ἀκούσας
δὲ ταῦτα ὁ Ἰησοῦς ἐθαύμασεν αὐτόν· καὶ στραφεὶς
τῷ ἀκολουθοῦντι αὐτῷ ὄχλῳ εἶπε, "Λέγω ὑμῖν, οὐδὲ
ξς 10 ἐν τῷ Ἰσραὴλ [c]τοσαύτην πίστιν εὗρον." Καὶ ὑπο-
ε στρέψαντες **οἱ πεμφθέντες εἰς τὸν οἶκον**[9] εὗρον τὸν
ἀσθενοῦντα[10] δοῦλον ὑγιαίνοντα.

ΙΘ'. 11 ΚΑΙ ἐγένετο ἐν **τῇ**[11] ἑξῆς, **ἐπορεύετο**[12] εἰς πόλιν κα-
ξζ λουμένην Ναΐν·[13] καὶ συνεπορεύοντο **αὐτῷ**[14] οἱ μαθηταὶ
ι 12 αὐτοῦ **ἱκανοί**[15], καὶ ὄχλος πολύς. ὡς δὲ ἤγγισε τῇ
πύλῃ τῆς πόλεως, καὶ ἰδού, ἐξεκομίζετο **τεθνηκώς**[16],
υἱὸς [d]**μονογενὴς**[17] τῇ μητρὶ αὐτοῦ, καὶ **αὕτη**[18] **ἦν χήρα**[19].
13 καὶ ὄχλος τῆς πόλεως [e]ἱκανὸς[20] σὺν αὐτῇ. καὶ ἰδὼν
αὐτὴν [f]ὁ Κύριος ἐσπλαγχνίσθη ἐπ' **αὐτῇ**[21], καὶ εἶπεν
14 αὐτῇ, "Μὴ κλαῖε." Καὶ προσελθὼν ἥψατο [g]τῆς
σοροῦ· οἱ δὲ βαστάζοντες ἔστησαν· καὶ εἶπε, "Νεα-
15 νίσκε[22], σοὶ λέγω, [h]ἐγέρθητι." Καὶ **ἀνεκάθισεν**[23] ὁ νε-
κρός, καὶ ἤρξατο λαλεῖν· καὶ **ἔδωκεν**[24] αὐτὸν τῇ μητρὶ

[a] Phil. 2. 28. 2 Tim. 1. 17. Titus 3. 13.
[b] Marc. 5. 35. cap. 8. 49. Cf. Matt. 9. 36 (var. lect.).
[c] Vid. Matt. 8. 10. Cf. ver. 50.
[d] cap. 8. 42; 9. 38.
[e] Act. 11. 24, 26; 19. 26.
[f] ver. 19.
[g] 2 Sam. 3. 31.
[h] cap. 8. 54. Vid. Marc. 5. 41.

[1] ἠρώτων T. [2] παρέξῃ LTTrWHR. [3] —ἀπὸ T. [4] —πρὸς αὐτὸν TWH. [5] φίλους ὁ ἑκατόνταρχος (-τοντάρχης TWH) L *marg.* TTrWH. [6] —αὐτῷ T. [7] ἱκανός εἰμι L *marg.* TTr (*non marg.*) WH. [8] ἰαθήτω TTr (*non marg.*) WH. [9] εἰς τὸν οἶκον οἱ πεμφθέντες LTTrWHR. [10] —ἀσθενοῦντα LTTr[Tr *marg.*] WHR. [11] τῷ L *marg.* Tr (*non marg.*) WH (*non marg.*) R (*non marg.*). [12] ἐπορεύθη TTr *marg.* WHR. [13] Ναίν, WH. [14] [αὐτῷ] Tr *marg.* [15] —ἱκανοί Tr[LTr *marg.*]WHR. [16] [τεθνηκὼς] L. [17] μονογενὴς υἱὸς L *marg.* TTrWH. [18] αὐτὴ WHR. [19] αὐτῇ χήρα B, —ἦν BE[Tr *marg.*]. [20] +ἦν ET[Tr]WHR. [21] αὐτὴν T. [22] Νεανίσκε, νεανίσκε WH *marg.* [23] ἐκάθισεν L *marg.* WH *marg.* [24] ἀπέδωκεν L *marg.*

[a] cap. 5. 26. Vid. cap. 1. 65. [b] Vid. Matt. 9. 8. [c] ver. 39. Vid. Matt. 21. 11. [d] cap. 1. 68.

[e] ver. 18—35, Matt. 11. 2—19. [f] (var. lect.) Marc. 16. 19 (Stephani textus). ver. 13. cap. 10. 1; 11. 39; 12. 42; 13. 15; 17. 5, 6; 18. 6; 19. 8; 22. 61; 24. 34. Joan. 4. 1 (var. lect.). [g] Vid. Marc. 8. 10.

[h] Mal. 3. 1. Vid. Marc. 1. 2.

αὐτοῦ. [a] ἔλαβε δὲ φόβος ἅπαντας[1], καὶ [b] ἐδόξαζον τὸν 16
Θεόν, λέγοντες, "Ὅτι [c] προφήτης μέγας ἐγήγερται[2] ἐν
ἡμῖν," καὶ "Ὅτι [d] ἐπεσκέψατο ὁ Θεὸς τὸν λαὸν αὐ-
τοῦ." Καὶ ἐξῆλθεν ὁ λόγος οὗτος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ 17 ξη/ι
περὶ αὐτοῦ, καὶ ἐν[3] πάσῃ τῇ περιχώρῳ.

[e] ΚΑΙ ἀπήγγειλαν Ἰωάννῃ[4] οἱ μαθηταὶ αὐτοῦ περὶ 18 Κ'.
πάντων τούτων. καὶ προσκαλεσάμενος δύο τινὰς 19 ξθ/ε
τῶν μαθητῶν αὐτοῦ ὁ Ἰωάννης[5] ἔπεμψε πρὸς [f] τὸν
Ἰησοῦν[6], λέγων, "Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον[7] προσ-
δοκῶμεν;" Παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες 20
εἶπον[8], "Ἰωάννης[5] ὁ Βαπτιστὴς ἀπέσταλκεν[9] ἡμᾶς
πρός σε, λέγων, Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον[10] προσδο-
κῶμεν;" Ἐν αὐτῇ[11] δὲ[12] τῇ ὥρᾳ ἐθεράπευσε πολλοὺς 21
ἀπὸ νόσων καὶ [g] μαστίγων καὶ πνευμάτων πονηρῶν
καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο τὸ[13] βλέπειν. καὶ 22
ἀποκριθεὶς ὁ Ἰησοῦς[14] εἶπεν αὐτοῖς, "Πορευθέντες
ἀπαγγείλατε Ἰωάννῃ[4] ἃ εἴδετε καὶ ἠκούσατε· ὅτι[15]
τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λεπροὶ
καθαρίζονται, [16] κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται,
πτωχοὶ εὐαγγελίζονται· καὶ μακάριός ἐστιν, ὃς ἐὰν 23
μὴ σκανδαλισθῇ ἐν ἐμοί." Ἀπελθόντων δὲ τῶν 24
ἀγγέλων Ἰωάννου[17], ἤρξατο λέγειν πρὸς τοὺς ὄχλους
περὶ Ἰωάννου[17], "Τί ἐξεληλύθατε[18] εἰς τὴν ἔρημον θεά-
σασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; ἀλλὰ 25
τί ἐξεληλύθατε[18] ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις
ἠμφιεσμένον; ἰδού, οἱ ἐν ἱματισμῷ ἐνδόξῳ καὶ τρυφῇ
ὑπάρχοντες ἐν τοῖς βασιλείοις εἰσίν. ἀλλὰ τί ἐξελη- 26
λύθατε[18] ἰδεῖν; προφήτην; ναί, λέγω ὑμῖν, καὶ πε-
ρισσότερον προφήτου. οὗτός ἐστι περὶ οὗ γέγραπται, 27 ο/β
[h] 'Ἰδού, ἐγὼ[19] ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσ-
ώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσ-
θέν σου.' Λέγω γὰρ[20] ὑμῖν, μείζων ἐν γεννητοῖς 28 οα/ε

[1] πάντας TrWH (*non marg.*). [2] ἠγέρθη LTTrWHR. [3] —ἐν T[LTr]WHR. [4] Ἰωάννει T, Ἰωάνει TrWH. [5] Ἰωάνης TrWH. [6] κύριον L *marg.* TTrWHR. [7] ἕτερον Tr (*non marg.*) WH. [8] εἶπαν LTTrWH. [9] ἀπέστειλεν WH. [10] ἕτερον Tr *marg.* WH *marg.* [11] ἐκείνῃ L *marg.* TTr (*non marg.*) WHR. [12] —δὲ LTTr[Tr *marg.*]WHR. [13] —τὸ LTTrWHR. [14] —ὁ Ἰησοῦς TTr[L]WHR. [15] — ὅτι L[Tr]WHR. [16] + [καὶ] Tr *marg.*, + καὶ WHR. [17] Ἰωάνου TrWH. [18] ἐξήλθατε LTrWHR. [19] —ἐγὼ LTTrWH. [20] —γὰρ TTrWHR.

γυναικῶν **προφήτης**[1] **Ἰωάννου**[2] **τοῦ Βαπτιστοῦ**[3] οὐδείς
ἐστιν. ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ
οβ 29 μείζων αὐτοῦ ἐστί.” Καὶ πᾶς ὁ λαὸς ἀκούσας καὶ
ι οἱ τελῶναι [a]ἐδικαίωσαν τὸν Θεόν, [b]βαπτισθέντες [c]τὸ [a] ver. 35. [b] cap. 3. 12. Cf. Matt. 21. 32.
30 βάπτισμα **Ἰωάννου**[2]· οἱ δὲ Φαρισαῖοι καὶ οἱ [d]νομικοὶ
[e]τὴν βουλὴν τοῦ Θεοῦ [f]ἠθέτησαν εἰς ἑαυτούς, μὴ βαπ- [c] Act. 18. 25; 19. 3.
ογ 31 τισθέντες ὑπ’ αὐτοῦ. **εἶπε δὲ ὁ Κύριος**[4], “Τίνι οὖν [d] Vid. Matt. 22. 35.
ε ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύτης; καὶ τίνι
32 εἰσὶν ὅμοιοι; ὅμοιοί εἰσι παιδίοις τοῖς ἐν ἀγορᾷ [e] Act. 13. 36; 20. 27.
καθημένοις, καὶ προσφωνοῦσιν ἀλλήλοις, **καὶ λέγου- [f] Marc. 7. 9. Gal. 2. 21. Heb. 10. 28.
σιν**[5], Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρη-
33 νήσαμεν **ὑμῖν**[6], καὶ οὐκ ἐκλαύσατε. ἐλήλυθε γὰρ
Ἰωάννης[7] ὁ Βαπτιστὴς **μήτε**[8] **ἄρτον ἐσθίων**[9] [g]**μήτε**[10] [g] Vid. cap. 1. 15.
34 **οἶνον πίνων**[11], καὶ λέγετε, Δαιμόνιον ἔχει. ἐλήλυθεν
ὁ υἱὸς τοῦ ἀνθρώπου **ἐσθίων**[12] καὶ πίνων, καὶ λέγετε,
Ἰδού, ἄνθρωπος φάγος καὶ οἰνοπότης, **τελωνῶν φίλος**[13]
35 καὶ ἁμαρτωλῶν. καὶ [a]ἐδικαιώθη ἡ σοφία ἀπὸ **τῶν
τέκνων αὐτῆς πάντων**[14].”
ΚΑʹ. 36 Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων, ἵνα φάγῃ
οδ μετ’ αὐτοῦ· καὶ εἰσελθὼν εἰς **τὴν οἰκίαν**[15] τοῦ Φαρι-
α 37 σαίου **ἀνεκλίθη**[16]. [h]Καὶ ἰδού, γυνὴ **ἐν τῇ πόλει, ἥτις** [h] ver. 37—39, cf. Matt. 26. 6—13. Marc. 14. 3—9. Joan. 12. 1—8. Cf. Matt. 21. 32.
ἦν[17] ἁμαρτωλός, [18]ἐπιγνοῦσα ὅτι **ἀνάκειται**[19] ἐν τῇ οἰκίᾳ
38 τοῦ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου, καὶ
στᾶσα **παρὰ τοὺς πόδας αὐτοῦ ὀπίσω**[20] κλαίουσα,
ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ **τοῖς δάκρυσι**[21], καὶ
ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς [i]**ἐξέμασσε**[22], καὶ [k]κατ- [i] ver. 44. Joan. 11. 2; 12. 3.
39 εφίλει τοὺς πόδας αὐτοῦ, καὶ ἤλειφε τῷ μύρῳ. ἰδὼν
δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν εἶπεν ἐν ἑαυτῷ [k] ver. 45. Vid. Matt. 26. 49.
λέγων, “Οὗτος, [l]εἰ ἦν [23]προφήτης, ἐγίνωσκεν ἂν τίς [l] Vid. ver. 16.
καὶ ποταπὴ ἡ γυνή, ἥτις ἅπτεται αὐτοῦ· ὅτι ἁμαρ-
τωλός ἐστι.”

[1] —προφήτης L[Tr]WHR. [2] Ἰωάνου TrWH. [3] —τοῦ Βαπτιστοῦ TTrWHR. [4] —εἶπε δὲ ὁ Κύριος LTTrWHR. [5] λέγοντες TTr, ἃ λέγει WHR. [6] —ὑμῖν TTrWHR. [7] Ἰωάνης TrWH. [8] μὴ TWHR. [9] ἔσθων (ἐσθίων T) ἄρτον LTTrWH. [10] μηδὲ T. [11] πίνων οἶνον LTTrWH. [12] ἔσθων LWH. [13] φίλος τελωνῶν LTTrWH. [14] πάντων τῶν τέκνων αὐτῆς LTrWH *text.* (*non marg.*), *at* τῶν τέκνων αὐτῆς [πάντων] Tr *marg.* [15] τὸν οἶκον LTTrWH. [16] κατεκλίθη LTTrWHR. [17] ἥτις ἦν ἐν τῇ πόλει L (*non marg.*) TTrWHR. [18] +καὶ LTTrWHR. [19] κατάκειται LTTrWHR. [20] ὀπίσω παρὰ τοὺς πόδας αὐτοῦ LTTrWHR. [21] τοῖς δάκρυσιν *transferunt* LTTrWH *in locum ante* ἤρξατο. [22] ἐξέμαξεν TR. [23] +[ὁ] Tr *marg.* WH, +ὁ R *marg.*

Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν, "Σί- 40
[y] cap. 11. 9; 12. 35. Cf. Rom. 13. 12. Gal. 6. 10.
[z] Vid. cap. 1. 4.
[a] Cf. Matt. 9. 29; 20. 34. Marc. 7. 33; 8. 23.

[1] Εἶπαν TWH. [2] —οὖν LTTrWHR. [3] γεύσηται LTTrWHR. [4] —σὺ LTTrWHR. [5] δοξάσω L (*non marg.*) TTrWH. [6] ἡμῶν TTr (*non marg.*) WH *marg.* [7] κἂν LTTrWH. [8] ὑμῖν LTr (*non marg.*) WH. [9] ἀλλὰ LTTrWH. [10] εἴδῃ T. [11] ἑώρακες Tr *marg.*, ἑώρακέν σε WH *marg.* [12] —ὁ TTrWH. [13] —διελθὼν *ad fin. capitis* LTTrWH.R (*non marg. sic legens* καὶ διελθὼν διὰ μέσου αὐτῶν ἐπορεύετο, καὶ παρῆγεν οὕτως). [14] οὕτως BE. [15] Ῥαββεί T. [16] —ὁ LTTrWH. [17] ἡμᾶς TTr (*non marg.*) WHR. [18] ἡμᾶς T. [19] ὡς Tr *marg.* WH *marg.* [20] ἐπέθηκεν Tr *marg.* WH (*non marg.*). [21] +(ν) αὐτοῦ LT[Tr *marg.*]WHR. [22] —τοῦ τυφλοῦ TTr[L]WHR. [23] [νίψαι] L.

[a]κολυμβήθραν τοῦ Σιλωάμ," ὃ ἑρμηνεύεται, ἀπεσταλ-
μένος. ἀπῆλθεν οὖν καὶ ἐνίψατο, καὶ [b]ἦλθε βλέπων.
8 Οἱ οὖν γείτονες καὶ οἱ θεωροῦντες αὐτὸν τὸ πρό-
τερον ὅτι **τυφλὸς**[1] ἦν, ἔλεγον, [c]"Οὐχ οὗτός ἐστιν ὁ
9 καθήμενος καὶ προσαιτῶν;" Ἄλλοι ἔλεγον, "Ὅτι
οὗτός ἐστιν·" ἄλλοι **δὲ**[2], "Ὅτι[3] ὅμοιος αὐτῷ ἐστιν."
10 Ἐκεῖνος[4] ἔλεγεν, "Ὅτι ἐγώ εἰμι." Ἔλεγον οὖν
αὐτῷ, "Πῶς[5] **ἀνεῴχθησάν**[6] **σου**[7] οἱ ὀφθαλμοί;"
11 Ἀπεκρίθη ἐκεῖνος **καὶ εἶπεν**[8], [d]"[9]Ἄνθρωπος[9] λεγόμενος
Ἰησοῦς πηλὸν ἐποίησε, καὶ ἐπέχρισέ μου τοὺς ὀφ-
θαλμούς, καὶ εἶπέ μοι,[10] "Ὕπαγε εἰς [a]**τὴν κολυμβήθραν**
τοῦ[11] Σιλωάμ, καὶ νίψαι. ἀπελθὼν **δὲ**[12] καὶ νιψά-
12 μενος, ἀνέβλεψα." [13]**Εἶπον**[14] **οὖν**[15] αὐτῷ, "Ποῦ ἐστιν
ἐκεῖνος;" Λέγει, "Οὐκ οἶδα."
13 Ἄγουσιν αὐτὸν πρὸς [k]τοὺς Φαρισαίους, τόν ποτε
14 τυφλόν. [e]ἦν δὲ σάββατον, **ὅτε**[16] τὸν πηλὸν ἐποίησεν
15 ὁ Ἰησοῦς, καὶ ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς. [f]πάλιν
οὖν ἠρώτων αὐτὸν καὶ οἱ Φαρισαῖοι, πῶς ἀνέβλεψεν.
ὁ δὲ εἶπεν αὐτοῖς, "Πηλὸν ἐπέθηκεν **ἐπὶ τοὺς ὀφθαλ-**
16 **μούς μου**[17], καὶ ἐνιψάμην, καὶ βλέπω." [g]Ἔλεγον οὖν
ἐκ τῶν Φαρισαίων τινές, "**Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστι**
παρὰ τοῦ Θεοῦ[18], ὅτι τὸ σάββατον οὐ τηρεῖ." Ἄλλοι[19]
ἔλεγον, "Πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα
17 σημεῖα ποιεῖν;" Καὶ [h]σχίσμα ἦν ἐν αὐτοῖς. Λέ-
γουσι[20] τῷ τυφλῷ πάλιν, "**Σὺ τί**[21] λέγεις περὶ αὐτοῦ,
ὅτι **ἤνοιξέ**[22] σου τοὺς ὀφθαλμούς;" Ὁ δὲ εἶπεν, "Ὅτι
18 [i]προφήτης ἐστίν." Οὐκ ἐπίστευσαν οὖν [k]οἱ Ἰουδαῖοι
περὶ αὐτοῦ, ὅτι **τυφλὸς ἦν**[23] καὶ ἀνέβλεψεν, ἕως ὅτου
19 ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀναβλέψαντος, καὶ

[a] ver. 11. Neh. 3. 15. Vid. Luc. 13. 4.
[b] cap. 11. 37.
[c] Cf. Act. 3. 10.
[d] ver. 6, 7.
[e] cap. 5. 9.
[f] ver. 10.
[g] cap. 5. 10. Vid. Matt. 12. 2.
[h] cap. 10. 19. Vid. cap. 7. 43.
[i] Vid. Matt. 21. 11.
[k] Cf. ver. 18.

[1] *προσαίτης* LTTrWHR. [2] —*δέ* TTr (*non marg.*) [L]WHR. [3] *ἔλεγον Οὐχί, ἀλλ'* (*ἀλλὰ* TWH) TTr (*non marg.*) WHR, *ἔλεγον* [*Οὐχί, ἀλλ'*] L *text.*, *ἔλεγον* [*ὅτι*] L *marg.* [4] +*δὲ* L. [5] +*οὖν* T[LWH]R. [6] *ἠνεῴχθησάν* LTTrWH. [7] *σοι* BEL *marg.* [8] —*καὶ εἶπεν* TTr[L]WHR. [9] +*ὁ* TTrWHR. [10] +*ὅτι* TTrWHR. [11] *τὸν* LTTrWHR. [12] *οὖν* LTTrWHR. [13] +[*καὶ*] Tr (*non marg.*) WHR. [14] *εἶπαν* LTTrWH. [15] —*οὖν* LTTrWHR, [*οὖν*] Tr *marg.* [16] *ἐν ᾗ ἡμέρᾳ* LTTrWHR. [17] *μου ἐπὶ τοὺς ὀφθαλμούς* LTTrWHR. [18] *Οὐκ ἔστιν οὗτος παρὰ Θεοῦ ὁ ἄνθρωπος* L *text.* TTrWHR, *at* L *marg.* Tr *marg.* *Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν παρὰ Θεοῦ.* [19] + *δὲ* R[Tr *marg.* WH]. [20] +(*ν*) *οὖν* LTTrWHR. [21] *Τί σὺ* TrWHR. [22] *ἠνέῳξέν* TrWH. [23] *ἦν τυφλὸς* L *marg.* TTr (*non marg.*) WH.

ἠρώτησαν αὐτοὺς λέγοντες, "Οὗτός ἐστιν ὁ υἱὸς
ὑμῶν, ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη; πῶς
οὖν ἄρτι βλέπει[1];" Ἀπεκρίθησαν[2] αὐτοῖς[3] οἱ γονεῖς 20
αὐτοῦ καὶ εἶπον[4], "Οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς
ἡμῶν, καὶ ὅτι τυφλὸς ἐγεννήθη· πῶς δὲ νῦν βλέπει, 21
οὐκ οἴδαμεν· ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμούς,
ἡμεῖς οὐκ οἴδαμεν· αὐτὸς ἡλικίαν ἔχει· αὐτὸν ἐρωτή-
σατε[5], αὐτὸς περὶ αὐτοῦ[6] λαλήσει." Ταῦτα εἶπον[7] οἱ 22
γονεῖς αὐτοῦ, [a]ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους· [b]ἤδη
γὰρ συνετέθειντο οἱ Ἰουδαῖοι, ἵνα ἐάν τις αὐτὸν
ὁμολογήσῃ Χριστόν, [c]ἀποσυνάγωγος γένηται. διὰ 23
τοῦτο οἱ γονεῖς αὐτοῦ εἶπον[8], "Ὅτι [d]ἡλικίαν ἔχει,
αὐτὸν ἐρωτήσατε[9]." Ἐφώνησαν οὖν ἐκ δευτέρου τὸν 24
ἄνθρωπον[10] ὃς ἦν τυφλός, καὶ εἶπον[11] αὐτῷ, [e]"Δὸς
δόξαν τῷ Θεῷ· ἡμεῖς οἴδαμεν ὅτι [f]ὁ ἄνθρωπος οὗτος[12]
ἁμαρτωλός ἐστιν." Ἀπεκρίθη οὖν ἐκεῖνος καὶ εἶπεν[13], 25
"Εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα· ἓν οἶδα, ὅτι [g]τυφλὸς
ὢν[14], ἄρτι βλέπω." Εἶπον[7] δὲ[15] αὐτῷ πάλιν[16], "Τί 26
ἐποίησέ σοι; πῶς ἤνοιξέ σου τοὺς ὀφθαλμούς;"
Ἀπεκρίθη αὐτοῖς, [h]"Εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκού- 27
σατε· τί[17] πάλιν θέλετε ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε
αὐτοῦ μαθηταὶ γενέσθαι;" [18]Ἐλοιδόρησαν οὖν[19] αὐτόν, 28
καὶ εἶπον[20], "Σὺ εἶ μαθητὴς[21] ἐκείνου· ἡμεῖς δὲ τοῦ
Μωσέως[22] ἐσμὲν μαθηταί. ἡμεῖς οἴδαμεν ὅτι Μωσῇ[23] 29
λελάληκεν ὁ Θεός· τοῦτον δὲ [i]οὐκ οἴδαμεν πόθεν
ἐστίν." Ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς, 30
"Ἐν γὰρ τούτῳ[24] [25]θαυμαστόν ἐστιν, [k]ὅτι ὑμεῖς οὐκ
οἴδατε πόθεν ἐστί, καὶ ἀνέῳξέ[26] μου τοὺς ὀφθαλμούς.
οἴδαμεν δὲ[27] ὅτι [l]ἁμαρτωλῶν ὁ Θεὸς[28] οὐκ ἀκούει· ἀλλ' 31
ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ,

[a] Vid. cap. 7. 13.
[b] Cf. cap. 7. 45—52.
[c] cap. 12. 42; 16. 2.
[d] ver. 21.
[e] Vid. Luc. 17. 18.
[f] ver. 16.
[g] ver. 18, 24.
[h] ver. 15.
[i] cap. 7. 28; 8. 14.
[k] Cf. cap. 8. 10.
[l] Job 27. 9. Ps. 66. 18. Prov. 28. 9.

[1] βλέπει ἄρτι L (*non marg.*) TTrWHR. [2] +οὖν LTWH. [3] —αὐτοῖς TTr[L]WHR. [4] εἶπαν TTrWH. [5] αὐτὸν ἐρωτήσατε, αὐτὸς (—αὐτὸς TTr) ἡλικίαν ἔχει LTTrWHR. [6] ἑαυτοῦ TTr (*non marg.*) WHR. [7] εἶπαν WH. [8] εἶπαν LTTrWH. [9] ἐπερωτήσατε TWH (*non marg.*). [10] τὸν ἄνθρωπον ἐκ δευτέρου L (*non marg.*) TTrWHR. [11] εἶπαν LTTrWH. [12] οὗτος ὁ ἄνθρωπος LTr *marg.* WH. [13] —καὶ εἶπεν LTTrWHR. [14] ἤμην καὶ Tr *marg.* [15] οὖν LTTrWHR. [16] —πάλιν LTTrWHR, [πάλιν] Tr *marg.* [17] +οὖν WH *marg.* [18] +καὶ [Tr *marg.*] WHR, +οἱ δὲ Tr. [19] —οὖν LTTrWHR. [20] εἶπαν TWH. [21] μαθητὴς εἶ LTTrWH. [22] Μωυσέως LTTrWH. [23] Μωυσεῖ LTTrWH. [24] τούτῳ γὰρ TTrWH. [25] +τὸ TTrWHR. [26] ἤνοιξέν L(-ξέ) TTrWH. [27] —δὲ LTTrWHR. [28] ὁ Θεὸς ἁμαρτωλῶν L (*non marg.*) TrWH.

32 [a]τούτου ἀκούει. [b]ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη, ὅτι
33 ἤνοιξέ[1] τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου. [c]εἰ μὴ
ἦν οὗτος παρὰ Θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν."
34 Ἀπεκρίθησαν καὶ εἶπον[2] αὐτῷ, [d]"Ἐν ἁμαρτίαις σὺ
ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς;" Καὶ ἐξέ-
35 βαλον αὐτὸν ἔξω. Ἤκουσεν ὁ[3] Ἰησοῦς ὅτι ἐξέβαλον
αὐτὸν ἔξω· καὶ εὑρὼν αὐτόν, εἶπεν αὐτῷ[4], [e]"Σὺ πισ-
36 τεύεις εἰς [f]τὸν υἱὸν τοῦ Θεοῦ[5];" Ἀπεκρίθη ἐκεῖνος
καὶ εἶπε[6], [g]"[7]Τίς ἐστι,[8] Κύριε, ἵνα πιστεύσω εἰς αὐ-
37 τόν;" Εἶπε δὲ[9] αὐτῷ ὁ Ἰησοῦς, "Καὶ ἑώρακας[10]
38 αὐτόν, καὶ [h]ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν." Ὁ δὲ
ἔφη, "Πιστεύω, Κύριε·" καὶ [i]προσεκύνησεν αὐτῷ.
39 καὶ εἶπεν ὁ Ἰησοῦς, [k]"Εἰς κρίμα[11] ἐγὼ εἰς τὸν κόσ-
μον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι,
40 καὶ [l]οἱ βλέποντες τυφλοὶ γένωνται." Καὶ[12] ἤκουσαν
ἐκ τῶν Φαρισαίων ταῦτα[13] οἱ ὄντες μετ' αὐτοῦ[14], καὶ
41 εἶπον[15] αὐτῷ, [m]"Μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν;" Εἶπεν
αὐτοῖς ὁ[16] Ἰησοῦς, "Εἰ τυφλοὶ ἦτε, [n]οὐκ ἂν εἴχετε
ἁμαρτίαν· νῦν δὲ λέγετε, Ὅτι βλέπομεν· ἡ οὖν[17]
ἁμαρτία ὑμῶν μένει.

10 "ἈΜΗΝ ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος
διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ
ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος [o]κλέπτης ἐστὶ καὶ
2 λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, [p]ποιμήν
3 ἐστι τῶν προβάτων. τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ
τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια
4 πρόβατα καλεῖ[18] [q]κατ' ὄνομα, καὶ ἐξάγει αὐτά. καὶ[19]
ὅταν τὰ ἴδια πρόβατα[20] ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν
πορεύεται· καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι
5 οἴδασι τὴν φωνὴν αὐτοῦ. [r]ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκο-
λουθήσωσιν[21], ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ· ὅτι οὐκ
6 οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν." Ταύτην τὴν

[a] Ps. 34. 15; 145. 18, 19. Prov. 15. 29.
[b] Luc. 1. 70.
[c] ver. 16. Cf. cap. 3. 2; 10. 21.
[d] Cf. ver. 2, 3.
[e] 1 Joan. 5. 13.
[f] (var. lect.) Vid. Matt. 14. 33.
[g] Cf. Rom. 10. 14.
[h] Cf. cap. 4. 26.
[i] Vid. Matt. 8. 2.
[k] Vid. cap. 5. 22.
[l] Cf. Matt. 9. 13. 2 Cor. 2. 16.
[m] Cf. Rom. 2. 19.
[n] cap. 15. 22, 24. Cf. Jac. 4. 17.
[o] ver. 8.
[p] ver. 11.
[q] 3 Joan. 15.
[r] Cf. ver. 12, 13.

[1] ἠνέῳξέν TrWH. [2] εἶπαν LTTrWH. [3] —ὁ T[Tr]WH. [4] —αὐτῷ T[Tr]WHR. [5] [s] ἀνθρώπου TWH.R marg. [6] —καὶ εἶπε LTr marg., at [καὶ εἶπεν] WH text., om. ἀπεκρίθη ἐκεῖνος [καὶ εἶπεν] WH marg. [7] +Καὶ TTrWHR. [8] +ἔφη Tr marg. WH. marg. [9] (εἶπεν) —δὲ LTTrWHR. [10] ἑώρακας Tr. [11] κρῖμα SBL. [12] —Καὶ TTrWHR. [13] —ταῦτα T. [14] μετ' αὐτοῦ ὄντες LTTrWHR. [15] εἶπαν TWH. [16] [ὁ] WH. [17] —οὖν TTr[L]WHR, at αἱ ἁμαρτίαι ὑμῶν μένουσιν Tr marg. [18] φωνεῖ LTTrWHR. [19] —καὶ TTrWHR, [καὶ] Tr marg. [20] πάντα LTTrWHR. [21] ἀκολουθήσουσιν LTTrWHR.

[s] cap. 3. 13, &c.

[a]παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ
ἔγνωσαν τίνα ἦν[1] ἃ ἐλάλει αὐτοῖς.
Εἶπεν οὖν πάλιν αὐτοῖς[2] ὁ[3] Ἰησοῦς, "Ἀμὴν ἀμὴν 7
λέγω ὑμῖν, ὅτι[4] [b]ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων.
πάντες ὅσοι πρὸ ἐμοῦ ἦλθον[5], [c]κλέπται εἰσὶ καὶ λῃσ- 8
ταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. [b]ἐγώ 9
εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται,
καὶ [d]εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ [e]νομὴν εὑρήσει.
ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ 10
καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον [f]ἵνα ζωὴν ἔχωσι, καὶ [g]περισ-
σὸν ἔχωσιν. [h]Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν 11
ὁ καλὸς [i]τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβά-
των. ὁ μισθωτὸς δέ[6], καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ 12
εἰσὶ[7] τὰ πρόβατα ἴδια, θεωρεῖ [k]τὸν λύκον ἐρχόμενον,
καὶ [l]ἀφίησι τὰ πρόβατα, καὶ φεύγει· καὶ ὁ λύκος
[m]ἁρπάζει αὐτά, καὶ [n]σκορπίζει τὰ πρόβατα. ὁ δὲ μισ- 13
θωτὸς φεύγει[8], ὅτι μισθωτός ἐστι, καὶ [o]οὐ μέλει αὐτῷ
περὶ τῶν προβάτων. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· 14
καὶ [p]γινώσκω τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν[9].
καθὼς [q]γινώσκει με ὁ πατήρ, κἀγὼ γινώσκω τὸν πα- 15
τέρα· καὶ [i]τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβά-
των. καὶ [r]ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς 16
[s]αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ[10] ἀγαγεῖν, καὶ [t]τῆς
φωνῆς μου ἀκούσουσι· καὶ [u]γενήσεται[11] μία ποίμνη,
[x]εἷς ποιμήν. [y]διὰ τοῦτο ὁ πατήρ με[12] ἀγαπᾷ, ὅτι ἐγὼ 17
[z]τίθημι [i]τὴν ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν.
οὐδεὶς αἴρει[13] αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' [i]ἐγὼ τίθημι αὐτὴν 18
ἀπ' ἐμαυτοῦ. [a]ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξου-
σίαν ἔχω πάλιν λαβεῖν αὐτήν· [b]ταύτην τὴν ἐντολὴν
ἔλαβον παρὰ τοῦ πατρός μου." [c]Σχίσμα οὖν[14] πάλιν 19
ἐγένετο ἐν τοῖς Ἰουδαίοις διὰ τοὺς λόγους τούτους.
ἔλεγον δὲ[15] πολλοὶ ἐξ αὐτῶν, [d]"Δαιμόνιον ἔχει καὶ 20
[e]μαίνεται· τί αὐτοῦ ἀκούετε;" [a]Ἄλλοι ἔλεγον, "Ταῦτα 21

[1] ἡ Tr. [2] αὐτοῖς πάλιν L, —αὐτοῖς WH, —πάλιν αὐτοῖς T. [3] [ὁ] WH. [4] —ὅτι Tr[L]WHR. [5] ἦλθον πρὸ ἐμοῦ LTrWHR, —πρὸ ἐμοῦ T. [6] —δὲ T[Tr]WHR, *at* [δὲ] μισθωτὸς Tr *marg.* [7] ἔστιν LTTrWH. [8] —τὰ πρόβατα. ὁ δὲ μισθωτὸς φεύγει TTr[LTr *marg.*]WHR. [9] γινώσκουσίν (-σί TWH) με τὰ ἐμά LTTrWHR. [10] δεῖ με LTTrWHR. [11] γενήσονται TrWHR. [12] με ὁ πατὴρ LTTrWHR. [13] ἦρεν WH (*non marg.*) R *marg.* [14] —οὖν LTTrWHR. [15] οὖν T.

[a] cap. 16. 25, 29. 2 Pet. 2. 22. [b] ver. 9. Cf. Eph. 2. 18. [c] ver. 1. [d] Num. 27. 17. Deut. 31. 2. 1 Sam. 18. 13. 1 Reg. 3. 7. Act. 1. 21. Cf. Act. 9. 28. [e] Ps. 23. 2. Ezek. 34. 14. [f] cap. 5. 40. [g] Rom. 5. 17. [h] ver. 2. Esa. 40. 11. Ezek. 34. 12. Zech. 13. 7. Heb. 13. 20. 1 Pet. 2. 25; 5. 4. [i] ver. 15, 17, 18. 1 Joan. 3. 16. Cf. cap. 15. 13. [k] Vid. Matt. 7. 15. Cf. ver. 5. [l] Zech. 11. 17. [m] Esa. 9. 20. [n] cap. 11. 52. [o] Zech. 13. 16. [p] ver. 27. Nah. 1. 7. 2 Tim. 2. 19. [q] Vid. Matt. 11. 27. [r] Esa. 56. 8. [s] ver. 1. [t] ver. 27. cap. 18. 37. Cf. 1 Joan. 4. 6. [u] Cf. Eph. 2. 13—18. 1 Pet. 2. 25. [x] Eccles. 12. 11. Ezek. 34. 23; 37. 24. Cf. cap. 17. 11, 21, 22. [y] Cf. Phil. 2. 9. Cf. Luc. 23. 46. [z] Esa. 53. 7, 8, 12. Heb. 2. 9. 1 Pet. 2. 23. [a] cap. 2. 19. cap. 6. 52. Cf. Phil. 2. 7. [b] cap. 12. 49. [c] cap. 9. 16. Vid. cap. 7. 43. Cf. [d] Vid. cap. 7. 20. [e] Vid. Marc. 3. 21. Cf. Act. 26. 24.

τὰ ῥήματα οὐκ ἔστι δαιμονιζομένου· [a]μὴ δαιμόνιον
δύναται τυφλῶν ὀφθαλμοὺς **ἀνοίγειν**[1];"
22 ΕΓΕΝΕΤΟ **δὲ**[2] τὰ [3]ἐγκαίνια ἐν **τοῖς**[4] Ἱεροσολύ-
23 μοις[5], **καὶ**[6] χειμὼν ἦν· καὶ περιεπάτει ὁ[7] Ἰησοῦς ἐν
24 τῷ ἱερῷ ἐν [b]τῇ στοᾷ **τοῦ Σολομῶντος**[8]. **ἐκύκλωσαν**[9]
οὖν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἔλεγον αὐτῷ, "Ἕως πότε
τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ σὺ εἶ ὁ Χριστός, **εἰπὲ**[10]
25 ἡμῖν [c]παρρησίᾳ." Ἀπεκρίθη **αὐτοῖς**[11] ὁ[7] Ἰησοῦς, [d]"Εἶ-
πον ὑμῖν, καὶ οὐ πιστεύετε. [e]τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν
τῷ ὀνόματι τοῦ πατρός μου, ταῦτα μαρτυρεῖ περὶ
26 ἐμοῦ· **ἀλλ'**[12] ὑμεῖς οὐ πιστεύετε· **οὐ γὰρ**[13] ἐστε ἐκ
27 τῶν προβάτων τῶν ἐμῶν, **καθὼς εἶπον ὑμῖν**[14]. τὰ
πρόβατα τὰ ἐμὰ [f]τῆς φωνῆς μου **ἀκούει**[15], [g]κἀγὼ γι-
28 νώσκω αὐτά· καὶ ἀκολουθοῦσί μοι, κἀγὼ **ζωὴν αἰώ-
νιον δίδωμι αὐτοῖς**[16]· καὶ [h]οὐ μὴ ἀπόλωνται εἰς τὸν
αἰῶνα, καὶ [i]οὐχ ἁρπάσει τις αὐτὰ ἐκ τῆς χειρός μου.
29 ὁ πατήρ **μου**[17] [k]**ὃς**[18] δέδωκέ μοι, [l]**μείζων πάντων**[19] ἐστί·
καὶ [i]οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ πα-
30, 31 τρός **μου**[20]. [m]ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν." [n]Ἐβάστα-
σαν **οὖν**[21] πάλιν λίθους οἱ Ἰουδαῖοι, ἵνα λιθάσωσιν
32 αὐτόν. ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, "Πολλὰ **καλὰ
ἔργα**[22] **ἔδειξα ὑμῖν**[23] ἐκ τοῦ πατρός **μου**[24]· διὰ ποῖον
33 αὐτῶν ἔργον **λιθάζετέ με**[25];" Ἀπεκρίθησαν αὐτῷ οἱ
Ἰουδαῖοι **λέγοντες**[26], "Περὶ καλοῦ ἔργου οὐ [o]λιθάζο-
μέν σε, ἀλλὰ περὶ [o]βλασφημίας, καὶ ὅτι σὺ ἄνθρω-
34 πος ὢν [p]ποιεῖς σεαυτὸν Θεόν." Ἀπεκρίθη αὐτοῖς ὁ[27]
Ἰησοῦς, "Οὐκ ἔστι γεγραμμένον [q]ἐν τῷ νόμῳ ὑμῶν,
35 [r][28]'Ἐγὼ **εἶπα**[29], θεοί ἐστε'; Εἰ ἐκείνους εἶπε θεούς,
πρὸς οὓς ὁ λόγος **τοῦ Θεοῦ ἐγένετο**[30], καὶ οὐ δύναται
36 λυθῆναι ἡ γραφή· ὃν ὁ πατὴρ [s]ἡγίασε καὶ [t]ἀπέστει-
λεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε, "Ὅτι [o]βλασφημεῖς,

[a] cap. 9. 33. Cf. Ex. 4. 11. Ps. 146. 8.
[b] Act. 3. 11; 5. 12.
[c] cap. 16. 25. Vid. Marc. 8. 31.
[d] cap. 8. 56, 58.
[e] ver. 38. Vid. cap. 5. 36.
[f] ver. 16.
[g] ver. 14.
[h] cap. 17. 12; 18. 9.
[i] cap. 6. 37.
[k] cap. 17. 2.
[l] cap. 14. 28.
[m] cap. 17. 22. Cf. cap. 14. 9.
[n] cap. 8. 59; 11. 8.
[o] Lev. 24. 16. Cf. cap. 19. 7.
[p] cap. 5. 18.
[q] cap. 12. 34; 15. 25. Rom. 3. 19. 1 Cor. 14. 21.
[r] Ps. 82. 6.
[s] cap. 17. 19. Cf. Jer. 1. 5.
[t] cap. 3. 17.

1 ἀνοῖξαι TTrWH. 2 τότε Tr *marg.* WH. R *marg.* 3 ἐν- TWH. 4 —τοῖς T (*ita vult*). 5 Ἱεροσολύμοις WH. 6 —καὶ TTrWHR. 7 [ὁ] TrWH. 8 Σολομῶνος LTTr (τοῦ Σ. TrWH) WH. 9 ἐκύκλευσαν Tr *marg.* WH *marg.* 10 εἰπὸν TWH. 11 —αὐτοῖς T. 12 ἀλλὰ LTTrWH. 13 ὅτι οὐκ L *marg.* TTr (*non marg.*) WHR. 14 —καθὼς εἶπον ὑμῖν TTr[LTr *marg.*]WHR. 15 ἀκούουσιν TTrWH. 16 δίδωμι αὐτοῖς ζωὴν αἰώνιον TTr (*non marg.*) WH. 17 —μου T. 18 ὃ TTrWH (*non marg.*) R *marg.* 19 πάντων μεῖζόν TTrWH *text.* (πάντων μείζων WH *marg.*) R *marg.* 20 —μου T[Tr]WHR. 21 —οὖν T[Tr]WHR. 22 ἔργα καλὰ LT. 23 ἔργα ἔδειξα ὑμῖν καλὰ WH *text.*, ἔργα καλὰ ἔδειξα ὑμῖν WH *marg.* 24 —μου T[LTr]WHR. 25 με (ἐμὲ TTrWH) λιθάζετε L *marg.* TTrWH. 26 —λέγοντες LTTrWHR. 27 [ὁ] TWH. 28 +ὅτι LTTrWHR. 29 εἶπον L. 30 ἐγένετο τοῦ Θεοῦ T.

[a] cap. 5. 17, 18. Vid. Matt. 14. 33. Cf. ver. 30.
[b] cap. 15. 24.
[c] cap. 14. 11.
[d] ver. 25.
[e] cap. 14. 10, 11, 20; 17. 21, 23. Cf. cap. 8. 29.
[f] cap. 7. 30. Vid. Matt. 12. 14.
[g] cap. 11. 53.
[h] Cf. cap. 8. 59.
[i] Cf. cap. 11. 7. Matt. 19. 1.
[k] Vid. cap. 1. 28.
[l] cap. 1. 29—34; 3. 27—30; 5. 33.
[m] Vid. cap. 7. 31.
[n] ver. 18. cap. 12. 1. Vid. Matt. 21. 17.
[o] ver. 19, 20; 12. 2, 3. Luc. 10. 39, 40, 41.
[p] cap. 12. 3. Cf. Luc. 7. 38.
[q] Vid. Luc. 7. 19.
[r] ver. 5, 11, 36.
[s] ver. 40. Cf. cap. 9. 3.
[t] Cf. cap. 2. 11.
[u] cap. 8. 59; 10. 31.
[x] Cf. Luc. 13. 33.
[y] Vid. cap. 9. 4. Cf. 1 Joan. 2. 10.
[z] Jer. 1. 16.

ὅτι εἶπον, [a]Υἱὸς τοῦ[1] Θεοῦ εἰμί; [b]εἰ οὐ ποιῶ τὰ ἔργα 37
τοῦ πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, [c]κἂν 38
ἐμοὶ μὴ πιστεύητε[2], [d]τοῖς ἔργοις πιστεύσατε[3]· ἵνα
γνῶτε καὶ πιστεύσητε[4], ὅτι [e]ἐν ἐμοὶ ὁ πατήρ, κἀγὼ
ἐν αὐτῷ[5]." [f]Ἐζήτουν οὖν[6] [g]πάλιν[7] αὐτὸν[8] πιάσαι· [h]καὶ 39
ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν.

ΚΑΙ ἀπῆλθε [i]πάλιν [k]πέραν τοῦ Ἰορδάνου, εἰς τὸν 40 λγ
τόπον [k]ὅπου ἦν Ἰωάννης[9] τὸ πρῶτον βαπτίζων· καὶ δ
ἔμεινεν[10] ἐκεῖ. καὶ πολλοὶ ἦλθον πρὸς αὐτόν, καὶ 41 λδ
ἔλεγον, "[l]Ὅτι Ἰωάννης[9] μὲν σημεῖον ἐποίησεν οὐδέν· ι
[l]πάντα δὲ ὅσα εἶπεν Ἰωάννης[9] περὶ τούτου, ἀληθῆ
ἦν." Καὶ [m]ἐπίστευσαν πολλοὶ[11] ἐκεῖ εἰς αὐτόν[12]. 42

ἮΝ δέ τις ἀσθενῶν Λάζαρος ἀπὸ [n]Βηθανίας, ἐκ 11 ΙΑ΄.
τῆς κώμης [o][13]Μαρίας καὶ [o]Μάρθας τῆς ἀδελφῆς αὐτῆς.
ἦν δὲ [p]Μαρία[14] ἡ ἀλείψασα τὸν [q]Κύριον μύρῳ, καὶ [p]ἐκ- 2
μάξασα τοὺς πόδας αὐτοῦ ταῖς θριξὶν αὐτῆς, ἧς ὁ
ἀδελφὸς Λάζαρος ἠσθένει. ἀπέστειλαν οὖν αἱ ἀδελ- 3
φαὶ πρὸς αὐτὸν λέγουσαι, "Κύριε, ἴδε [r]ὃν φιλεῖς
ἀσθενεῖ." Ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν, "Αὕτη ἡ 4
ἀσθένεια οὐκ ἔστι πρὸς θάνατον, ἀλλ' [s]ὑπὲρ τῆς
δόξης τοῦ Θεοῦ, [t]ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ Θεοῦ δι'
αὐτῆς." [r]Ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν καὶ τὴν 5
ἀδελφὴν αὐτῆς καὶ τὸν Λάζαρον. ὡς οὖν ἤκουσεν 6
ὅτι ἀσθενεῖ, τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο
ἡμέρας. Ἔπειτα μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς[15], 7
[i]"Ἄγωμεν εἰς τὴν Ἰουδαίαν [i]πάλιν." Λέγουσιν αὐτῷ 8
οἱ μαθηταί, "Ῥαββί[16], [u]νῦν ἐζήτουν σε λιθάσαι οἱ
Ἰουδαῖοι, καὶ πάλιν ὑπάγεις ἐκεῖ;" Ἀπεκρίθη ὁ[17] 9
Ἰησοῦς, [x]"Οὐχὶ δώδεκά εἰσιν ὧραι[18] τῆς ἡμέρας; [y]ἐάν
τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει, ὅτι τὸ
φῶς τοῦ κόσμου τούτου βλέπει· [y][z]ἐὰν δέ τις περι- 10
πατῇ ἐν τῇ νυκτί, προσκόπτει, ὅτι τὸ φῶς οὐκ ἔστιν
ἐν αὐτῷ." Ταῦτα εἶπε, καὶ μετὰ τοῦτο λέγει αὐτοῖς, 11

[1] —τοῦ T. [2] πιστεύετε T. [3] πιστεύετε LTTrWHR. [4] γινώσκητε LTTrWHR. [5] τῷ πατρί L (*non marg.*) TTrWHR. [6] —οὖν [TrWH]R. [7] —πάλιν T. [8] αὐτὸν πάλιν WH, [πάλιν] αὐτὸν WH *marg.* [9] Ἰωάνης TrWH. [10] ἔμενεν LTr *marg.* WH (*non marg.*). [11] πολλοὶ ἐπίστευσαν LTTrWHR. [12] εἰς αὐτὸν ἐκεῖ LTTrWHR. [13] + τῆς T. [14] Μαριὰμ TrWH. [15] + [αὐτοῦ] L. [16] Ῥαββεί TWH. [17] —ὁ LTTrWH. [18] ὧραί εἰσιν LTTrWH.

"Λάζαρος [a]ὁ φίλος ἡμῶν [b]κεκοίμηται· ἀλλὰ πορεύο-
12 μαι ἵνα ἐξυπνίσω αὐτόν." Εἶπον[1] οὖν[2] οἱ μαθηταὶ
13 **αὐτοῦ**[3], "Κύριε, εἰ [b]κεκοίμηται, σωθήσεται." Εἰρήκει
δὲ ὁ Ἰησοῦς περὶ τοῦ θανάτου αὐτοῦ· ἐκεῖνοι δὲ
ἔδοξαν ὅτι περὶ τῆς κοιμήσεως τοῦ ὕπνου λέγει.
14 τότε **οὖν**[4] εἶπεν αὐτοῖς ὁ Ἰησοῦς [c]παρρησίᾳ, "Λάζαρος
15 ἀπέθανε· καὶ χαίρω δι' ὑμᾶς, ἵνα πιστεύσητε, ὅτι
16 οὐκ ἤμην ἐκεῖ· **ἀλλ'**[5] ἄγωμεν πρὸς αὐτόν." Εἶπεν
οὖν [d][e]Θωμᾶς, [d]ὁ λεγόμενος Δίδυμος, τοῖς [6]**συμμαθη-
ταῖς**, "Ἄγωμεν καὶ ἡμεῖς, ἵνα ἀποθάνωμεν μετ'
αὐτοῦ."
17 **Ἐλθὼν**[7] οὖν ὁ Ἰησοῦς[8] εὗρεν αὐτὸν [f]τέσσαρας
18 **ἡμέρας ἤδη**[9] ἔχοντα ἐν τῷ μνημείῳ. ἦν δὲ ἡ[10] [g]Βηθανία
ἐγγὺς τῶν Ἱεροσολύμων[11], ὡς ἀπὸ σταδίων δεκαπέντε·
19 **καὶ πολλοὶ**[12] ἐκ τῶν Ἰουδαίων ἐληλύθεισαν πρὸς **τὰς
περὶ**[13] [g]Μάρθαν καὶ **Μαρίαν**[14], ἵνα [h]παραμυθήσωνται
20 αὐτὰς περὶ τοῦ ἀδελφοῦ **αὐτῶν**[15]. ἡ οὖν Μάρθα ὡς
ἤκουσεν ὅτι **ὁ**[16] Ἰησοῦς ἔρχεται, ὑπήντησεν αὐτῷ·
21 [i]**Μαρία**[17] δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο. εἶπεν οὖν ἡ[18]
Μάρθα πρὸς **τὸν**[19] Ἰησοῦν, [k]"**Κύριε**[20], εἰ ἦς ὧδε, [l]**ὁ ἀδελ-
22 φός μου οὐκ ἂν ἐτεθνήκει**[21]. **ἀλλὰ**[22] καὶ νῦν οἶδα ὅτι
23 ὅσα ἂν αἰτήσῃ τὸν Θεόν, δώσει σοι ὁ Θεός." Λέγει
αὐτῇ ὁ Ἰησοῦς, "Ἀναστήσεται ὁ ἀδελφός σου."
24 Λέγει αὐτῷ[23] Μάρθα, "Οἶδα ὅτι ἀναστήσεται, [m]ἐν τῇ
25 ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ." Εἶπεν αὐτῇ ὁ
Ἰησοῦς, "Ἐγώ εἰμι [n]ἡ ἀνάστασις καὶ [o]ἡ ζωή. ὁ
26 πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται· καὶ πᾶς ὁ
ζῶν καὶ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ [p]εἰς τὸν
27 αἰῶνα. [q]πιστεύεις τοῦτο;" Λέγει αὐτῷ, "Ναί, Κύριε·
[q]ἐγὼ πεπίστευκα, ὅτι [r]σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ
28 Θεοῦ, [s]ὁ εἰς τὸν κόσμον [t]ἐρχόμενος." Καὶ **ταῦτα**[24]

[a] ver. 8.
[b] ver. 13. Vid. Matt. 27. 52. Cf. Marc. 5. 39.
[c] Vid. Marc. 8. 31.
[d] cap. 20. 24; 21. 2.
[e] Matt. 10. 3. Marc. 3. 18. Luc. 6. 15. cap. 14. 5; 20. 24—28. Act. 1. 13.
[f] ver. 39. Cf. ver. 6.
[g] ver. 1.
[h] ver. 31. Job 2. 11. 1 Thess. 2. 11; 5. 14.
[i] Luc. 10. 38, 39.
[k] ver. 3.
[l] ver. 32. Cf. cap. 4. 49.
[m] cap. 5. 25, 28, 29. Vid. Luc. 14. 14.
[n] Cf. cap. 5. 21; 6. 39. 1 Cor. 15. 21.
[o] cap. 14. 6. Col. 3. 4. Vid. cap. 1. 4.
[p] cap. 6. 51.
[q] cap. 3. 16; 6. 69. 1 Joan. 4. 16.
[r] Matt. 16. 16, 20.
[s] cap. 6. 14 (var. lect.).
[t] Vid. Matt. 11. 3.

[1] εἶπαν WH. [2] + αὐτῷ LTR. [3] —αὐτοῦ LTR, *at* αὐτῷ TrWH. [4] [οὖν] L. [5] ἀλλὰ LTTrWH. [6] συν- TWH. [7] Ἦλθεν LTr *marg.* [8] + καὶ LTr *marg.* [9] ἤδη ἡμέρας L *marg.* Tr (*non marg.*) WH, *at* —ἤδη T. [10] —ἡ TWH. [11] Ἰεροσολύμων WH. [12] πολλοὶ δὲ LTTrWHR. [13] τὴν LTrWHR. [14] Μαριάμ LTTrWH. [15] —αὐτῶν TTrWHR. [16] —ὁ LTTrWH. [17] Μαριὰμ WH (*non marg.*). [18] —ἡ L. [19] —τὸν T[Tr]WH. [20] —Κύριε [Tr *marg.*] WH *marg.* [21] οὐκ ἂν ἀπέθανεν (ἐτεθνήκει Tr *marg.*) ὁ ἀδελφός μου LTTrWHR. [22] —ἀλλὰ TTr[LTr *marg.*] WHR. [23] + ἡ LTTrWH. [24] τοῦτο TTrWHR.

[a] Cf. ver. 20.
[b] Matt. 26. 18. Marc. 14. 14. Luc. 22. 11.
[c] ver. 19.
[d] Vid. Luc. 8. 28.
[e] ver. 21.
[f] ver. 38. Marc. 14. 5.
[g] Marc. 8. 12. cap. 13. 21.
[h] cap. 12. 27; 13. 21.
[i] Luc. 19. 41.
[k] ver. 3, 5, 11.
[l] cap. 9. 7.
[m] Esa. 22. 16.
[n] Matt. 27. 60. Marc. 15. 46. Luc. 24. 2. cap. 20. 1.
[o] ver. 17.
[p] ver. 25, 26. Cf. Matt. 17. 20.
[q] ver. 4. Cf. Rom. 6. 4.
[r] Vid. cap. 17. 1.
[s] cap. 12. 27, 28. Vid. Matt. 11. 25.

εἰποῦσα [a]ἀπῆλθε, καὶ ἐφώνησε Μαρίαν[1] τὴν ἀδελ-
φὴν αὐτῆς λάθρα[2], εἰποῦσα[3], [b]"Ὁ διδάσκαλος πάρ-
εστι καὶ φωνεῖ σε." Ἐκείνη[4] ὡς ἤκουσεν, ἐγείρεται[5] 29
ταχὺ καὶ ἔρχεται[6] πρὸς αὐτόν. οὔπω δὲ ἐληλύθει 30
ὁ Ἰησοῦς εἰς τὴν κώμην, ἀλλ' ἦν[7] ἐν τῷ τόπῳ [a]ὅπου
ὑπήντησεν αὐτῷ ἡ Μάρθα. οἱ οὖν Ἰουδαῖοι [c]οἱ ὄντες 31
μετ' αὐτῆς ἐν τῇ οἰκίᾳ καὶ [c]παραμυθούμενοι αὐτήν,
ἰδόντες τὴν Μαρίαν[8] ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν,
ἠκολούθησαν αὐτῇ, λέγοντες[9], "Ὅτι ὑπάγει εἰς τὸ
μνημεῖον, ἵνα κλαύσῃ ἐκεῖ." Ἡ οὖν Μαρία[10] ὡς 32
ἦλθεν ὅπου ἦν ὁ[11] Ἰησοῦς, ἰδοῦσα αὐτόν, [d]ἔπεσεν εἰς
τοὺς πόδας αὐτοῦ[12], λέγουσα αὐτῷ, [e]"Κύριε, εἰ ἦς
ὧδε, οὐκ ἂν ἀπέθανέ μου[13] ὁ ἀδελφός." Ἰησοῦς οὖν 33
ὡς εἶδεν αὐτὴν κλαίουσαν, καὶ τοὺς συνελθόντας
αὐτῇ Ἰουδαίους κλαίοντας, [f]ἐνεβριμήσατο [g]τῷ πνεύ-
ματι, καὶ [h]ἐτάραξεν ἑαυτόν, καὶ εἶπε, "Ποῦ τεθεί- 34
κατε αὐτόν;" Λέγουσιν αὐτῷ, "Κύριε, ἔρχου καὶ
ἴδε." [i]Ἐδάκρυσεν ὁ Ἰησοῦς. ἔλεγον οὖν οἱ Ἰουδαῖοι, 35, 36
[k]"Ἴδε πῶς ἐφίλει αὐτόν." [l]Τινὲς δὲ ἐξ αὐτῶν εἶπον[14], 37
"Οὐκ ἠδύνατο[15] οὗτος ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς
τοῦ τυφλοῦ, ποιῆσαι ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ;"
Ἰησοῦς οὖν πάλιν [f]ἐμβριμώμενος[16] ἐν ἑαυτῷ, ἔρχεται 38
εἰς τὸ μνημεῖον. [m]ἦν δὲ σπήλαιον, καὶ [n]λίθος ἐπέκειτο
ἐπ' αὐτῷ. λέγει ὁ[17] Ἰησοῦς, "Ἄρατε τὸν λίθον." 39
Λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τεθνηκότος[18] Μάρθα, "Κύ-
ριε, ἤδη ὄζει· [o]τεταρταῖος γάρ ἐστι." Λέγει αὐτῇ ὁ 40
Ἰησοῦς, "Οὐκ εἶπόν σοι, ὅτι [p]ἐὰν πιστεύσῃς, ὄψει[19]
[q]τὴν δόξαν τοῦ Θεοῦ;" Ἦραν οὖν [n]τὸν λίθον, οὗ ἦν ὁ 41
τεθνηκὼς κείμενος[20]. Ὁ δὲ Ἰησοῦς [r]ἦρε τοὺς ὀφθαλ-
μοὺς ἄνω, καὶ εἶπε, [s]"Πάτερ, εὐχαριστῶ σοι ὅτι
ἤκουσάς μου. ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις· 42

[1] Μαριὰμ LTTrWH. [2] λάθρᾳ LWH. [3] εἴπασα TrWH (*jungit* λάθρα εἰποῦσα R *marg.*). [4] + δὲ Tr[Tr *marg.*]WHR. [5] ἠγέρθη LTrWHR. [6] ἤρχετο L *marg.* TrWHR. [7] + ἔτι LTr[Tr *marg.*] WHR. [8] Μαριὰμ LTTrWH. [9] δόξαντες TTrWHR. [10] Μαριὰμ TTrWH. [11] —ὁ LTTrWH. [12] αὐτοῦ πρὸς τοὺς πόδας TTrWH. [13] μου ἀπέθανεν TTrWH. [14] εἶπαν WH. [15] ἐδύνατο LTTrWH. [16] ἐμβριμησάμενος L *marg.*, ἐμβριμούμενος T. [17] —ὁ L[Tr]. [18] τετελευτηκότος LTWHR, τελευτηκότος Tr, *errore, ut videtur.* [19] ὄψῃ LTTrWH. [20] —οὗ ἦν ὁ τεθνηκὼς κείμενος LTTrWHR.

ἀλλὰ [a] διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, [b] ἵνα πισ-
43 τεύσωσιν ὅτι [c] σύ με ἀπέστειλας." Καὶ ταῦτα εἰπών,
44 [d] φωνῇ μεγάλῃ ἐκραύγασε, "Λάζαρε, δεῦρο ἔξω." **Καὶ**[1]
ἐξῆλθεν ὁ τεθνηκώς, [e] δεδεμένος τοὺς πόδας καὶ τὰς
χεῖρας κειρίαις, καὶ [f] ἡ ὄψις αὐτοῦ [g] σουδαρίῳ περιεδέ-
δετο. λέγει **αὐτοῖς ὁ Ἰησοῦς**[2], "Λύσατε αὐτόν, καὶ
ἄφετε[3] ὑπάγειν."
45 [h] Πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων [i] οἱ ἐλθόντες πρὸς
τὴν **Μαρίαν**[4], καὶ θεασάμενοι [k] **ἃ**[5] ἐποίησεν **ὁ Ἰησοῦς**[6],
46 ἐπίστευσαν εἰς αὐτόν. τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον
πρὸς [l] τοὺς Φαρισαίους, καὶ **εἶπον**[7] αὐτοῖς **ἃ**[8] ἐποίησεν
47 **ὁ**[9] Ἰησοῦς. [m] συνήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ
Φαρισαῖοι [n] συνέδριον, καὶ ἔλεγον, [o] "Τί ποιοῦμεν; ὅτι
48 οὗτος ὁ ἄνθρωπος πολλὰ **σημεῖα ποιεῖ**[10]. ἐὰν ἀφῶ-
μεν αὐτὸν οὕτω, πάντες πιστεύσουσιν εἰς αὐτόν· καὶ
ἐλεύσονται [p] οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν καὶ [q] τὸν
49 τόπον καὶ τὸ ἔθνος." Εἷς δέ τις ἐξ αὐτῶν [r] **Καϊάφας**[11],
[s] ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς,
50 "Ὑμεῖς οὐκ οἴδατε οὐδέν· οὐδὲ **διαλογίζεσθε**[12], [t] ὅτι
συμφέρει **ἡμῖν**[13], ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ
51 τοῦ λαοῦ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται." Τοῦτο
δὲ ἀφ' ἑαυτοῦ οὐκ εἶπεν, ἀλλὰ [s] ἀρχιερεὺς ὢν τοῦ
ἐνιαυτοῦ ἐκείνου, [u] **προεφήτευσεν**[14] ὅτι **ἔμελλεν**[15] **ὁ**[16] Ἰη-
52 σοῦς [x] ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους, καὶ [y] οὐχ ὑπὲρ
τοῦ ἔθνους μόνον, ἀλλ' ἵνα καὶ [z] τὰ τέκνα τοῦ Θεοῦ
53 τὰ [a] διεσκορπισμένα συναγάγῃ εἰς ἕν. ἀπ' ἐκείνης
οὖν τῆς ἡμέρας [b] **συνεβουλεύσαντο**[17] ἵνα ἀποκτείνωσιν
54 αὐτόν. **Ἰησοῦς οὖν**[18] [c] οὐκ ἔτι[19] [d] παρρησίᾳ περιεπάτει
ἐν τοῖς Ἰουδαίοις, ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν
χώραν ἐγγὺς τῆς ἐρήμου, εἰς [e] Ἐφραΐμ[20] λεγομένην
55 πόλιν, κἀκεῖ **διέτριβε**[21] μετὰ τῶν μαθητῶν **αὐτοῦ**[22]. ἦν
δὲ ἐγγὺς [f] τὸ πάσχα τῶν Ἰουδαίων· καὶ [g] ἀνέβησαν

[1] — Καὶ TTrWHR. [2] [ὁ] Ἰησοῦς αὐτοῖς Tr *marg.* WH. [3] + αὐτὸν T[Tr]WHR. [4] Μαριὰμ LTTrWH. [5] ὃ Tr (*non marg.*) WH (*non marg.*) R (*non marg.*). [6] — ὁ Ἰησοῦς LTTrWHR. [7] εἶπαν TWH. [8] ὃ L (*non marg.*) Tr *marg.* [9] — ὁ LTTrWH. [10] ποιεῖ σημεῖα LTTrWH (*at* π. σημεῖα; WH). [11] Καιάφας WH. [12] λογίζεσθε LTTrWHR. [13] ὑμῖν TTr (*non marg.*) WHR. [14] ἐπροφήτευσεν LTTrWH. [15] ἤμελλεν LTTr. [16] — ὁ LTTrWH. [17] ἐβουλεύσαντο LTTr (*non marg.*) WHR. [18] ὁ οὖν Ἰησοῦς TrWH. [19] οὐκέτι LTTrWH. [20] Ἐφραὶμ LTWH. [21] ἔμεινεν Tr (*non marg.*) WHR. [22] — αὐτοῦ TTrWHR.

[a] cap. 12. 30.
[b] cap. 17. 21.
[c] cap. 8. 17
[d] Cf. Marc. 5. 41.
[e] cap. 19. 40.
[f] cap. 20. 7.
[g] Vid. Luc. 19. 20.
[h] Vid. cap. 7. 31. Cf. Act. 9. 42.
[i] ver. 19.
[k] cap. 2. 23
[l] ver. 57.
[m] Matt. 26. 3.
[n] Vid. Matt. 5. 22.
[o] cap. 12. 19. Act. 4. 16.
[p] Cf. cap. 6. 15; 18. 36, 37.
[q] Vid. Matt. 24. 15.
[r] Vid. Matt. 26. 3.
[s] ver. 51. cap. 18. 13.
[t] cap. 18. 14.
[u] Ex. 28. 30. Num. 27. 21. 1 Sam. 23. 9; 30. 7. Ezra 2. 63. Neh. 7. 65.
[x] Vid. Matt. 20. 28.
[y] Esa. 49. 6. 1 Joan. 2. 2.
[z] cap. 1. 12. 1 Joan. 3. 1, 2, 10; 5. 2.
[a] cap. 10. 12.
[b] ver. 47. cap. 10. 39.
[c] Cf. cap. 7. 1.
[d] Vid. Marc. 8. 32.
[e] Cf. 2 Chr. 13. 19.
[f] cap. 12. 1, 12; 13. 1. Vid. cap. 2. 13.
[g] Luc. 2. 42.

πολλοὶ εἰς Ἱεροσόλυμα[1] ἐκ τῆς χώρας πρὸ τοῦ
πάσχα, [a]ἵνα ἁγνίσωσιν ἑαυτούς. [b]ἐζήτουν οὖν τὸν 56
Ἰησοῦν, καὶ **ἔλεγον**[2] μετ' ἀλλήλων ἐν τῷ ἱερῷ ἑστη-
κότες, "Τί δοκεῖ ὑμῖν, ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν
ἑορτήν;" Δεδώκεισαν δὲ **καὶ**[3] οἱ ἀρχιερεῖς καὶ [c]οἱ 57
Φαρισαῖοι **ἐντολήν**[4], ἵνα ἐάν τις γνῷ ποῦ ἐστί, μη-
νύσῃ, ὅπως πιάσωσιν αὐτόν.

[d]Ὁ ΟΥΝ Ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα **12**
ἦλθεν εἰς [e]Βηθανίαν, [f]ὅπου ἦν Λάζαρος **ὁ τεθνηκώς**[5], ὃν
ἤγειρεν ἐκ νεκρῶν[6]. ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, 2
καὶ ἡ [e][g]Μάρθα διηκόνει· ὁ δὲ Λάζαρος εἷς ἦν[7] τῶν λη
συνανακειμένων[8] αὐτῷ. Ἡ οὖν [e]**Μαρία**[9] λαβοῦσα [h]λίτ- 3 α ΙΒ'.
ραν [i]μύρου νάρδου πιστικῆς πολυτίμου, [k]ἤλειψε τοὺς
πόδας **τοῦ**[10] Ἰησοῦ, καὶ [k]ἐξέμαξε ταῖς θριξὶν αὐτῆς
τοὺς πόδας αὐτοῦ· ἡ δὲ οἰκία **ἐπληρώθη**[11] ἐκ τῆς
ὀσμῆς τοῦ μύρου. λέγει **οὖν**[12] **εἷς ἐκ τῶν μαθητῶν** 4 ΙΓ'.
αὐτοῦ, [l]**Ἰούδας Σίμωνος Ἰσκαριώτης**[13], ὁ μέλλων αὐτὸν
παραδιδόναι, "Διατί[14] τοῦτο τὸ μύρον οὐκ ἐπράθη 5
τριακοσίων [m]δηναρίων, καὶ ἐδόθη πτωχοῖς;" Εἶπε δὲ 6
τοῦτο, οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν αὐτῷ, ἀλλ'[15]
ὅτι κλέπτης ἦν, καὶ [n]τὸ γλωσσόκομον **εἶχε, καὶ**[16] τὰ
βαλλόμενα [o]ἐβάσταζεν. εἶπεν οὖν ὁ Ἰησοῦς, "[v]Ἄφες 7
αὐτήν·[17] εἰς τὴν ἡμέραν [p]τοῦ ἐνταφιασμοῦ μου **τετή-
ρηκεν**[18] αὐτό. τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' 8
ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε."

[v]Ἔγνω οὖν[19] ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων ὅτι ἐκεῖ 9 λθ
ἐστί· καὶ **ἦλθον**[20] οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα ι
καὶ τὸν Λάζαρον ἴδωσιν, [q]ὃν ἤγειρεν ἐκ νεκρῶν.
ἐβουλεύσαντο δὲ οἱ ἀρχιερεῖς, [r]ἵνα καὶ τὸν Λάζαρον 10
ἀποκτείνωσιν· ὅτι [s]πολλοὶ [t]δι' αὐτὸν ὑπῆγον τῶν 11
Ἰουδαίων, καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν.

Τῇ ἐπαύριον[21] [u]ὄχλος πολὺς ὁ ἐλθὼν εἰς [x]τὴν ἑορτήν, 12 ρ
ἀκούσαντες ὅτι **ἔρχεται ὁ Ἰησοῦς**[22] εἰς Ἱεροσόλυμα[23], α

[a] 2 Chr. 30. 17, 18. Cf. Act. 21. 24.
[b] cap. 7. 11.
[c] ver. 46.
[d] ver. 1—8, cf. Matt. 26. 6—13. Marc. 14. 3—9. Cf. Luc. 7. 37—39.
[e] Vid. cap. 11. 1.
[f] cap. 11. 55.
[g] Luc. 10. 40.
[h] cap. 19. 39.
[i] Marc. 14. 3.
[k] Vid. cap. 11. 2.
[l] Vid. Matt. 26. 14.
[m] Vid. Matt. 18. 28. Cf. Matt. 26. 9.
[n] cap. 13. 29.
[o] cap. 19. 17; 20. 15.
[p] Marc. 14. 8.
[q] cap. 11. 44.
[r] Cf. Luc. 16. 31.
[s] Vid. cap. 7. 31. Cf. ver. 42.
[t] ver. 18.
[u] ver. 12—15, Matt. 21. 4—9. Marc. 11. 7—10. Luc. 19. 35—38.
[x] Vid. cap. 11. 55.

[1] Ἰεροσόλυμα WH. [2] ἔλεγαν T. [3] —καὶ LTTrWHR. [4] ἐντολὰς TTr (*non marg.*) WHR. [5] —ὁ τεθνηκώς T[LTr]WHR. [6] + ὁ Ἰησοῦς LTr, + Ἰησοῦς TWHR. [7] + ἐκ T[Tr *marg.*]WHR. [8] ἀνακειμένων σὺν LTTrWHR. [9] Μαριάμ TrWH. [10] [τοῦ] TrWH. [11] ἐπλήσθη Tr *marg.* [12] δὲ T[WH]R. [13] Ἰούδας ὁ (Σίμωνος *pro* ὁ Tr *marg.*) Ἰσκαριώτης εἷς ἐκ (—ἐκ TrWHR) τῶν μαθητῶν αὐτοῦ TTrWHR. [14] Διὰ τί WH. [15] ἀλλὰ B. [16] ἔχων TTrWHR. [17] + (αὐτὴν ἵνα R *text.*, αὐτήν· ἵνα R *marg.*) ἵνα LTTrWHR. [18] τηρήσῃ LTTrWHR. [19] + ὁ T[Tr *marg.*]WHR. [20] ἦλθαν WH. [21] + [ὁ] Tr *marg.*, + ὁ WH.R *marg.* [22] —ὁ LTTrWH, *at* Ἰησοῦς ἔρχεται L *marg.* [23] Ἰεροσόλυμα WH.

13 ἔλαβον τὰ βαΐα τῶν φοινίκων, καὶ ἐξῆλθον εἰς ὑπάν-
τησιν αὐτῷ, καὶ **ἔκραζον**[1], [a][2]“Ὡσαννά[3]· εὐλογημένος
ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, [4]ὁ [b]βασιλεὺς τοῦ
ΙΔ΄. 14 Ἰσραήλ.” Εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον, ἐκάθισεν ἐπ'
ρα 15 αὐτό, καθώς ἐστι γεγραμμένον, [c]‘Μὴ φοβοῦ, **θύγα-**
ζ **τερ**[6] Σιών· ἰδού, ὁ βασιλεύς σου ἔρχεται, καθήμενος
ρβ 16 ἐπὶ πῶλον ὄνου.’ [d]ταῦτα **δὲ**[7] οὐκ ἔγνωσαν οἱ μαθη-
ι ταὶ **αὐτοῦ**[8] τὸ πρῶτον· ἀλλ' ὅτε [e]ἐδοξάσθη **ὁ**[9] Ἰησοῦς,
τότε [f]ἐμνήσθησαν ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γεγραμ-
17 μένα, καὶ ταῦτα ἐποίησαν αὐτῷ. ἐμαρτύρει οὖν [g]ὁ
ὄχλος ὁ ὢν μετ' αὐτοῦ, **ὅτε**[10] τὸν Λάζαρον ἐφώνησεν
18 ἐκ τοῦ μνημείου, καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν· [h]διὰ
τοῦτο **καὶ**[11] ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι **ἤκουσε**[12]
19 τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. οἱ οὖν Φαρι-
σαῖοι **εἶπον**[13] πρὸς ἑαυτούς, [i]“Θεωρεῖτε ὅτι οὐκ
ὠφελεῖτε οὐδέν; ἴδε ὁ κόσμος[14] ὀπίσω αὐτοῦ ἀπῆλ-
θεν.”

ΙΕ΄. 20 Ἦσαν δέ **τινες** [k]**Ἕλληνες**[15] [l]ἐκ τῶν ἀναβαινόντων,
21 ἵνα **προσκυνήσωσιν**[16] ἐν τῇ ἑορτῇ· οὗτοι οὖν **προσῆλ-**
θον[17] [m]Φιλίππῳ τῷ ἀπὸ Βηθσαϊδὰ[18] τῆς Γαλιλαίας,
καὶ ἠρώτων αὐτὸν λέγοντες, “Κύριε, θέλομεν τὸν Ἰη-
22 σοῦν ἰδεῖν.” Ἔρχεται[19] [m]Φίλιππος καὶ λέγει τῷ Ἀν-
δρέᾳ· **καὶ πάλιν**[20] Ἀνδρέας καὶ [m]Φίλιππος[21] λέγουσι
ργ 23 τῷ Ἰησοῦ. ὁ δὲ Ἰησοῦς **ἀπεκρίνατο**[22] αὐτοῖς λέγων,
δ [n]“Ἐλήλυθεν ἡ ὥρα ἵνα [e]δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώ-
ρδ 24 που. ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ [o]ὁ κόκκος τοῦ
ι σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μέ-
ρε 25 νει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. [p]ὁ φιλῶν
γ τὴν ψυχὴν αὐτοῦ **ἀπολέσει**[23] αὐτήν· καὶ [q]ὁ μισῶν τὴν
ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον
ρϛ 26 φυλάξει αὐτήν. ἐὰν ἐμοὶ **διακονῇ τις**[24], [r]ἐμοὶ ἀκο-
ι λουθείτω· καὶ [s]ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ

[a] Ps. 118. 25, 26.
[b] Vid. cap. 1. 50.
[c] Zech. 9. 9.
[d] Vid. Marc. 9. 32.
[e] ver. 23. Vid. cap. 7. 39.
[f] cap. 2. 22.
[g] Cf. Luc. 19. 37.
[h] ver. 11.
[i] Vid. cap. 11. 47.
[k] Act. 17. 4. Vid. cap. 7. 35.
[l] 1 Reg. 8. 41—43. Act. 8. 27.
[m] ver. 22. Vid. cap. 1. 44.
[n] cap. 13. 1; 17. 1. Cf. ver. 27. Marc. 14. 41. cap. 13. 32.
[o] 1 Cor. 15. 36.
[p] Vid. Matt. 10. 39.
[q] Vid. Luc. 14. 26.
[r] Vid. Matt. 16. 24.
[s] cap. 14. 3; 17. 24. Cf. Phil. 1. 23. 1 Thess. 4. 17.

[1] ἐκραύγαζον LTTrWHR. [2] + [λέγοντες] L. [3] Ὡσαννά LT. [4] + καὶ TTr[Tr *marg.*]WHR. [6] θυγάτηρ LTTrWH. [7] —δὲ TTr[L]WHR. [8] αὐτοῦ *post* ἔγνωσαν *ponunt* TWH. [9] —ὁ TTrWH. [10] ὅτι BELTTr *marg.* [11] —καὶ Tr, *at* [καὶ] Tr *marg.* [12] ἤκουσαν LTTrWHR. [13] εἶπαν TTrWH. [14] + [ὅλος] Tr *marg.* [15] Ἑλληνές τινες L (*non marg.*) TTrWH. [16] προσκυνήσουσιν LTr. [17] προσῆλθαν WH. [18] Βηθσαιδὰ WH. [19] + ὁ TrWH. [20] ἔρχεται LTTr (*non marg.*) WHR. [21] + καὶ LTTr (*non marg.*) WHR. [22] ἀποκρίνεται TTr (*non marg.*) WHR. [23] ἀπολλύει TTr (*non marg.*) WHR. [24] τις διακονῇ LTTrWH.

ἐμὸς ἔσται· **καὶ**[1] ἐάν τις ἐμοὶ διακονῇ, [a]τιμήσει αὐτὸν
ὁ πατήρ.
"Νῦν ἡ ψυχή μου [b]τετάρακται· καὶ τί εἴπω; [c]Πά- 27 ρς/δ/ρη
τερ, σῶσόν με ἐκ [d]τῆς ὥρας ταύτης.[2] [e]ἀλλὰ διὰ τοῦτο
ἦλθον εἰς τὴν ὥραν ταύτην. [c]Πάτερ, [e]δόξασόν σου τὸ 28 ι
ὄνομα." Ἦλθεν οὖν [f]φωνὴ ἐκ τοῦ οὐρανοῦ, "Καὶ
ἐδόξασα, καὶ πάλιν δοξάσω." Ὁ **οὖν**[3] ὄχλος ὁ 29
ἑστὼς[4] **καὶ**[5] ἀκούσας ἔλεγε βροντὴν γεγονέναι. ἄλ-
λοι ἔλεγον, "Ἄγγελος αὐτῷ λελάληκεν." Ἀπεκρίθη 30
ὁ[6] **Ἰησοῦς καὶ εἶπεν**[7], [g]"Οὐ δι' ἐμὲ **αὕτη ἡ φωνὴ**[8]
γέγονεν, ἀλλὰ δι' ὑμᾶς. [h]νῦν κρίσις ἐστὶ τοῦ κόσμου 31
τούτου· [h]νῦν [i]ὁ ἄρχων τοῦ κόσμου τούτου [k]ἐκβληθή-
σεται ἔξω· κἀγὼ **ἐὰν**[9] [l]ὑψωθῶ ἐκ τῆς γῆς, [m]**πάντας**[10] 32
[n]ἑλκύσω[11] πρὸς ἐμαυτόν." Τοῦτο δὲ ἔλεγε, [o]σημαίνων 33
ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν. ἀπεκρίθη[12] αὐτῷ 34
ὁ ὄχλος, "Ἡμεῖς ἠκούσαμεν [p]ἐκ τοῦ νόμου, [q]ὅτι ὁ
Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς **σὺ λέγεις**[13],
Ὅτι δεῖ [l]ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν
οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου;" Εἶπεν οὖν αὐτοῖς ὁ 35
Ἰησοῦς, [r]"Ἔτι μικρὸν χρόνον τὸ φῶς **μεθ' ὑμῶν**[14]
ἐστί. περιπατεῖτε [s]**ἕως**[15] [t]τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία
ὑμᾶς [u]καταλάβῃ· καὶ ὁ [x]περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ
οἶδε ποῦ ὑπάγει. **ἕως**[15] τὸ φῶς ἔχετε, πιστεύετε εἰς 36
τὸ φῶς, ἵνα [y]υἱοὶ φωτὸς γένησθε." Ταῦτα ἐλάλησεν
ὁ[16] Ἰησοῦς, καὶ [z]ἀπελθὼν ἐκρύβη ἀπ' αὐτῶν.
[a]Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσ- 37
θεν αὐτῶν, οὐκ ἐπίστευον εἰς αὐτόν· ἵνα ὁ λόγος 38
Ἡσαΐου[17] τοῦ προφήτου πληρωθῇ, ὃν εἶπε, [b]"Κύριε,
τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου
τίνι ἀπεκαλύφθη;" Διὰ τοῦτο οὐκ ἠδύναντο πισ- 39 ρθ
τεύειν, ὅτι πάλιν εἶπεν Ἡσαΐας[17], [c]"Τετύφλωκεν αὐ- 40 α
τῶν τοὺς ὀφθαλμούς, καὶ [d]**πεπώρωκεν**[18] αὐτῶν τὴν
καρδίαν· ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ νοήσωσι

[a] 1 Sam. 2. 30. Ps. 91. 15. [b] cap. 11. 33; 13. 21. Cf. Matt. 26. 37. Luc. 22. 44. [c] cap. 11. 41. Vid. Matt. 11. 25. [d] Marc. 14. 35. Luc. 22. 53. Vid. cap. 13. 1. [e] Cf. cap. 18. 37. [f] Matt. 3. 17; 17. 5. Marc. 1. 11; 9. 7. Luc. 3. 22; 9. 35. [g] cap. 11. 42. [h] cap. 16. 11. [i] cap. 14. 30 (var. lect.). 2 Cor. 4. 4. Eph. 2. 2; 6. 12. Cf. 1 Joan. 4. 4; 5. 19. [k] Vid. Luc. 10. 18. Col. 2. 15. [l] ver. 34. Vid. cap. 3. 14. [m] Rom. 5. 18; 8. 32. 2 Cor. 5. 15. 1 Tim. 2. 6. Heb. 2. 9. 1 Joan. 2. 2. [n] cap. 6. 44. [o] cap. 18. 32. Cf. cap. 21. 19. [p] Vid. cap. 10. 34. [q] Ps. 89. 4; 110. 4. Esa. 9. 7. Ezek. 37. 25. [r] Vid. cap. 7. 33. [s] Vid. cap. 9. 4. [t] Vid. cap. 8. 12. Cf. ver. 46. [u] cap. 1. 5. Cf. Jer. 13. 16. [x] cap. 11. 10. 1 Joan. 1. 6; 2. 11. Rom. 10. 16.

[1] —καὶ LTTrWHR. [2] ταύτης; LTrR *marg.* [3] [οὖν] LTrWH. [4] ἑστηκὼς L. [5] —και T. [6] —ὁ TTrWH. [7] καὶ εἶπεν Ἰησοῦς Tr *marg.* WH. [8] ἡ φωνὴ αὕτη LTTrWH. [9] ἂν WH. [10] πάντα WH *marg.* [11] ἑλκύσω E. [12] + οὖν T[Tr *marg.*]WHR. [13] λέγεις σύ TTr (*non marg.*) WH. [14] ἐν ὑμῖν LTTrWHR. [15] ὡς LTTrWHR. [16] —ὁ LTTrWH. [17] Ἡσ. L, Ἠσαί- WH. [18] ἐπώρωσεν TTrWHR.

[y] Vid. Luc. 16. 8. [z] cap. 8. 59. [a] Cf. cap. 2. 28. [b] Esa. 53. 1. [c] Esa. 6. 10. Vid. Matt. 13. 14. [d] Vid. Marc. 6. 52.

τῇ καρδίᾳ καὶ **ἐπιστραφῶσι**[1], καὶ **ἰάσωμαι**[2] αὐτούς.'
ρι 41 Ταῦτα εἶπεν Ἡσαΐας[3], [a]**ὅτε**[4] εἶδε τὴν δόξαν αὐτοῦ,
ϛ 42 καὶ ἐλάλησε περὶ αὐτοῦ· ὅμως μέντοι καὶ ἐκ τῶν
[b]ἀρχόντων [c]πολλοὶ ἐπίστευσαν εἰς αὐτόν· ἀλλὰ [d]διὰ
τοὺς Φαρισαίους οὐχ ὡμολόγουν, ἵνα μὴ [e]ἀποσυνά-
43 γωγοι γένωνται. ἠγάπησαν γὰρ [f]τὴν δόξαν τῶν ἀν-
θρώπων μᾶλλον **ἤπερ**[5] [g]τὴν δόξαν τοῦ Θεοῦ.
ρια 44 Ἰησοῦς δὲ [h]ἔκραξε καὶ εἶπεν, [i]"Ὁ πιστεύων εἰς
α ἐμέ, οὐ πιστεύει εἰς ἐμέ, **ἀλλ'**[6] [k]εἰς τὸν πέμψαντά με·
ριβ 45 46 καὶ [a]ὁ [l]θεωρῶν ἐμέ, θεωρεῖ τὸν πέμψαντά με. [m]ἐγὼ
ϛ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα [n]πᾶς ὁ πιστεύων
47 εἰς ἐμέ, ἐν τῇ σκοτίᾳ μὴ μείνῃ. καὶ ἐάν τίς μου
ἀκούσῃ τῶν ῥημάτων καὶ μὴ **πιστεύσῃ**[7], [o]ἐγὼ οὐ
κρίνω αὐτόν· οὐ γὰρ ἦλθον [p]ἵνα κρίνω τὸν κόσμον,
48 ἀλλ' [p]ἵνα σώσω τὸν κόσμον. ὁ [q]ἀθετῶν ἐμὲ καὶ μὴ
λαμβάνων τὰ ῥήματά μου, ἔχει τὸν κρίνοντα αὐτόν·
[r]ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν [s]ἐν[8] τῇ
49 ἐσχάτῃ ἡμέρᾳ. [t]ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα·
ἀλλ' ὁ πέμψας με πατήρ, [u]αὐτός μοι ἐντολὴν **ἔδωκε**[9],
50 τί εἴπω καὶ τί λαλήσω· καὶ οἶδα ὅτι [u]ἡ ἐντολὴ αὐτοῦ
[x]ζωὴ αἰώνιός ἐστιν. ἃ οὖν **λαλῶ ἐγώ**[10], καθὼς εἴρηκέ
μοι ὁ πατήρ, οὕτω λαλῶ."

13 ΠΡΟ δὲ [y]τῆς ἑορτῆς τοῦ πάσχα, εἰδὼς ὁ Ἰησοῦς
ὅτι [z]**ἐλήλυθεν**[11] αὐτοῦ ἡ ὥρα, ἵνα μεταβῇ ἐκ τοῦ κόσ-
μου τούτου [a]πρὸς τὸν πατέρα, ἀγαπήσας [b]τοὺς ἰδίους
ριγ 2 [c]τοὺς ἐν τῷ κόσμῳ, εἰς τέλος ἠγάπησεν αὐτούς[12]. καὶ
θ δείπνου **γενομένου**[13], [d]τοῦ διαβόλου ἤδη βεβληκότος
εἰς τὴν καρδίαν **Ἰούδα Σίμωνος Ἰσκαριώτου, ἵνα αὐτὸν**
Ιϛ'. 3 **παραδῷ**[14], εἰδὼς **ὁ Ἰησοῦς**[15], [e]ὅτι πάντα **δέδωκεν**[16] αὐτῷ
ριδ γ ὁ πατὴρ εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ Θεοῦ [f]ἐξῆλθε καὶ
ριε 4 [a]πρὸς τὸν Θεὸν ὑπάγει, ἐγείρεται ἐκ τοῦ δείπνου, καὶ
ϛ τίθησι τὰ ἱμάτια, καὶ λαβὼν λέντιον [g]διέζωσεν ἑαυ-

[a] Esa. 6. 1. Cf. ver. 45. [b] Vid. Luc. 24. 20. [c] ver. 11. Cf. cap. 7. 48. [d] cap. 3. 2. Vid. cap. 7. 13. [e] Cf. cap. 9. 22; 16. 2. [f] Vid. cap. 5. 41. [g] cap. 5. 44. Cf. ver. 41. [h] cap. 7. 37. [i] Vid. Matt. 10. 40. Cf. 1 Pet. 1. 21. [k] cap. 5. 24. Cf. cap. 14. 1. [l] cap. 14. 9. [m] cap. 8. 19. Vid. cap. 1. 4. Cf. ver. 35. [n] cap. 6. 40. [o] cap. 8. 15. [p] Vid. cap. 3. 17. [q] Vid. Luc. 10. 16. [r] Deut. 18. 18, 19. [s] Cf. Rom. 2. 16. [t] cap. 7. 16; 14. 31; 17. 8. [u] cap. 10. 18. Cf. cap. 1. 18. [x] cap. 3. 16. [y] cap. 11. 55. Matt. 26. 2. [z] Vid. cap. 12. 23. Cf. Matt. 26. 45. cap. 12. 27. [a] ver. 3. cap. 16. 28. [b] cap. 1. 11. Cf. Act. 4. 23. [c] cap. 17. 11. [d] ver. 27. Luc. 22. 3. cap. 6. 70, 71. [e] Vid. Matt. 11. 27. [f] cap. 8. 42. [g] Vid. Luc. 12. 37. Cf. Luc. 22. 27. cap. 21. 7.

1 στραφῶσιν LTTrWHR. 2 ἰάσομαι L (*non marg.*) TTrWHR. 3 Ἠσαΐας L, Ἠσαίας WH. 4 ὅτι LTTr (*non marg.*) WHR. 5 ὑπὲρ WH *marg.* 6 ἀλλὰ LTTrWH. 7 φυλάξῃ LTTrWHR. 8 —ἐν *errore* T. 9 δέδωκεν LTTrWHR. 10 ἐγὼ λαλῶ LTTrWHR. 11 ἦλθεν LTTrWHR. 12 πατέρα,—ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέλος ἠγάπησεν αὐτούς,—καὶ WH *marg.* 13 γινομένου TTrWHR. 14 ἵνα παραδοῖ αὐτὸν Ἰούδας Σίμωνος Ἰσκαριώτης L *marg.* TTrWHR: L *text. cum recept.*, *sed legit* παραδοῖ αὐτόν. 15 —ὁ Ἰησοῦς TTr[L]WHR. 16 ἔδωκεν TTrWHR.

τόν· εἶτα [a]βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ ἤρξατο 5
νίπτειν τοὺς πόδας τῶν μαθητῶν, καὶ ἐκμάσσειν [b]τῷ
λεντίῳ ᾧ ἦν διεζωσμένος. ἔρχεται οὖν πρὸς Σίμωνα 6
Πέτρον· καὶ[1] λέγει αὐτῷ ἐκεῖνος[2], "Κύριε, σύ μου
νίπτεις τοὺς πόδας;" Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν 7
αὐτῷ, "[c]Ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ
[c]μετὰ ταῦτα." Λέγει αὐτῷ Πέτρος, "Οὐ μὴ νίψῃς 8
τοὺς πόδας μου[3] εἰς τὸν αἰῶνα." Ἀπεκρίθη αὐτῷ ὁ
Ἰησοῦς[4], "[d]Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ'
ἐμοῦ." Λέγει αὐτῷ Σίμων Πέτρος[5], "Κύριε, μὴ τοὺς 9
πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κε-
φαλήν." Λέγει αὐτῷ ὁ[6] Ἰησοῦς, "[e]Ὁ λελουμένος 10
οὐ χρείαν ἔχει[7] ἢ[8] [e]τοὺς πόδας[9] νίψασθαι, ἀλλ' ἔστι
καθαρὸς ὅλος· καὶ [f]ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ
πάντες." [g]Ἤιδει γὰρ τὸν παραδιδόντα αὐτόν· διὰ 11
τοῦτο εἶπεν, "[10]Οὐχὶ πάντες καθαροί ἐστε."
Ὅτε οὖν ἔνιψε τοὺς πόδας αὐτῶν, καὶ[11] [h]ἔλαβε τὰ 12
ἱμάτια αὐτοῦ,[12] ἀναπεσὼν[13] πάλιν, εἶπεν[14] αὐτοῖς, [i]"Γι-
νώσκετε τί πεποίηκα ὑμῖν; [k]ὑμεῖς φωνεῖτέ με, Ὁ 13 ρις
διδάσκαλος, καὶ [l]ὁ κύριος· καὶ καλῶς λέγετε, [m]εἰμὶ γ
γάρ. εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας, [m]ὁ κύριος 14 ριζ
καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε [n]ἀλλήλων νίπ- ι
τειν τοὺς πόδας. [o]ὑπόδειγμα γὰρ ἔδωκα[15] ὑμῖν, ἵνα 15
καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε. ἀμὴν 16 ριη
ἀμὴν λέγω ὑμῖν, [p]οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου γ
αὐτοῦ, οὐδὲ [q]ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν.
εἰ ταῦτα οἴδατε, [r]μακάριοί ἐστε [s]ἐὰν ποιῆτε αὐτά. 17
[t]οὐ περὶ πάντων ὑμῶν λέγω· ἐγὼ[16] οἶδα [u]οὓς[17] ἐξελεξά- 18 ριθ
μην· [x]ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ, [y]"Ὁ τρώγων μετ' ι
ἐμοῦ[18] τὸν ἄρτον, ἐπῆρεν[19] ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ.'
ἀπ' ἄρτι[20] [z]λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα ὅταν γέ- 19
νηται, [a]πιστεύσητε[21] ὅτι ἐγώ εἰμι[22]. ἀμὴν ἀμὴν λέγω 20 ρκ
α

[a] Cf. 2 Reg. 3. 11.
[b] ver. 4.
[c] ver. 12—15?
[d] Cf. 1 Cor. 6. 11. Eph. 5. 26. Tit. 3. 5. Heb. 10. 22.
[e] Gen. 18. 4; 19. 2; 24. 32; 43. 24. Judic. 19. 21.
[f] cap. 15. 3.
[g] cap. 6. 64.
[h] ver. 4.
[i] ver. 7.
[k] Cf. Matt. 20. 28.
[l] Luc. 6. 46.
[m] Matt. 23. 8, 10. 1 Cor. 8. 6; 12. 3. Phil. 2. 11.
[n] 1 Tim. 5. 10.
[o] Jac. 5. 10. Vid. Matt. 11. 29.
[p] cap. 15. 20. Vid. Matt. 10. 24.
[q] 1 Cor. 8. 23. Phil. 2. 25. Cf. Act. 14. 4, 14.
[r] Vid. Luc. 11. 28.
[s] Matt. 7. 24. Rev. 1. 3.
[t] ver. 10, 11.
[u] cap. 6. 70; 15. 16, 19.
[x] cap. 17. 12; 19. 24, 28, 36. Cf. Matt. 1. 22. Act. 1. 16.
[y] Ps. 41. 9. Cf. ver. 26. Matt. 26. 23. Marc. 14. 18. Luc. 22. 21.
[z] cap. 14. 29; 16. 4. Ezek. 24. 24.
[a] Vid. cap. 8. 24.

[1] —καὶ TTrWHR. [2] —ἐκεῖνος LTTr *marg.* [Tr] WHR. [3] μου τοὺς πόδας L (*non marg.*) TTrWH. [4] Ἰησοῦς αὐτῷ LTTrWH. [5] Πέτρος Σίμων Tr *marg.* [6] —ὁ T[Tr]WH. [7] οὐκ ἔχει χρείαν LTTrWH. [8] εἰ μὴ LTrWHR. [9] —ἢ τοὺς πόδας TR *marg.*, [εἰ μὴ τοὺς πόδας] WH. [10] + ὅτι LTTrWHR. [11] —καὶ L[Tr *marg.*]. [12] + καὶ LTTrWHR. [13] ἀνέπεσεν TTrWHR. [14] ἀνέπεσεν, πάλιν εἶπεν WH (*non marg.*). [15] δέδωκα TR. [16] + [γὰρ] L. [17] τίνας TTr (*non marg.*) WH. [18] μου Tr (*non marg.*) WHR (*non marg.*). [19] ἐπῆρκεν T. [20] ἀπάρτι T. [21] πιστεύσητε (πιστεύητε TrWH) ὅταν γένηται L *marg.* TTr (*non marg.*) WHR. [22] ἐγὼ εἰμί WH *marg.*

ὑμῖν, [a]"Ὁ λαμβάνων **ἐάν**[1] τινα πέμψω, ἐμὲ λαμβάνει·
ὁ δὲ ἐμὲ λαμβάνων, λαμβάνει τὸν πέμψαντά με."
ρκα δ 21 Ταῦτα εἰπὼν ὁ[2] Ἰησοῦς [b]ἐταράχθη τῷ πνεύματι,
καὶ ἐμαρτύρησε καὶ εἶπεν, [c]"Ἀμὴν ἀμὴν λέγω ὑμῖν,
ρκβ α 22 ὅτι [d]εἷς ἐξ ὑμῶν παραδώσει με." [e]Ἔβλεπον οὖν[3] εἰς
ἀλλήλους οἱ μαθηταί, [f]ἀπορούμενοι περὶ τίνος λέγει.
ρκγ ι 23 ἦν **δὲ**[4] ἀνακείμενος [g]εἷς[5] τῶν μαθητῶν αὐτοῦ [h]ἐν τῷ
24 κόλπῳ τοῦ Ἰησοῦ, [i]ὃν ἠγάπα ὁ[6] Ἰησοῦς· νεύει οὖν
τούτῳ Σίμων Πέτρος **πυθέσθαι τίς ἂν εἴη**[7] περὶ οὗ
25 λέγει. [k]**ἐπιπεσὼν**[8] **δὲ**[9] ἐκεῖνος[10] ἐπὶ τὸ στῆθος τοῦ
26 Ἰησοῦ, λέγει αὐτῷ, "Κύριε, τίς ἐστιν;" Ἀποκρί-
νεται[11] ὁ[12] Ἰησοῦς, [l]"Ἐκεῖνός ἐστιν ᾧ ἐγὼ [m]**βάψας**[13]
τὸ ψωμίον **ἐπιδώσω**[14]." **Καὶ** [m]**ἐμβάψας**[15] **τὸ**[16] ψωμίον,
ρκδ θ / ρκε ι 27 [17][n]δίδωσιν [o]Ἰούδᾳ Σίμωνος **Ἰσκαριώτῃ**[18]. καὶ μετὰ τὸ
ψωμίον, [p]τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς. λέγει
οὖν αὐτῷ ὁ[19] Ἰησοῦς, "Ὃ ποιεῖς, ποίησον τάχιον[20]."
28 Τοῦτο **δὲ**[21] οὐδεὶς ἔγνω τῶν ἀνακειμένων πρὸς τί εἶπεν
29 αὐτῷ. τινὲς γὰρ ἐδόκουν, ἐπεὶ [q]τὸ γλωσσόκομον εἶ-
χεν ὁ[22] Ἰούδας, ὅτι λέγει αὐτῷ ὁ[23] Ἰησοῦς, "Ἀγόρα-
σον ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτήν·" ἢ τοῖς πτω-
30 χοῖς ἵνα τι δῷ. λαβὼν οὖν τὸ ψωμίον ἐκεῖνος, **εὐ-
θέως ἐξῆλθεν**[24]· ἦν δὲ νὺξ ὅτε[25] ἐξῆλθε.
31 Λέγει ὁ[26] Ἰησοῦς, "Νῦν [r]ἐδοξάσθη ὁ υἱὸς τοῦ
32 ἀνθρώπου, καὶ [s]ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ. **εἰ ὁ Θεὸς
ἐδοξάσθη ἐν αὐτῷ**[27], καὶ [t]ὁ Θεὸς δοξάσει αὐτὸν ἐν
33 **ἑαυτῷ**[28], καὶ [u]εὐθὺς δοξάσει αὐτόν. Τεκνία, [x]ἔτι μικρὸν
μεθ' ὑμῶν εἰμι. ζητήσετέ με, καὶ [y]καθὼς εἶπον τοῖς
Ἰουδαίοις, Ὅτι ὅπου **ὑπάγω ἐγώ**[29], ὑμεῖς οὐ δύνασθε
34 ἐλθεῖν, καὶ ὑμῖν λέγω ἄρτι. [z]ἐντολὴν καινὴν δίδωμι
ὑμῖν, ἵνα [a]ἀγαπᾶτε ἀλλήλους· [b]καθὼς ἠγάπησα ὑμᾶς,

[a] Vid. Matt. 10. 40.
[b] cap. 11. 33; 12. 27.
[c] Matt. 26. 21. Marc. 14. 18.
[d] Act. 1. 17.
[e] Matt. 26. 22. Luc. 22. 23.
[f] 2 Cor. 4. 8. Gal. 4. 20.
[g] cap. 21. 20.
[h] Luc. 16. 22.
[i] cap. 19. 26; 20. 2; 21. 7.
[k] (var. lect.) cap. 21. 20.
[l] Matt. 26. 23. Marc. 14. 20. Luc. 22. 21.
[m] Ruth 2. 14.
[n] Cf. Matt. 26. 25.
[o] cap. 6. 71. Vid. Matt. 26. 14. Cf. ver. 18. Luc. 22. 8.
[p] ver. 2.
[q] cap. 12. 6.
[r] Vid. cap. 7. 39.
[s] cap. 14. 13; 17. 4. 1 Pet. 4. 11. Cf. 1 Pet. 1. 21.
[t] cap. 17. 1, 5.
[u] Cf. cap. 12. 23.
[x] Matt. 26. 11. Vid. cap. 7. 33.
[y] cap. 7. 34; 8. 21.
[z] 1 Joan. 2. 7, 8. 2 Joan. 5. Cf. cap. 15. 12, 17. 1 Joan. 3. 11, 23.
[a] Lev. 19. 18. Rom. 13. 8. Gal. 5. 14. 1 Thess. 4. 9. 1 Pet. 1. 22. 1 Joan. 4. 7, 10, 11, 21. Vid. Matt. 19. 19.
[b] Eph. 5. 2.

[1] ἄν LTTrWH. [2] —ὁ TTrWH. [3] —οὖν T[Tr]WHR. [4] —δὲ TTrWHR. [5] + ἐκ LTTrWHR. [6] [ὁ] WH. [7] καὶ λέγει αὐτῷ Εἰπὲ τίς ἐστιν LTTrWHR. [8] ἀναπεσὼν LTrWHR. [9] οὖν T[Tr *marg.*], —δὲ TrWHR. [10] + οὕτως T[Tr]WHR. [11] + οὖν [LTr *marg.*]WHR. [12] [ὁ] TrWH. [13] ἐμβάψας L, βάψω TTrWHR. [14] καὶ δώσω αὐτῷ TTrWHR. [15] βάψας οὖν L *marg.* TTrWHR. [16] [τὸ] WH. [17] + λαμβάνει καὶ TTr[Tr *marg.*]WHR. [18] Ἰσκαριώτου TTrWHR. [19] —ὁ TTrWH. [20] τάχειον WH. [21] [δὲ] WH. [22] —ὁ LTTrWH. [23] —ὁ T[Tr]WH. [24] ἐξῆλθεν εὐθύς L (*non marg.*) TTrWHR. [25] + οὖν BELTTrWHR (ὅτε οὖν ἐξῆλθεν *cum v.* 31 *conjuncto*). [26] —ὁ TTrWH. [27] —εἰ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ [LTr]WHR. [28] αὐτῷ TTr (*non marg.*) R, αὑτῷ WH. [29] ἐγὼ ὑπάγω LTTrWHR.

ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους. [a] ἐν τούτῳ γνώσον- 35
ται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε
ἐν ἀλλήλοις." Λέγει αὐτῷ Σίμων Πέτρος, "Κύριε, 36
ποῦ ὑπάγεις;" ἀπεκρίθη **αὐτῷ** ὁ[1] Ἰησοῦς, [b] "[g]Ὅπου[2]
ὑπάγω, [c] οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι· [d] **ὕστερον δὲ
ἀκολουθήσεις μοι**[3]." [e] Λέγει αὐτῷ ὁ[4] Πέτρος, "**Κύριε**[5], 37 ρκϛ
διατί[6] οὐ δύναμαί σοι **ἀκολουθῆσαι**[7] ἄρτι; τὴν ψυχήν α
μου ὑπὲρ σοῦ θήσω." **Ἀπεκρίθη αὐτῷ** ὁ[8] Ἰησοῦς, 38
"Τὴν ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις; ἀμὴν ἀμὴν
λέγω σοι, [f] οὐ μὴ ἀλέκτωρ **φωνήσει**[9] ἕως οὗ **ἀπαρ-
νήσῃ**[10] με [g] τρίς."

[h] "Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία· [i] πιστεύετε εἰς[11] 14 ρκζ
τὸν Θεόν, καὶ εἰς ἐμὲ πιστεύετε. ἐν τῇ οἰκίᾳ τοῦ 2 β
πατρός μου μοναὶ πολλαί εἰσιν· εἰ δὲ μή, εἶπον ἂν
ὑμῖν· [k] [12] πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν. καὶ ἐὰν 3
[k] πορευθῶ **καὶ**[13] ἑτοιμάσω **ὑμῖν τόπον**[14], [l] πάλιν ἔρχομαι
καὶ **παραλήψομαι**[15] ὑμᾶς πρὸς ἐμαυτόν· ἵνα [m] ὅπου εἰμὶ
ἐγώ[16], καὶ ὑμεῖς ἦτε. καὶ ὅπου **ἐγὼ**[17] ὑπάγω οἴδατε, 4
καὶ[18] τὴν ὁδὸν **οἴδατε**[19]." Λέγει αὐτῷ [n] Θωμᾶς, "Κύριε, 5
οὐκ οἴδαμεν ποῦ ὑπάγεις· **καὶ**[20] πῶς **δυνάμεθα τὴν
ὁδὸν εἰδέναι**[21];" Λέγει αὐτῷ ὁ[22] Ἰησοῦς, "Ἐγώ εἰμι [o] ἡ 6
ὁδὸς καὶ [p] ἡ ἀλήθεια καὶ [q] ἡ ζωή· οὐδεὶς ἔρχεται πρὸς
τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ. [r] εἰ **ἐγνώκειτέ με**[23], καὶ τὸν 7
πατέρα μου **ἐγνώκειτε ἂν**[24]· **καὶ**[25] ἀπ' ἄρτι[26] [s] γινώσκετε
αὐτόν, καὶ ἑωράκατε **αὐτόν**[27]." Λέγει αὐτῷ [t] Φίλιππος, 8
"Κύριε, δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν."
Λέγει αὐτῷ ὁ[28] Ἰησοῦς, "**Τοσοῦτον χρόνον**[29] μεθ' 9
ὑμῶν εἰμί, καὶ οὐκ ἔγνωκάς με, [t] Φίλιππε; [u] ὁ ἑωρακὼς
ἐμέ, ἑώρακε τὸν πατέρα· **καὶ**[30] πῶς σὺ λέγεις, Δεῖξον
ἡμῖν τὸν πατέρα; [x] οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρί, 10
καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστι; τὰ ῥήματα ἃ ἐγὼ **λαλῶ**[31]

[a] Cf. 1 Joan. 4. 20.
[b] ver. 33. Cf. cap. 13. 33; 16. 5.
[c] cap. 7. 34.
[d] cap. 21. 18, 19. Cf. 2 Pet. 1. 14.
[e] ver. 37, 38, Matt. 26. 33—35. Marc. 14. 29—31. Luc. 22. 33, 34.
[f] cap. 18. 27.
[g] Marc. 14. 72.
[h] ver. 27. Cf. cap. 16. 22, 23.
[i] Cf. cap. 12. 44.
[k] Cf. cap. 13. 33, 36.
[l] ver. 18, 28.
[m] Vid. cap. 12. 26.
[n] Vid. cap. 11. 16.
[o] Heb. 9. 8; 10. 20. Cf. Eph. 2. 18.
[p] cap. 1. 14, 17.
[q] Vid. cap. 1. 4 & 11. 25.
[r] cap. 8. 19.
[s] 1 Joan. 2. 13.
[t] ver. 9. Vid. cap. 1. 44.
[u] cap. 12. 45. Cf. cap. 10. 30; 15. 24. Col. 1. 15. Heb. 1. 3.
[x] ver. 11, 20. Vid. cap. 10. 38.

[1] —αὐτῷ ὁ LTTrWHR. [2] + ἐγὼ T. [3] ἀκολουθήσεις δὲ ὕστερον LTTrWHR. [4] —ὁ LTTr[WH]. [5] —Κύριε WH *marg.* [6] Διὰ τί WH. [7] ἀκολουθεῖν TrWH. [8] ἀποκρίνεται LTTrWHR. [9] φωνήσῃ LTTrWHR. [10] ἀρνήσῃ L (*non marg.*) TTrWHR. [11] πιστεύετε, εἰς WH *marg.* [12] + ὅτι LTTrWHR. [13] —καὶ L[Tr *marg.*]. [14] τόπον ὑμῖν TTr (*non marg.*) WH. [15] παραλήμψομαι LTTrWH. [16] [ἐγὼ] Tr *marg.* [17] [ἐγὼ] L. [18] —καὶ TTr[LTr *marg.*]WH.R (*non marg.*). [19] —οἴδατε TTr[LTr *marg.*]WH.R (*non marg.*). [20] —καὶ L (*non marg.*) TrWHR. [21] οἴδαμεν τὴν ὁδόν L (*non marg.*) TTr (*non marg.*) WHR. [22] —ὁ TWH. [23] ἐγνώκατε ἐμέ T. [24] γνώσεσθε T, ἂν ᾔδειτε TrR, ἂν ᾔδειτε WH. [25] —καὶ Tr[LTr *marg.*]WHR. [26] ἀπάρτι T. [27] —αὐτόν [LTr]WH (*non marg.*). [28] [ὁ] WH. [29] τοσούτῳ χρόνῳ LTTr *marg.* WH *marg.* [30] —καὶ LT[Tr]WHR. [31] λέγω TTr (*non marg.*) WHR.

ὑμῖν, [a]ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ πατὴρ ὁ[1] ἐν ἐμοὶ
11 μένων, [b]**αὐτὸς ποιεῖ τὰ ἔργα**[2,3]. πιστεύετέ μοι [c]ὅτι
ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί[4]· εἰ δὲ μή,
12 [b d]διὰ τὰ ἔργα **αὐτὰ**[5] πιστεύετέ **μοι**[6]. Ἀμὴν ἀμὴν λέγω
ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ, κἀ-
κεῖνος ποιήσει, καὶ [e]μείζονα τούτων ποιήσει· [f]ὅτι
ρκη 13 ἐγὼ πρὸς τὸν πατέρα **μου**[7] πορεύομαι[8]. καὶ ὅ τι[9] ἂν
δ [g]**αἰτήσητε**[10] [h]ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω· ἵνα
14 [i]δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ. ἐάν τι αἰτήσητε[11] ἐν
τῷ ὀνόματί μου, **ἐγὼ**[12] ποιήσω.
15 [k]"Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς **τηρή-**
16 **σατε**[13]. **καὶ ἐγὼ**[14] ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον
[l]παράκλητον δώσει ὑμῖν, ἵνα **μένῃ μεθ᾽ ὑμῶν εἰς τὸν**
17 **αἰῶνα**[15], [m]τὸ πνεῦμα τῆς ἀληθείας, [n]ὃ ὁ κόσμος οὐ
δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό, οὐδὲ γινώσκει
αὐτό[16]· ὑμεῖς **δὲ**[17] γινώσκετε αὐτό, ὅτι παρ᾽ ὑμῖν
18 μένει, καὶ ἐν ὑμῖν **ἔσται**[18]. οὐκ ἀφήσω ὑμᾶς ὀρφα-
19 νούς· [o]ἔρχομαι πρὸς ὑμᾶς. [p]ἔτι μικρὸν καὶ ὁ κόσμος
με οὐκ ἔτι[19] θεωρεῖ, [q]ὑμεῖς δὲ θεωρεῖτέ με· [r]ὅτι ἐγὼ
20 ζῶ, καὶ ὑμεῖς **ζήσεσθε**[20]. [s]ἐν ἐκείνῃ τῇ ἡμέρᾳ **γνώ-**
σεσθε ὑμεῖς[21] ὅτι [c]ἐγὼ ἐν τῷ πατρί μου, καὶ ὑμεῖς ἐν
21 ἐμοί, [t]κἀγὼ ἐν ὑμῖν· ὁ ἔχων τὰς ἐντολάς μου καὶ
ρκθ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· [k u]ὁ δὲ ἀγα-
α πῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου· **καὶ**
ἐγὼ[22] ἀγαπήσω αὐτόν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν."
ρλ 22 Λέγει αὐτῷ [x]Ἰούδας, οὐχ ὁ Ἰσκαριώτης, "Κύριε, [y 23]τί
ι γέγονεν ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτόν, καὶ
23 οὐχὶ τῷ κόσμῳ;" Ἀπεκρίθη ὁ[24] Ἰησοῦς καὶ εἶπεν
αὐτῷ, [k]"Ἐάν τις ἀγαπᾷ με, [z]τὸν λόγον μου τηρήσει,
καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν, καὶ [a]πρὸς αὐτὸν
24 ἐλευσόμεθα, καὶ [b]μονὴν παρ᾽ αὐτῷ **ποιήσομεν**[25]. ὁ μὴ

[a] Cf. ver. 24. cap. 5. 19.
[b] Cf. cap. 3. 2.
[c] ver. 20. Vid. cap. 5. 36.
[d] cap. 10. 38.
[e] Cf. Matt. 17. 20; 21. 21. cap. 5. 20.
[f] ver. 28. Cf. cap. 7. 33.
[g] Vid. Matt. 7. 7.
[h] Cf. Eph. 5. 20.
[i] Vid. cap. 13. 31.
[k] ver. 21, 23. cap. 15. 10. 1 Joan. 5. 3. 2 Joan. 6.
[l] ver. 26. cap. 15. 26; 16. 7. 1 Joan. 2. 1. Cf. cap. 7. 39. Rom. 8. 26.
[m] cap. 15. 26; 16. 13. 1 Joan. 4. 6. Cf. 1 Joan. 2. 5, 27; 5. 6.
[n] 1 Cor. 2. 14.
[o] ver. 3, 28.
[p] Vid. cap. 7. 33.
[q] Cf. cap. 16. 16.
[r] Cf. Eph. 2. 6.
[s] cap. 16. 23.
[t] cap. 17. 21, 23, 26.
[u] cap. 16. 27.
[x] Luc. 6. 16. Act. 1. 13.
[y] Cf. Act. 10. 41.
[z] Vid. cap. 8. 51.
[a] Rev. 3. 20.
[b] Cf. 2 Cor. 6. 16. 1 Joan. 2. 24.

[1] —ὁ [LTr]WHR. [2] ποιεῖ τὰ ἔργα αὐτοῦ TTrWHR. [3] + [αὐτοῦ] L. [4] + ἐστιν E. [5] αὐτοῦ WH *marg.* [6] —μοι T[Tr] WH (*non marg.*). [7] —μου LTTrWHR. [8] πορεύομαι, WH *marg.* [9] ὅτι WH. [10] αἰτῆτε Tr *marg.* WH *marg.* [11] + με T[LTr *marg.* WH]R (*non marg.*). [12] τοῦτο L *marg.* Tr *marg.* WH (*non marg.*) R. [13] τηρήσετε TTr (*non marg.*) WHR. [14] κἀγὼ LTTrWH. [15] μεθ᾽ ὑμῶν εἰς τὸν αἰῶνα ᾖ LWH *marg.*, μεθ᾽ ὑμῶν ᾖ εἰς τὸν αἰῶνα T, ᾖ μεθ᾽ ὑμῶν εἰς τὸν αἰῶνα TrWHR. [16] —αὐτό [L]WH. [17] —δὲ T[LTr]WHR. [18] ἐστίν LTrWH (*non marg.*). [19] οὐκέτι LTWH. [20] ζήσετε TTrWH. [21] [ὑμεῖς] γνώσεσθε L, ὑμεῖς γνώσεσθε TrWH. [22] κἀγὼ LTTrWH. [23] + καὶ T. [24] —ὁ LTTrWH. [25] ποιησόμεθα LTTrWHR.

ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ· καὶ [a]ὁ λόγος ρλα
ὃν ἀκούετε, [b]οὐκ ἔστιν ἐμός, ἀλλὰ [c]τοῦ πέμψαντός με α
πατρός.
"Ταῦτα λελάληκα ὑμῖν παρ' ὑμῖν μένων· ὁ δὲ 25 ρλβ
[d]παράκλητος, τὸ Πνεῦμα τὸ Ἅγιον, [e]ὃ πέμψει ὁ πα- 26 ι
τὴρ ἐν τῷ ὀνόματί μου, [f]ἐκεῖνος ὑμᾶς διδάξει πάντα,
καὶ [g]ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν[1]. [h]εἰρήνην 27
ἀφίημι ὑμῖν, [i]εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ κα-
θὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν· μὴ [k]ταρασ-
σέσθω ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω. [l]ἠκούσατε ὅτι 28
ἐγὼ εἶπον ὑμῖν, Ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς. εἰ
ἠγαπᾶτέ με, ἐχάρητε ἂν ὅτι εἶπον,[2] [m]Πορεύομαι πρὸς
τὸν πατέρα· ὅτι [n]ὁ πατήρ μου[3] μείζων μου ἐστί. καὶ 29
[o]νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι· ἵνα ὅταν γένηται,
πιστεύσητε.
"Οὐκ ἔτι[4] πολλὰ λαλήσω μεθ' ὑμῶν· ἔρχεται 30
γὰρ [p]ὁ τοῦ κόσμου τούτου[5] ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ
ἔχει οὐδέν· [q]ἀλλ' ἵνα γνῷ ὁ κόσμος, ὅτι ἀγαπῶ τὸν 31
πατέρα, καὶ[6] [r]καθὼς ἐνετείλατό[7] μοι ὁ πατήρ, οὕτω
ποιῶ·[8] [s]ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν.
[t]"ΕΓΩ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ πατήρ 15
μου ὁ γεωργός ἐστι. [u]πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον 2
καρπόν, αἴρει αὐτό· καὶ πᾶν τὸ καρπὸν φέρον, καθ-
αίρει αὐτό, [x]ἵνα πλείονα καρπὸν[9] φέρῃ. ἤδη [y]ὑμεῖς 3
καθαροί ἐστε, [z]διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν.
μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. [a]καθὼς τὸ κλῆμα οὐ 4
δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ[10] ἐν
τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς, [a]ἐὰν μὴ ἐν ἐμοὶ μεί-
νητε[11]. ἐγώ εἰμι ἡ ἄμπελος, [b]ὑμεῖς τὰ κλήματα. [c]ὁ 5
μένων ἐν ἐμοί, κἀγὼ ἐν αὐτῷ, [d]οὗτος φέρει καρπὸν
πολύν: ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.
ἐὰν μή τις μείνῃ[12] ἐν ἐμοί, [e]ἐβλήθη ἔξω ὡς τὸ κλῆμα, 6
καὶ [e]ἐξηράνθη, καὶ [e]συνάγουσιν αὐτὰ[13] καὶ [e]εἰς[14] πῦρ

[a] Cf. ver. 10. [b] Cf. cap. 1. 18. Vid. cap. 8. 11. [c] cap. 7. 16. [d] Vid. ver. 16. [e] Cf. cap. 15. 26; 16. 7; Rom. 8. 9 cum Luc. 24. 49. Act. 2. 33. [f] cap. 16. 13. 1 Joan. 2. 27. Cf. 1 Cor. 2. 10. [g] cap. 2. 22. [h] Luc. 24. 36. cap. 20. 19, 21, 26. [i] cap. 16. 33. Col. 3. 15 (var. lect.). Cf. Phil. 4. 7. [k] ver. 1. [l] ver. 3, 18. [m] ver. 12. [n] Cf. cap. 10. 29. Phil. 2. 6. [o] cap. 13. 19. [p] Vid. cap. 12. 31. [q] cap. 17. 23. [r] Vid. cap. 12. 49. [s] Cf. cap. 18. 2 cum cap. 18. 1. [t] Cf. cap. 10. 7, 9, 11. [u] ver. 1. Vid. Matt. 7. 19. Cf. Matt. 15. 13. Rom. 11. 17, 22. 2 Pet. 1. 8. [x] Cf. Matt. 13. 12. [y] cap. 13. 10. [z] Cf. cap. 17. 17. Eph. 5. 26. [a] 1 Joan. 2. 6. Cf. Phil. 1. 11. Vid. cap. 6. 56. [b] Cf. Rom. 6. 5. [c] ver. 4. [d] ver. 16. Col. 1. 6. [e] Matt. 13. 6, 40.

[1] + ἐγὼ WH. [2] —εἶπον, LTTrWHR. [3] —μου TTr[L]WHR. [4] οὐκέτι LTWH. [5] —τούτου LTTrWHR. [6] [καὶ] L. [7] ἐντολὴν ἔδωκέν LTrWH. [8] , *pro* · Tr *marg.* (. WHR). [9] καρπὸν πλείονα LTTrWH. [10] μένῃ L *marg.* TWH. [11] μένητε LTTr (*non marg.*) WH. [12] μένῃ LTTrWH. [13] αὐτὸ TTr *marg.* [14] + τὸ TTrWHR.

ρλγ 7 βάλλουσι, καὶ καίεται. ἐὰν [a]μείνητε ἐν ἐμοί, καὶ τὰ
δ ῥήματά μου ἐν ὑμῖν μείνῃ, [b]ὃ ἐὰν[1] θέλητε αἰτήσεσθε[2],
ρλδ 8 καὶ γενήσεται ὑμῖν. [c]ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ
ι μου, ἵνα καρπὸν πολὺν φέρητε· καὶ γενήσεσθε[3] [a]ἐμοὶ
9 μαθηταί. [d]Καθὼς ἠγάπησέ με ὁ πατήρ, κἀγὼ ἠγά-
10 πησα ὑμᾶς[4]· μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. [e]ἐὰν τὰς
ἐντολάς μου τηρήσητε, [e]μενεῖτε ἐν τῇ ἀγάπῃ μου·
[f]καθὼς ἐγὼ[5] [g]τὰς ἐντολὰς τοῦ πατρός[6] μου[7] τετήρηκα,
11 καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. [h]ταῦτα λελάληκα ὑμῖν,
ἵνα [i]ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ[8], καὶ [h i]ἡ χαρὰ ὑμῶν
12 πληρωθῇ. αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, [k]ἵνα ἀγαπᾶτε
ρλε 13 ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς. [l]μείζονα ταύτης
δ ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις[9] [m]τὴν ψυχὴν αὐτοῦ θῇ
ρλϛ 14 ὑπὲρ [n]τῶν φίλων αὐτοῦ. ὑμεῖς [n]φίλοι μου ἐστέ, [o]ἐὰν
ι 15 ποιῆτε ὅσα[10] ἐγὼ ἐντέλλομαι ὑμῖν. οὐκέτι ὑμᾶς
λέγω[11] δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ
ὁ κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι [p]πάντα ἃ
16 ἤκουσα παρὰ τοῦ πατρός μου, [q]ἐγνώρισα ὑμῖν. οὐχ
ὑμεῖς με ἐξελέξασθε, ἀλλ' [r]ἐγὼ ἐξελεξάμην ὑμᾶς,
καὶ ἔθηκα ὑμᾶς, ἵνα ὑμεῖς ὑπάγητε καὶ [s]καρπὸν φέ-
ρλζ δ ρητε, καὶ [s]ὁ καρπὸς ὑμῶν μένῃ· ἵνα [b]ὅ τι[12] ἂν αἰτήσητε[13]
ρλη 17 τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δῷ[14] ὑμῖν. ταῦτα
ι 18 ἐντέλλομαι ὑμῖν, [k]ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ [t]ὁ
κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν[15]
19 μεμίσηκεν. [u]εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν
τὸ ἴδιον ἐφίλει· ὅτι δὲ [x]ἐκ τοῦ κόσμου οὐκ ἐστέ,
ἀλλ' [r]ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ
ρλθ 20 τοῦτο [y]μισεῖ ὑμᾶς ὁ κόσμος. μνημονεύετε τοῦ λό-
γ γου οὗ ἐγὼ εἶπον ὑμῖν, [z]Οὐκ ἔστι δοῦλος μείζων
ρμ τοῦ κυρίου αὐτοῦ. [a]εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξου-
ι σιν· εἰ [b]τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον
ρμα α 21 τηρήσουσιν. ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν[16]
ρμβ γ [c]διὰ τὸ ὄνομά μου, ὅτι [d]οὐκ οἴδασι τὸν πέμψαντά με.

[1] ἂν L. [2] αἰτήσασθε LTTrWHR. [3] γένησθε LTrWH (*non marg.*) R *marg.* [4] ὑμᾶς ἠγάπησα (· WH *marg.*, , WH *text.*) L (*non marg.*) TrWH. [5] κἀγὼ T. [6] τοῦ πατρὸς (+ μου TWH *marg.*) τὰς ἐντολὰς L *marg.* TTr *marg.* WH. [7] —μου L. [8] ᾖ LTTrWHR. [9] —τις T. [10] ἃ LTTrWH *marg.* R, ὃ Tr *marg.* WH. [11] λέγω ὑμᾶς LTTrWHR. [12] ὅτι WH. [13] αἰτῆτε Tr *marg.* WH *marg.* [14] δώῃ Tr *marg.* [15] —ὑμῶν T. [16] εἰς ὑμᾶς L (*non marg.*) TTrWHR.

[a] cap. 8. 31. Cf. Col. 3. 16.
[b] ver. 16. Vid. Matt. 7. 7.
[c] Esa. 61. 3. Vid. Matt. 5. 16.
[d] cap. 17. 23, 24, 26.
[e] Vid. cap. 14. 15.
[f] cap. 8. 55.
[g] cap. 10. 18.
[h] cap. 17. 13.
[i] Vid. cap. 3. 29. Cf. 2 Cor. 2. 3. Heb. 12. 2.
[k] ver. 17. Cf. cap. 13. 34.
[l] Rom. 5. 7, 8. Eph. 5. 2.
[m] 1 Joan. 3. 16. Cf. cap. 10. 11.
[n] Luc. 12. 4.
[o] Cf. Matt. 12. 50.
[p] cap. 8. 32; 8. 26, 40.
[q] cap. 17. 8, 14, 26. Cf. 1 Cor. 2. 16.
[r] ver. 19. cap. 6. 70; 13. 18.
[s] ver. 5. 2 Joan. 8.
[t] Matt. 24. 9. 1 Joan. 3. 13. ver. 23, 24. Vid. cap. 7. 7.
[u] Cf. Matt. 10. 22. 1 Joan. 4. 5.
[x] cap. 8. 23; 17. 14. Cf. Luc. 6. 26. Gal. 1. 4. Jac. 4. 4.
[y] cap. 17. 14.
[z] cap. 13. 16. Vid. Matt. 10. 24.
[a] 1 Cor. 4. 12. 2 Cor. 4. 9. 2 Tim. 3. 12.
[b] Vid. cap. 8. 51. Cf. Ezek. 3. 7.
[c] 1 Pet. 4. 14, 16 (var. lect.). Cf. Matt. 10. 22.
[d] cap. 16. 3. Cf. cap. 8. 19, 55; 17. 25. Act. 3. 17. 1 Cor. 1. 21. Gal. 4. 8. 1 Joan. 3. 1 4. 8.

εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, [a]ἁμαρτίαν οὐκ εἴ- 22 ρμγ ι
χον[1]· νῦν δὲ [b]πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρ-
τίας αὐτῶν. [c]ὁ ἐμὲ μισῶν, καὶ τὸν πατέρα μου μισεῖ. 23
[d]εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, [e]ἃ οὐδεὶς ἄλλος 24 ρμδ ι
πεποίηκεν[2], [a]ἁμαρτίαν οὐκ εἶχον[1]· νῦν δὲ καὶ [f]ἑωρά-
κασι, καὶ [c]μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου·
ἀλλ' [g]ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ 25 ρμε
αὐτῶν[3], [h]‘Ὅτι ἐμίσησάν με [i]δωρεάν.’ Ὅταν δὲ[4] ἔλθῃ 26 ι ΙΖ'.
[k]ὁ παράκλητος, [l]ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός,
[m]τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπο-
ρεύεται, [n]ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· καὶ [o]ὑμεῖς δὲ 27
μαρτυρεῖτε, ὅτι [p]ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε[5].

“Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ [q]σκανδαλισθῆτε. 16
[r]ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' [s]ἔρχεται ὥρα, 2 ρμϛ α
ἵνα [t]πᾶς ὁ ἀποκτείνας ὑμᾶς[6], δόξῃ λατρείαν προσφέ-
ρειν τῷ Θεῷ. καὶ ταῦτα ποιήσουσιν ὑμῖν[7], [u]ὅτι οὐκ 3
ἔγνωσαν τὸν πατέρα οὐδὲ ἐμέ. ἀλλὰ ταῦτα λελά- 4
ληκα ὑμῖν, ἵνα [x]ὅταν ἔλθῃ ἡ ὥρα[8], μνημονεύητε αὐ-
τῶν[9], ὅτι ἐγὼ εἶπον ὑμῖν· ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς
οὐκ εἶπον, ὅτι μεθ' ὑμῶν ἤμην. νῦν δὲ [y]ὑπάγω πρὸς 5 ρμζ ι
τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με,
Ποῦ ὑπάγεις; ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, [z]ἡ 6
λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. ἀλλ' ἐγὼ τὴν 7
ἀλήθειαν λέγω ὑμῖν, συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω.
ἐὰν γὰρ[10] μὴ ἀπέλθω, [k]ὁ παράκλητος οὐκ ἐλεύσεται[11]
πρὸς ὑμᾶς· [a]ἐὰν δὲ πορευθῶ, [b]πέμψω αὐτὸν πρὸς
ὑμᾶς· καὶ[12] ἐλθὼν ἐκεῖνος [c]ἐλέγξει τὸν κόσμον περὶ 8
ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως.
περὶ ἁμαρτίας μέν, [d]ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ· περὶ 9, 10
[e]δικαιοσύνης δέ, ὅτι [y]πρὸς τὸν πατέρα μου[13] ὑπάγω,
καὶ οὐκ ἔτι[14] θεωρεῖτέ με· περὶ δὲ κρίσεως, ὅτι [f]ὁ 11
ἄρχων τοῦ κόσμου τούτου [g]κέκριται.

“Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν[15], ἀλλ' οὐ δύνασθε 12

[1] εἴχοσαν LTTrWH. [2] ἐποίησεν LTTrWHR. [3] ἐν τῷ νόμῳ αὐτῶν γεγραμμένος LTTrWH. [4] —δὲ T[Tr]WH. [5] ἐστέ WH. [6] [ὑμᾶς] WH. [7] —ὑμῖν LTTrWHR. [8] + αὐτῶν LTrWHR. [9] [αὐτῶν] Tr. [10] + ἐγὼ L. [11] οὐ μὴ ἔλθῃ Tr (*non marg.*) WH. [12] ὑμᾶς. Καὶ WH (*non marg.*). [13] —μου TTrWHR. [14] οὐκέτι LTWH. [15] ὑμῖν λέγειν L *marg.* TTr (*non marg.*) WH.

[a] ver. 24. cap. 9. 41.
[b] Act. 27. 30.
[c] cap. 5. 23. Vid. ver. 18.
[d] cap. 10. 37.
[e] Vid. cap. 5. 36.
[f] Cf. cap. 14. 9.
[g] Vid. cap. 10. 34.
[h] Ps. 35. 19; 69. 4.
[i] Vid. Matt. 10. 8.
[k] Vid. cap. 14. 16.
[l] Vid. cap. 14. 26.
[m] cap. 14. 17; 16. 13.
[n] 1 Joan. 5. 6. Cf. 1 Cor. 12. 3.
[o] cap. 19. 35; 21. 24. 1 Joan. 1. 2; 4. 14. Cf. Luc. 24. 48. Act. 4. 20.
[p] Luc. 1. 2. 1 Joan. 2. 7.
[q] Vid. Matt. 11. 6.
[r] cap. 9. 22; 12. 42. Cf. Luc. 6. 22.
[s] ver. 25, 32. Vid. cap. 4. 21.
[t] Matt. 24. 9. Cf. Esa. 66. 5.
[u] cap. 15. 21. Vid. Luc. 23. 34. Cf. cap. 8. 19.
[x] Vid. Luc. 22. 53. Cf. cap. 13. 19.
[y] ver. 10, 17, 28. Vid. cap. 7. 33. Cf. cap. 13. 36; 14. 5.
[z] ver. 22. Cf. cap. 14. 1.
[a] Cf. cap. 7. 39.
[b] Vid. cap. 14. 26.
[c] cap. 8. 46. 1 Cor. 14. 24. Tit. 1. 9. Jac. 2. 9. Jud. 15 (var. lect.).
[d] cap. 8. 24.
[e] Cf. Act. 17. 31.
[f] cap. 12. 31.
[g] Cf. Col. 2. 15. Heb. 2. 14.

13 [a]βαστάζειν [b]ἄρτι. ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ [c]πνεῦμα
τῆς ἀληθείας, [d]ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν[1]·
οὐ γὰρ λαλήσει ἀφ᾽ ἑαυτοῦ, ἀλλ᾽ ὅσα ἂν[2] ἀκούσῃ[3]
14 λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. ἐκεῖνος
ἐμὲ [e]δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται[4], καὶ ἀναγ-
ρμη 15 γελεῖ ὑμῖν. [f]πάντα ὅσα ἔχει ὁ πατήρ, ἐμά ἐστι· διὰ
γ τοῦτο εἶπον, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται[5], καὶ ἀναγ-
ρμθ 16 γελεῖ ὑμῖν. [g]Μικρὸν καὶ οὐ[6] θεωρεῖτέ με, καὶ [h]πάλιν
ι μικρὸν καὶ ὄψεσθέ με, ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέ-
17 ρα[7].” Εἶπον[8] οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλ-
λήλους, “Τί ἐστι τοῦτο ὃ λέγει ἡμῖν, Μικρὸν καὶ οὐ
θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με; καί,
18 Ὅτι ἐγὼ[9] [i]ὑπάγω πρὸς τὸν πατέρα;” Ἔλεγον οὖν,
“Τοῦτο τί ἐστιν[10] ὃ λέγει, τὸ[11] μικρόν; οὐκ οἴδαμεν τί
19 λαλεῖ[12].” [k]Ἔγνω οὖν ὁ[13] Ἰησοῦς ὅτι ἤθελον αὐτὸν [r]ἐρω-
τᾶν, καὶ εἶπεν αὐτοῖς, “Περὶ τούτου ζητεῖτε μετ᾽
ἀλλήλων, ὅτι εἶπον, Μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ
20 πάλιν μικρὸν καὶ ὄψεσθέ με; ἀμὴν ἀμὴν λέγω ὑμῖν,
ὅτι [l]κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χα-
ρήσεται· ὑμεῖς δὲ[14] λυπηθήσεσθε, ἀλλ᾽[15] [m]ἡ λύπη
21 ὑμῶν εἰς χαρὰν γενήσεται. [n]ἡ γυνὴ ὅταν τίκτῃ,
λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δὲ γεν-
νήσῃ τὸ παιδίον, οὐκ ἔτι[16] μνημονεύει τῆς θλίψεως,
διὰ τὴν χαράν, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσ-
22 μον. καὶ [o]ὑμεῖς οὖν λύπην μὲν νῦν[17] ἔχετε[18]· πάλιν δὲ
ὄψομαι ὑμᾶς, καὶ [p]χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν
23 χαρὰν ὑμῶν οὐδεὶς αἴρει[19] ἀφ᾽ ὑμῶν. καὶ [q]ἐν ἐκείνῃ τῇ
ρν ἡμέρᾳ ἐμὲ οὐκ [r]ἐρωτήσετε οὐδέν.[20] Ἀμὴν ἀμὴν λέγω
δ ὑμῖν, ὅτι[21] [s]ὅσα ἂν[22] αἰτήσητε τὸν πατέρα [t]ἐν τῷ ὀνό-
24 ματί μου, δώσει ὑμῖν[23]. ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν

[a] Rev. 2. 2, 3.
[b] Cf. 1 Cor. 3. 2.
[c] cap. 14. 17; 15. 26.
[d] Act. 8. 31. Vid. cap. 14. 26.
[e] Vid. cap. 8. 54.
[f] cap. 17. 10.
[g] Vid. cap. 7. 33.
[h] Cf. cap. 14. 19. 1 Joan. 2. 8.
[i] ver. 5, 10, 28.
[k] Cf. ver. 30.
[l] Marc. 16. 10.
[m] Jer. 31. 13. Cf. Matt. 5. 4.
[n] Ps. 48. 6. Esa. 13. 8; 26. 17. 1 Thess. 5. 3.
[o] ver. 6. Cf. 2 Cor. 6. 10.
[p] Ps. 33. 21. Esa. 66. 14. Luc. 24. 52.
[q] ver. 26. cap. 14. 20.
[r] ver. 19, 30. Cf. cap. 13. 36; 14. 5, 22.
[s] Vid. Matt. 7. 7.
[t] cap. 14. 13.

[1] εἰς τὴν ἀλήθειαν πᾶσαν LTrWH *text.*, ἐν τῇ ἀληθείᾳ πάσῃ TWH *marg.* [2] —ἂν LTTrWH. [3] ἀκούει TWH *text.*, ἀκούσει TrWH *marg.* R. [4] λήμψεται LTTrWH. [5] λαμβάνει L *text.* TTrWHR, λήμψεται L *marg.* [6] οὐκέτι L (*non marg.*) TWHR, οὐκ ἔτι Tr. [7] —ὅτι ἐγὼ *ad fin. vers.* TTrWHR, [ὅτι ὑπάγω πρὸς τὸν πατέρα] L. [8] Εἶπαν WH. [9] —ἐγὼ LTTrWHR. [10] Τί ἐστιν τοῦτο LTr (*non marg.*) WHR. [11] —τὸ TrWH. [12] [τί λαλεῖ] WH. [13] —οὖν ὁ TTrWHR. [14] —δὲ LTTrWHR. [15] ἀλλὰ Tr. [16] οὐκέτι LTWH. [17] νῦν μὲν λύπην LTTrWHR. [18] ἕξετε L (*non marg.*). [19] ἀρεῖ L (*non marg.*) Tr (*non marg.*) WH (*non marg.*). [20] οὐδέν· WH (*non marg.*). [21] —ὅτι TTr[L]WHR. [22] ἄν τι L *text.* TTrWHR, ὅ τι ἂν L *marg.* [23] δώσει ὑμῖν ἐν τῷ ὀνόματί μου TTrWHR.

ἐν τῷ ὀνόματί μου· αἰτεῖτε, καὶ λήψεσθε[1], [a]ἵνα ἡ
χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. ταῦτα ἐν παροιμίαις 25 ρνα ι
[b]λελάληκα ὑμῖν· ἀλλ'[2] ἔρχεται ὥρα ὅτε οὐκ ἔτι[3] ἐν
[c]παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ [d]παρρησίᾳ περὶ τοῦ
πατρὸς ἀναγγελῶ[4] ὑμῖν. [e]ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ 26
ὀνόματί μου αἰτήσεσθε· καὶ οὐ λέγω ὑμῖν ὅτι ἐγὼ
ἐρωτήσω τὸν πατέρα περὶ ὑμῶν· [f]αὐτὸς γὰρ ὁ πατὴρ 27
φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπισ-
τεύκατε [g]ὅτι ἐγὼ παρὰ τοῦ[5] Θεοῦ[6] ἐξῆλθον. [h]ἐξῆλθον 28
παρὰ[7] τοῦ πατρός, καὶ ἐλήλυθα εἰς τὸν κόσμον·
πάλιν ἀφίημι τὸν κόσμον, καὶ [i]πορεύομαι πρὸς τὸν
πατέρα."

Λέγουσιν αὐτῷ[8] οἱ μαθηταὶ αὐτοῦ, "Ἴδε νῦν[9] 29
[d]παρρησίᾳ λαλεῖς, καὶ [c]παροιμίαν οὐδεμίαν λέγεις.
[k]νῦν οἴδαμεν ὅτι οἶδας πάντα, καὶ οὐ χρείαν ἔχεις ἵνα 30
τίς σε [k]ἐρωτᾷ. ἐν τούτῳ πιστεύομεν [g][h]ὅτι ἀπὸ Θεοῦ
ἐξῆλθες." Ἀπεκρίθη αὐτοῖς ὁ[10] Ἰησοῦς, "Ἄρτι 31 ρνβ δ
πιστεύετε; ἰδού, [l]ἔρχεται ὥρα καὶ νῦν[11] ἐλήλυθεν, 32
ἵνα [m]σκορπισθῆτε ἕκαστος εἰς [n]τὰ ἴδια, καὶ [o]ἐμὲ[12] μόνον
ἀφῆτε· καὶ [p]οὐκ εἰμὶ μόνος, ὅτι ὁ πατὴρ μετ' ἐμοῦ
ἐστι. ταῦτα λελάληκα ὑμῖν, ἵνα [q]ἐν ἐμοὶ εἰρήνην 33 ρνγ ι
ἔχητε. ἐν τῷ κόσμῳ [r]θλίψιν[13] ἕξετε[14]· ἀλλὰ [s]θαρσεῖτε,
[t]ἐγὼ νενίκηκα τὸν κόσμον."

ΤΑΥΤΑ ἐλάλησεν ὁ[15] Ἰησοῦς, καὶ [u]ἐπῆρε[16] τοὺς ὀφ- 17
θαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανόν, καὶ[17] εἶπε, "Πάτερ,
[x]ἐλήλυθεν ἡ ὥρα· [y]δόξασόν σου τὸν υἱόν, ἵνα καὶ[18] ὁ
υἱός σου[19] δοξάσῃ σε· [z]καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν 2
πάσης σαρκός, ἵνα [a]πᾶν ὃ δέδωκας αὐτῷ, [b]δώσῃ[20] αὐ-
τοῖς ζωὴν αἰώνιον. αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα 3
[c]γινώσκωσί[21] σε [d]τὸν μόνον [e]ἀληθινὸν Θεόν, καὶ [f]ὃν
ἀπέστειλας Ἰησοῦν Χριστόν. ἐγώ σε [y][g]ἐδόξασα ἐπὶ 4
τῆς γῆς·[22] [h]τὸ ἔργον ἐτελείωσα[23] ὃ δέδωκάς μοι ἵνα

[1] λήμψεσθε LTTrWH. [2] —ἀλλ' TTr[L]WHR. [3] οὐκέτι LTWH. [4] ἀπαγγελῶ LTTrWHR. [5] —τοῦ L. [6] πατρὸς Tr (*non marg.*) WHR. [7] ἐκ L (*non marg.*) TTrWHR. [8] —αὐτῷ TTr[L]WHR. [9] +ἐν LTTrWH. [10] —ὁ TTrWH. [11] —νῦν LTTrWHR. [12] κἀμὲ TTrWH. [13] θλῖψιν LTr. [14] ἔχετε TTrWHR, ἕξετε S. [15] —ὁ TWH. [16] ἐπάρας L (*non marg.*) TTrWHR. [17] —καὶ L (*non marg.*) TTrWHR. [18] —καὶ LTTrWHR. [19] —σου TTrWHR. [20] δώσει Tr *marg.* WH. [21] γινώσκουσιν TTr (*non marg.*). [22] γῆς, WHR. [23] τελειώσας LTTr (*non marg.*) WHR.

[a] Vid. cap. 3. 29. [b] Vid. ver. 1. [c] ver. 29. cap. 10. 6. 2 Pet. 2. 22. Cf. Matt. 13. 34. Marc. 4. 34. [d] ver. 29. cap. 10. 24. Vid. Marc. 8. 31. [e] ver. 23. [f] cap. 14. 21, 23. [g] ver. 30. cap. 17. 8. [h] cap. 8. 14, 42; 13. 1, 3; 17. 8. [i] ver. 5. [k] Cf. ver. 19, 23. cap. 2. 25. [l] Vid. ver. 1. [m] Cf. Matt. 26. 31. Marc. 14. 27. [n] cap. 1. 11; 8. 44. [o] Esa. 63. 3, 5. [p] Vid. cap. 8. 16, 29. [q] Vid. cap. 14. 27. [r] Act. 14. 22. [s] Gen. 35. 17. Joel 2. 21, 22. Vid. Matt. 9, 2. [t] 1 Joan. 5. 4, 5. Cf. Rom. 8. 37. Rev. 12. 11. [u] cap. 6. 5; 11. 41. Vid. Matt. 14. 19. [x] Vid. cap. 12. 23. [y] ver. 5. cap. 13. 32. Vid. cap. 7. 39. [z] Vid. Matt. 11. 27. [a] ver. 6, 7, 9. cap. 6. 37, 39. [b] cap. 10. 28. 1 Joan. 2. 25. [c] Ose. 2. 20. Cf. 2 Pet. 1. 2, 3. [d] Vid. cap. 5. 44. [e] 1 Thess. 1. 9. 1 Joan. 5. 20. [f] ver. 8, 18, 21, 23, 25. cap. 3. 17. [g] Vid. cap. 13. 31. [h] Vid. cap. 4. 34. Cf. Luc. 22. 37. cap. 19. 30.

5 ποιήσω· καὶ νῦν [a]δόξασόν με σύ, πάτερ, παρὰ σεαυ-
τῷ, τῇ δόξῃ ᾗ[1] εἶχον [b]πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ
6 σοί. [c]Ἐφανέρωσά σου [d]τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς
δέδωκάς[2] μοι ἐκ τοῦ κόσμου· [e]σοὶ ἦσαν, **καὶ ἐμοὶ**[3] αὐ-
7 τοὺς **δέδωκας**[4]· καὶ [f]τὸν λόγον σου **τετηρήκασι**[5]. νῦν
ἔγνωκαν[6] ὅτι [g]πάντα ὅσα **δέδωκάς**[7] μοι, παρὰ σοῦ
8 **ἐστιν**[8]· ὅτι [h]τὰ ῥήματα ἃ **δέδωκάς**[9] μοι, [i]δέδωκα αὐ-
τοῖς· καὶ αὐτοὶ ἔλαβον, **καὶ ἔγνωσαν**[10] ἀληθῶς, [k]ὅτι
παρὰ σοῦ ἐξῆλθον, καὶ [l]ἐπίστευσαν ὅτι [m]σύ με ἀπέ-
9 στειλας. ἐγὼ περὶ αὐτῶν ἐρωτῶ· οὐ περὶ τοῦ κόσμου
10 ἐρωτῶ, ἀλλὰ [g]περὶ ὧν δέδωκάς μοι, ὅτι [e]σοί εἰσι. καὶ
[n]τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά· καὶ [o]δεδόξασ-
11 μαι ἐν αὐτοῖς. καὶ οὐκ ἔτι[11] εἰμὶ ἐν τῷ κόσμῳ, καὶ
[p]**οὗτοι**[12] ἐν τῷ κόσμῳ εἰσί, **καὶ ἐγὼ**[13] πρός σε ἔρχομαι.
πάτερ ἅγιε, τήρησον αὐτοὺς [q]ἐν τῷ ὀνόματί σου, [g]**οὓς**[14]
12 δέδωκάς μοι, [r]ἵνα ὦσιν ἕν, [s]καθὼς[15] ἡμεῖς. ὅτε ἤμην
μετ' αὐτῶν **ἐν τῷ κόσμῳ**[16], ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ
ὀνόματί σου· [t]**οὓς**[17] δέδωκάς μοι[18] ἐφύλαξα, καὶ [u]οὐδ-
εὶς ἐξ αὐτῶν ἀπώλετο, [x]εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας,
13 [y]ἵνα ἡ γραφὴ πληρωθῇ. νῦν δὲ πρός σε ἔρχομαι,
καὶ [z]ταῦτα λαλῶ ἐν τῷ κόσμῳ, ἵνα [z a]ἔχωσι τὴν χαρὰν
14 τὴν ἐμὴν πεπληρωμένην ἐν **αὐτοῖς**[19]. [i]ἐγὼ δέδωκα αὐ-
τοῖς τὸν λόγον σου, καὶ [b]ὁ κόσμος ἐμίσησεν αὐτούς,
ὅτι [b c]οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ
15 τοῦ κόσμου. οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ
κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ [d]τοῦ πονηροῦ.
16 [c]ἐκ τοῦ κόσμου οὐκ εἰσί, καθὼς ἐγὼ **ἐκ τοῦ κόσμου**
17 **οὐκ εἰμί**[20]. [e]ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου[21]· [f]ὁ
18 λόγος ὁ σὸς ἀλήθειά ἐστι. [g]καθὼς [m]ἐμὲ ἀπέστειλας
εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσ-
19 μον· καὶ ὑπὲρ αὐτῶν **ἐγὼ**[22] [e]ἁγιάζω ἐμαυτόν, ἵνα [h]**καὶ**
20 **αὐτοὶ ὦσιν**[23] ἡγιασμένοι ἐν ἀληθείᾳ. Οὐ περὶ τού-

[1] ἦν WH *marg.* [2] ἔδωκας LTTrWHR. [3] κἀμοὶ TrWH. [4] ἔδωκας LTTr (*non marg.*) WHR. [5] τετήρηκαν LTTrWH. [6] ἔγνωκα Tr *marg.*, ἔγνων WH *marg.* [7] ἔδωκας LWH (*non marg.*), ἔδωκας seu -κες Tr *marg.* [8] εἰσίν TTrWH. [9] ἔδωκας LTTrWH (*non marg.*) R, ἔδωκες Tr *marg.* [10] [καὶ ἔγνωσαν] L. [11] οὐκέτι LTWH. [12] αὐτοὶ TWH (*non marg.*). [13] κἀγὼ LTTrWH. [14] ᾧ LTTrWHR. [15] + καὶ Tr. [16] —ἐν τῷ κόσμῳ LTTrWHR. [17] (om. ·) ᾧ TTrWHR. [18] + καὶ TTr[L]WHR. [19] ἑαυτοῖς TTrWHR. [20] οὐκ εἰμὶ ἐκ τοῦ κόσμου LTTrWH. [21] —σου LTTrWHR. [22] —ἐγὼ T[LWH]. [23] ὦσιν καὶ αὐτοὶ LTTrWHR.

[a] cap. 13. 32. [b] ver. 24. Cf. Prov. 8. 23. cap. 1. 1; 8. 58. [c] ver. 26. Ps. 22. 22. [d] Matt. 6. 9. [e] ver. 9. cap. 6. 37. [f] Vid. cap. 8. 51. [g] ver. 6, 9, 11. [h] Vid. cap. 12. 49. [i] ver. 14, 26. cap. 15. 15. [k] cap. 16. 27, 30. [l] ver. 21. cap. 11. 42. [m] ver. 8, 18, 21, 23, 25. [n] cap. 16.15. [o] 2 Thess. 1. 10. [p] cap. 13. 1. [q] Ex. 23. 21. Phil. 2. 9. [r] ver. 21, 22. Cf. cap. 10. 16. Rom. 12. 5. Gal. 3. 28. Eph. 1. 10. [s] cap. 10. 30. Cf. Matt. 26. 24. [t] cap. 6. 39; 18. 9. [u] cap. 10. 28. [x] Cf. cap. 6. 70. Matt. 26. 24. [y] cap. 13. 18. [z] cap. 15. 11. [a] Vid. cap. 3. 29. [b] cap. 15. 19. Cf. Luc. 6. 26. cap. 7. 7. [c] ver. 16. cap. 8. 23. [d] Vid. Matt. 5. 37. Cf. Gal. 1. 4. [e] ver. 19. cap. 15. 3. Cf. Eph. 5. 26. 1 Pet. 1. 22. [f] 2 Sam. 7. 28. Ps. 119. 160. [g] Vid. cap. 10. 36. [h] Cf. 1 Cor. 1. 2, 30. Heb. 10. 10.

των δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν **πιστευσόν-**
των[1] διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ· ἵνα πάντες **ἓν** 21
ὦσι· [a]καθὼς σύ, **πάτερ**[2], ἐν ἐμοί, κἀγὼ ἐν σοί, ἵνα
καὶ αὐτοὶ ἐν ἡμῖν **ἓν**[3] ὦσιν· ἵνα ὁ κόσμος **πιστεύσῃ**[4]
ὅτι [b]σύ με ἀπέστειλας. **καὶ ἐγὼ**[5] [c]τὴν δόξαν ἣν **δέδω-** 22
κάς[6] μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, [d]καθὼς ἡμεῖς
ἕν **ἐσμεν**[7]· [a]ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι 23
τετελειωμένοι εἰς ἕν, **καὶ**[8] [e]ἵνα γινώσκῃ ὁ κόσμος ὅτι
[b]σύ με ἀπέστειλας, καὶ ἠγάπησας αὐτούς, [f]καθὼς ἐμὲ
ἠγάπησας. **Πάτερ**[9], **οὓς**[10] **δέδωκάς**[11] μοι, θέλω ἵνα 24
[g]ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ· ἵνα θεωρῶσι
[c]τὴν δόξαν τὴν ἐμήν, ἣν **ἔδωκάς**[12] μοι, ὅτι ἠγάπησάς
με [h]πρὸ καταβολῆς κόσμου. [i]**Πάτερ**[13] δίκαιε, καὶ ὁ 25 ρνδ
κόσμος σε οὐκ ἔγνω, [k]ἐγὼ δέ σε ἔγνων, καὶ οὗτοι γ
ἔγνωσαν ὅτι [b]σύ με ἀπέστειλας· καὶ ἐγνώρισα αὐ- 26 ρνε
τοῖς [l]τὸ ὄνομά σου, καὶ γνωρίσω· [f]ἵνα ἡ ἀγάπη, ἣν ι
ἠγάπησάς με, ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς."

ΤΑΥΤΑ εἰπὼν ὁ[14] Ἰησοῦς [m]ἐξῆλθε σὺν τοῖς μαθη- 18 ρνϛ
ταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου[15] [n]**τῶν Κέδρων**[16], ὅπου α
ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ
αὐτοῦ. ᾔδει δὲ καὶ Ἰούδας, ὁ παραδιδοὺς αὐτόν, 2 ρνζ
τὸν τόπον· ὅτι πολλάκις συνήχθη ὁ[17] Ἰησοῦς **ἐκεῖ** ι
μετὰ τῶν μαθητῶν αὐτοῦ[18]. [o]ὁ οὖν Ἰούδας λαβὼν τὴν 3 ρνη
[p]σπεῖραν, καὶ ἐκ τῶν ἀρχιερέων καὶ[19] Φαρισαίων [q]ὑπη- α
ρέτας, ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ [r]λαμπάδων καὶ
ὅπλων. Ἰησοῦς **οὖν**[20] [s]εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' 4 ρνθ
αὐτόν, **ἐξελθὼν εἶπεν**[21] αὐτοῖς, [t]"Τίνα ζητεῖτε;" Ἀπε- 5 ι
κρίθησαν αὐτῷ, "Ἰησοῦν τὸν [u]Ναζωραῖον." Λέγει
αὐτοῖς ὁ **Ἰησοῦς**, "**Ἐγώ εἰμι**[22]." **Εἱστήκει**[23] δὲ καὶ
Ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ' αὐτῶν. Ὡς οὖν 6
εἶπεν αὐτοῖς, "**Ὅτι**[24] ἐγώ εἰμι," **ἀπῆλθον**[25] εἰς τὰ

[a] ver. 11, 23. Vid. cap. 10. 38.
[b] Vid. ver. 8.
[c] ver. 24. Cf. cap. 1. 14.
[d] cap. 10. 30.
[e] cap. 14. 31.
[f] ver. 26. cap. 15. 9.
[g] Vid. cap. 12. 26.
[h] ver. 5. Vid. Matt. 13. 35.
[i] 1 Joan. 1. 9. Cf. Rom. 3. 26.
[k] cap. 8. 55; 15. 21. Vid. Matt. 11. 27.
[l] ver. 6.
[m] Cf. Matt. 26. 36. Marc. 14. 26, 32. Luc. 22. 39. Cf. Luc. 21. 37.
[n] (var. lect.) 2 Sam. 15. 23. 1 Reg. 2. 37; 15. 13. 2 Reg. 23. 4, 6, 12. 2 Chr. 15. 16; 29. 16; 30. 14 (Neh. 2. 15?); Jer. 31. 40.
[o] ver. 3—11, Matt. 26. 47—56. Marc. 14. 43—50. Luc. 22. 47—53.
[p] ver. 12. Vid. Matt. 27. 27.
[q] Vid. Matt. 26. 58.
[r] Vid. Matt. 25. 1.
[s] cap. 6. 64; 13. 1, 11.
[t] ver. 7. cap. 20. 15. Cf. cap. 1. 38.
[u] Vid. Matt. 26. 71.

1 πιστευόντων LTTrWHR. 2 πατήρ TTrWH. 3 —ἓν TTr[L] WHR. 4 πιστεύῃ TTr (*non marg.*) WH. 5 κἀγὼ LTTrWH. 6 ἔδωκας LTr *marg.* 7 —ἐσμεν TTrWHR. 8 —καὶ LTTrWHR. 9 πατήρ LTTrWH. 10 ὃ TTr (*non marg.*) WH.R (*non marg.*). 11 ἔδωκας L. 12 δέδωκας LTTr (*non marg.*) WH (*non marg.*) R. 13 πατὴρ LTTrWH. 14 —ὁ TTrWH. 15 Χειμάρρου WH. 16 τῶν κέδρων SWH.R *marg.*, τοῦ Κεδρών LTr *marg.*, τοῦ κέδρου TWH *marg.* 17 —ὁ TTrWH. 18 μετὰ τῶν μαθητῶν αὐτοῦ ἐκεῖ WH *marg.* 19 + τῶν LTrR, + ἐκ τῶν T, + [ἐκ] τῶν WH. 20 δὲ Tr (*non marg.*). 21 ἐξῆλθεν καὶ λέγει LTTrWHR. 22 —ὁ T, —ὁ Ἰησοῦς TrWH, *at* Ἐγώ εἰμι ὁ (—ὁ WH *marg.*) Ἰησοῦς L *marg.* WH *marg.* 23 ἱστήκει WH. 24 —Ὅτι LTTrWHR. 25 ἀπῆλθαν LTTrWH.

7 ὀπίσω, καὶ ἔπεσον[1] χαμαί. πάλιν οὖν αὐτοὺς ἐπηρώ-
τησε[2], [a]"Τίνα ζητεῖτε;" Οἱ δὲ εἶπον[3], "Ἰησοῦν τὸν
8 Ναζωραῖον." Ἀπεκρίθη ὁ[4] Ἰησοῦς, "Εἶπον ὑμῖν,
ὅτι ἐγώ εἰμι. εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπά-
9 γειν·" ἵνα πληρωθῇ ὁ λόγος [b]ὃν εἶπεν, '"Ὅτι οὓς
ρξ/α 10 δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα.' [c]Σίμων
οὖν Πέτρος ἔχων μάχαιραν, εἵλκυσεν αὐτήν, καὶ
ἔπαισε τὸν τοῦ ἀρχιερέως δοῦλον, καὶ ἀπέκοψεν αὐ-
τοῦ τὸ ὠτίον[5] τὸ δεξιόν. ἦν δὲ ὄνομα τῷ δούλῳ
ρξα/α 11 Μάλχος. εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ, "Βάλε
τὴν μάχαιράν σου[6] εἰς τὴν θήκην. [d]τὸ ποτήριον ὃ
δέδωκέ μοι ὁ πατήρ, οὐ μὴ πίω αὐτό;"
ρξβ/α 12 [e]Ἡ οὖν [f]σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ [f]ὑπηρέται
τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν, καὶ ἔδησαν
ρξγ/ι 13 αὐτόν, καὶ ἀπήγαγον αὐτὸν[7] πρὸς Ἄνναν[8] πρῶτον·
ἦν γὰρ πενθερὸς [g]τοῦ Καϊάφα[9], [h]ὃς ἦν ἀρχιερεὺς τοῦ
14 ἐνιαυτοῦ ἐκείνου. ἦν δὲ [g]Καϊάφας[9] ὁ συμβουλεύσας
τοῖς Ἰουδαίοις, [i]ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀπολέσ-
ρξδ/δ 15 θαι[10] ὑπὲρ τοῦ λαοῦ. [k]Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σί-
ρξε/ι μων Πέτρος, καὶ ὁ[11] ἄλλος μαθητής. ὁ δὲ μαθητὴς
ἐκεῖνος ἦν γνωστὸς[12] τῷ ἀρχιερεῖ, καὶ συνεισῆλθε τῷ
ρξϛ/α 16 Ἰησοῦ εἰς [l]τὴν αὐλὴν τοῦ ἀρχιερέως· [m]ὁ δὲ Πέτρος
ρξζ/ι εἱστήκει[13] πρὸς τῇ θύρᾳ ἔξω. ἐξῆλθεν οὖν ὁ μαθητὴς
ὁ ἄλλος ὃς ἦν[14] γνωστὸς τῷ ἀρχιερεῖ[15], καὶ εἶπε [n]τῇ
ρξη/α 17 θυρωρῷ, καὶ εἰσήγαγε τὸν Πέτρον. λέγει οὖν [n]ἡ
παιδίσκη ἡ θυρωρὸς τῷ Πέτρῳ[16], "Μὴ καὶ σὺ ἐκ τῶν
μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου;" Λέγει ἐκεῖνος,
ρξθ/ι 18 "Οὐκ εἰμί." Εἱστήκεισαν[17] δὲ οἱ δοῦλοι καὶ οἱ [f]ὑπη-
ρέται [o]ἀνθρακιὰν πεποιηκότες, ὅτι ψύχος[18] ἦν, [p]καὶ
ἐθερμαίνοντο· ἦν δὲ μετ' αὐτῶν ὁ Πέτρος[19] ἑστὼς
19 καὶ θερμαινόμενος. [q]Ὁ οὖν ἀρχιερεὺς ἠρώτησε τὸν

[a] ver. 5. [b] cap. 17. 12. [c] Cf. Matt. 26. 51. [d] Vid. Matt. 20. 22. [e] ver. 12, 13, 19, 24, Matt. 26. 57—68. Marc. 14. 53—65. [f] ver. 3. [g] ver. 14, 24, 28. Vid. cap. 11. 49. [h] cap. 11. 49, 51. [i] cap. 11. 50. [k] Cf. Matt. 26. 58. Marc. 14. 54. Luc. 22. 54. [l] Vid. Matt. 26. 3. [m] ver. 16—18, Matt. 26. 69, 70. Marc. 14. 66, 68. Luc. 22. 55—57. [n] Cf. Act. 12. 13. [o] cap. 21. 9. [p] Marc. 14. 54, 67. ver. 25. [q] ver. 19—21, Matt. 26. 59—68. Marc. 14. 55—65. Cf. Luc. 22. 67—71.

1 ἔπεσαν LTTrWH. 2 ἐπηρώτησεν αὐτούς LTrWH. 3 εἶπαν WH. 4 —ὁ LTTrWH. 5 ὠτάριον TTrWHR. 6 —σου LTTrWHR. 7 ἤγαγον [αὐτὸν] L, ἤγαγον TTrWHR. 8 Ἅνναν WH. 9 Καιάφ.- WH. 10 ἀποθανεῖν LTTrWHR. 11 —ὁ LT[Tr]WHR. 12 γνωστὸς ἦν L *marg.* WH *marg.* 13 ἱστήκει WH. 14 ὁ TTrWH. 15 τοῦ ἀρχιερέως TTrWH. 16 τῷ Πέτρῳ ἡ παιδίσκη ἡ θυρωρός L (*non marg.*) TTrWH. 17 ἱστήκεισαν WH. 18 ψῦχος LT. 19 καὶ ὁ Πέτρος μετ' αὐτῶν L (*non marg.*) TTrWH.

Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ, καὶ περὶ τῆς διδα-
χῆς αὐτοῦ. ἀπεκρίθη αὐτῷ[1] ὁ[2] Ἰησοῦς, "Ἐγὼ [a]παρ- 20 ρο
ρησίᾳ ἐλάλησα[3] τῷ κόσμῳ· ἐγὼ πάντοτε [b]ἐδίδαξα α
[c]ἐν τῇ[4] συναγωγῇ καὶ [d]ἐν τῷ ἱερῷ, ὅπου πάντοτε[5] οἱ
Ἰουδαῖοι συνέρχονται, καὶ [e]ἐν κρυπτῷ ἐλάλησα οὐδέν.
Τί με ἐπερωτᾷς; ἐπερώτησον[6] τοὺς ἀκηκοότας, τί 21 ροα
ἐλάλησα αὐτοῖς· ἴδε οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ." ι
Ταῦτα δὲ αὐτοῦ εἰπόντος, [f]εἷς τῶν ὑπηρετῶν παρεστη- 22 ροβ
κὼς[7] ἔδωκε [g]ῥάπισμα τῷ Ἰησοῦ, εἰπών, "Οὕτως ἀπο- α
κρίνῃ τῷ ἀρχιερεῖ;" Ἀπεκρίθη αὐτῷ ὁ[8] Ἰησοῦς, 23 ρογ
"Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· ι
εἰ δὲ καλῶς, τί με δέρεις;" Ἀπέστειλεν[9] αὐτὸν ὁ 24 ροδ
[h]Ἄννας[10] δεδεμένον πρὸς [h]Καϊάφαν[11] τὸν ἀρχιερέα. α
[i]Ἦν δὲ Σίμων Πέτρος ἑστὼς καὶ [k]θερμαινόμενος· 25 ροε
εἶπον οὖν αὐτῷ, "Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ α
εἶ;" Ἠρνήσατο ἐκεῖνος, καὶ εἶπεν, "Οὐκ εἰμί."
Λέγει [l]εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως, συγγενὴς 26
ὢν [m]οὗ ἀπέκοψε Πέτρος τὸ ὠτίον, "Οὐκ ἐγώ σε εἶδον
ἐν [n]τῷ κήπῳ μετ' αὐτοῦ;" Πάλιν οὖν ἠρνήσατο ὁ[12] 27
Πέτρος, καὶ [o]εὐθέως ἀλέκτωρ ἐφώνησεν.
[p]ἌΓΟΥΣΙΝ οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ [h]Καϊάφα[13] εἰς 28 ροϛ α
[q]τὸ πραιτώριον. [r]ἦν δὲ πρωΐα[14], καὶ αὐτοὶ οὐκ εἰσῆλ- ροζ
θον εἰς τὸ πραιτώριον, [s]ἵνα μὴ μιανθῶσιν, ἀλλ' [t]ἵνα[15] ι
φάγωσι τὸ πάσχα. [u]ἐξῆλθεν οὖν ὁ Πιλάτος[16,17] πρὸς 29
αὐτούς, καὶ εἶπε[18], "Τίνα κατηγορίαν φέρετε κατὰ[19]
τοῦ ἀνθρώπου τούτου;" Ἀπεκρίθησαν καὶ εἶπον[20] 30
αὐτῷ, "Εἰ μὴ ἦν οὗτος [x]κακοποιός[21], οὐκ ἄν σοι παρ-
εδώκαμεν αὐτόν." Εἶπεν οὖν[22] αὐτοῖς ὁ[23] Πιλάτος[16], 31
"Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν
κρίνατε αὐτόν[24]." Εἶπον οὖν[25] αὐτῷ οἱ Ἰουδαῖοι,
"Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα·" [y]ἵνα ὁ λόγος 32

[a] Vid. Marc. 8. 31.
[b] Vid. Matt. 4. 23, & 7. 28.
[c] cap. 6. 59.
[d] Matt. 26. 55.
[e] Esa. 45. 19; 48. 16.
[f] Cf. Matt. 26. 67, 68. Luc. 22. 63—65.
[g] 1 Reg. 22. 24. Job 16. 10. Lam. 3. 30. Mic. 5. 1. Matt. 5. 39. cap. 19. 3. 2 Cor. 11. 20.
[h] Vid. ver. 13.
[i] ver. 16, 18, 25—27, Matt. 26. 69—75. Marc. 14. 66—72. Luc. 22. 56—62.
[k] ver. 18.
[l] Cf. Matt. 26. 73. Luc. 22. 58.
[m] ver. 10.
[n] ver. 1.
[o] cap. 13. 38.
[p] Matt. 27. 2. Marc. 15. 1. Luc. 23. 1.
[q] ver. 33. cap. 19. 9. Vid. Matt. 27. 27.
[r] Cf. Luc. 22. 66.
[s] Cf. Act. 10. 28.
[t] Cf. cap. 19. 14.
[u] ver. 29—38, Matt. 27. 11—14. Marc. 15. 2—5. Luc. 23. 2, 3.
[x] 1 Pet. 2. 12, 14; 3. 17; 4. 15. 3 Joan. 11.
[y] cap. 13. 18; 15. 25.

1 [αὐτῷ] L. 2 —ὁ TTrWH. 3 λελάληκα LTTrWHR. 4 —τῇ LTTrWHR. 5 πάντοθεν BE, πάντες LTTrWHR. 6 ἐρωτᾷς; ἐρώτησον LTTrWHR. 7 παρεστηκὼς τῶν ὑπηρετῶν LTTrWH, *at* τῶν παρεστώτων ὑπηρετῶν L *marg.* Tr *marg.* 8 —ὁ LTTrWH. 9 + οὖν BELT[Tr]WHR. 10 Ἄννας WH. 11 Καιάφαν WH. 12 —ὁ LTTrWH. 13 Καιάφα WH. 14 πρωΐ LTTrWH. 15 ἀλλὰ LTTrWHR. 16 Πειλᾶτος TWH. 17 + ἔξω LTTrWHR. 18 φησίν TTrWHR. 19 —κατὰ TWH. 20 εἶπαν LTTrWH. 21 κακὸν ποιῶν L *marg.* TTrWH. 22 [οὖν] L. 23 —ὁ TrWH. 24 —αὐτόν T. 25 —οὖν LTrWHR.

τοῦ Ἰησοῦ πληρωθῇ, ὃν εἶπε [a] σημαίνων ποίῳ θανά-
ροη α 33 τῳ ἤμελλεν ἀποθνήσκειν. [b m] Εἰσῆλθεν οὖν εἰς τὸ [c] πραι-
τώριον πάλιν[1] ὁ Πιλάτος[2], καὶ ἐφώνησε τὸν Ἰησοῦν,
καὶ εἶπεν αὐτῷ, [d] "Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;"
ροθ ι 34 Ἀπεκρίθη αὐτῷ ὁ[3] Ἰησοῦς, "Ἀφ' ἑαυτοῦ[4] σὺ τοῦτο
35 λέγεις, ἢ ἄλλοι σοι εἶπον[5] περὶ ἐμοῦ;" Ἀπεκρίθη ὁ
Πιλάτος[2], "Μήτι ἐγὼ Ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ
σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίη-
36 σας;" Ἀπεκρίθη ὁ[6] Ἰησοῦς, "[e] Ἡ βασιλεία ἡ ἐμὴ
οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· [f] εἰ ἐκ τοῦ κόσμου
τούτου ἦν ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ
ἠγωνίζοντο[7], [g] ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ
ρπ δ 37 ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν." Εἶπεν οὖν
αὐτῷ ὁ Πιλάτος[2], "Οὐκοῦν βασιλεὺς εἶ σύ;" Ἀπε-
κρίθη ὁ[8] Ἰησοῦς, [h] "Σὺ λέγεις ὅτι[9] βασιλεύς εἰμι[10]
ρπα ι ἐγώ[11]. ἐγὼ[12] εἰς τοῦτο γεγέννημαι, καὶ [i] εἰς τοῦτο ἐλή-
λυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ.
[k] πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, [l] ἀκούει μου τῆς φωνῆς."
38 Λέγει αὐτῷ ὁ Πιλάτος[2], "Τί ἐστιν ἀλήθεια;" Καὶ
τοῦτο εἰπών, [m] πάλιν ἐξῆλθε πρὸς τοὺς Ἰουδαίους,
ρπβ θ καὶ λέγει αὐτοῖς, [n] "Ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν
ρπγ δ 39 αὐτῷ[13]. [nn] ἔστι δὲ συνήθεια ὑμῖν, ἵνα ἕνα ὑμῖν ἀπο-
λύσω[14] ἐν[15] τῷ πάσχα· βούλεσθε οὖν ὑμῖν ἀπολύσω[14]
ρπδ α 40 τὸν βασιλέα τῶν Ἰουδαίων;" Ἐκραύγασαν οὖν πά-
λιν πάντες[16], λέγοντες, [o] "Μὴ τοῦτον, ἀλλὰ τὸν Βαρ-
ρπε δ 19 αββᾶν·" ἦν δὲ ὁ Βαραββᾶς λῃστής. Τότε οὖν
ἔλαβεν ὁ Πιλάτος[2] τὸν Ἰησοῦν, καὶ [p] ἐμαστίγωσε.
2 καὶ οἱ στρατιῶται [q] πλέξαντες στέφανον ἐξ ἀκανθῶν,
ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ[17], καὶ ἱμάτιον πορφυροῦν
3 περιέβαλον αὐτόν[18], καὶ ἔλεγον, "Χαῖρε, ὁ βασι-
λεὺς τῶν Ἰουδαίων·" καὶ ἐδίδουν[19] αὐτῷ [r] ῥαπίσματα.
ρπϛ θ 4 [m] [20] Ἐξῆλθεν οὖν[21] πάλιν ἔξω ὁ Πιλάτος[22], καὶ λέγει αὐ-

[a] cap. 12. 33. Cf. Matt. 20. 19; 26. 2. Marc. 10. 33. Luc. 18. 32. cap. 12. 32.
[b] Vid. ver. 28.
[c] cap. 19. 9. Cf. ver. 33.
[d] Luc. 23. 3. Cf. cap. 19. 12.
[e] Cf. Dan. 2. 44; 7. 14, 27. cap. 6. 15.
[f] Cf. Matt. 26. 53. cap. 6. 15; 11. 48.
[g] cap. 19. 16.
[h] Matt. 27. 11. Marc. 15. 2. Luc. 22. 70.
[i] Cf. cap. 12. 27.
[k] 1 Joan. 2. 21; 3. 19.
[l] Cf. cap. 8. 47; 10. 16, 27. 1 Tim. 6. 13.
[m] cap. 19. 4. Cf. ver. 38.
[n] Luc. 23. 4, 14, 22. cap. 19. 4, 6. Cf. Matt. 27. 24. Marc. 15. 14.
[nn] ver. 39—19. 16, cf. Matt. 27. 15—26. Marc. 15. 6—15. Luc. 23 (16 var. lect.), 18—25.
[o] Act. 3. 14.
[p] Cf. Matt. 20. 19; 27. 26. Marc. 15. 15. Cf. Luc. 23. 16.
[q] Matt. 27. 29, 30. Marc. 15. 16—19.
[r] Vid. cap. 18. 22.

[1] πάλιν εἰς τὸ πραιτώριον LTrWHR. [2] Πειλᾶτος TWH. [3] —αὐτῷ ὁ LTTrWHR. [4] ἀπὸ σεαυτοῦ LTrWH. [5] εἶπον σοι (*sic*) Tr, εἶπόν σοι WH. [6] —ὁ LTTrWH. [7] οἱ ἐμοὶ ἠγωνίζοντο ἂν TrWH. [8] [ὁ] WH. [9] λέγεις· ὅτι R *marg.* [10] εἰμι; WH *marg.* [11] —ἐγώ TTrWH, [ἐγώ.] Tr *marg.* [12] [ἐγὼ] L. [13] εὑρίσκω ἐν αὐτῷ αἰτίαν LTTrWH. [14] ἀπολύσω ὑμῖν LTTrWH. [15] [ἐν] WH. [16] —πάντες TWHR. [17] ἐπὶ τὴν κεφαλὴν L *marg.* [18] + καὶ ἤρχοντο πρὸς αὐτόν LTTrWHR. [19] ἐδίδοσαν LTTrWH. [20] + καὶ LTrWH (*non marg.*) R. [21] —οὖν LTTrWHR. [22] ὁ Πειλᾶτος ἔξω TWH *marg.*

τοῖς, "[a]Ἴδε ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι [a]ἐν
αὐτῷ οὐδεμίαν αἰτίαν εὑρίσκω[1]." Ἐξῆλθεν οὖν ὁ[2] 5 ρπζ δ
Ἰησοῦς ἔξω, φορῶν [b]τὸν ἀκάνθινον στέφανον, καὶ [b]τὸ
πορφυροῦν ἱμάτιον. καὶ λέγει αὐτοῖς, "Ἴδε[3] ὁ ἄν-
θρωπος." Ὅτε οὖν εἶδον[4] αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ 6 ρπη α
[c]ὑπηρέται, ἐκραύγασαν λέγοντες[5], "Σταύρωσον, σταύ- ρπθ ι
ρωσον[6]." Λέγει αὐτοῖς ὁ Πιλάτος[7], "Λάβετε αὐτὸν
ὑμεῖς καὶ σταυρώσατε· [a]ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐ- ρϟ θ
τῷ αἰτίαν." Ἀπεκρίθησαν αὐτῷ[8] οἱ Ἰουδαῖοι, "Ἡμεῖς 7 ρϟα ι
νόμον ἔχομεν, καὶ [d]κατὰ τὸν νόμον ἡμῶν[9] ὀφείλει
ἀποθανεῖν, ὅτι [e]ἑαυτὸν [f]υἱὸν Θεοῦ[10] ἐποίησεν."
Ὅτε οὖν ἤκουσεν ὁ Πιλάτος[7] τοῦτον τὸν λόγον, 8 ρϟβ δ
[g]μᾶλλον ἐφοβήθη, καὶ [h]εἰσῆλθεν εἰς τὸ [i]πραιτώριον 9
πάλιν, καὶ λέγει τῷ Ἰησοῦ, [k]"Πόθεν εἶ σύ;" [l]Ὁ δὲ
Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. λέγει οὖν[11] 10 ρϟγ ι
αὐτῷ ὁ Πιλάτος[7], "Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι
ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπο-
λῦσαί σε[12];" Ἀπεκρίθη[13] ὁ[14] Ἰησοῦς, [m]"Οὐκ εἶχες[15] 11
ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ[16], εἰ μὴ ἦν σοι δεδομένον[17]
[n]ἄνωθεν· διὰ τοῦτο [o]ὁ παραδιδούς[18] μέ σοι μείζονα
ἁμαρτίαν ἔχει." [p]Ἐκ τούτου ἐζήτει ὁ Πιλάτος[19] ἀπο- 12
λῦσαι αὐτόν. οἱ δὲ Ἰουδαῖοι ἔκραζον[20] λέγοντες,
[q]"Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος.
[q]πᾶς ὁ βασιλέα αὐτὸν[21] ποιῶν, ἀντιλέγει τῷ Καί-
σαρι." Ὁ οὖν Πιλάτος[7] ἀκούσας τοῦτον τὸν λόγον[22], 13
[r]ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ τοῦ[23] [s]βή-
ματος, εἰς τόπον λεγόμενον Λιθόστρωτον, [t]Ἑβραϊστὶ[24]
δὲ Γαββαθᾶ[25]. ἦν δὲ [u]παρασκευὴ τοῦ πάσχα, [x]ὥρα 14
δὲ ὡσεὶ[26] [y]ἕκτη· καὶ λέγει τοῖς Ἰουδαίοις, "[z]Ἴδε [z]ὁ
βασιλεὺς ὑμῶν." Οἱ δὲ ἐκραύγασαν[27], [a]"Ἆρον, ἆρον, 15 ρϟδ α

[a] ver. 6. Vid. cap. 18. 38.
[b] ver. 2.
[c] Vid. Matt. 26. 58.
[d] Lev. 24. 16.
[e] Matt. 26. 63. Luc. 22. 70. Cf. cap. 5. 18; 10. 33.
[f] Vid. Matt. 14. 33.
[g] Cf. Matt. 27. 19.
[h] cap. 18. 33.
[i] Vid. cap. 18. 28.
[k] cap. 7. 27.
[l] Vid. Matt. 26. 63. Cf. cap. 18. 37.
[m] Cf. Rom. 13. 1.
[n] Cf. cap. 3. 3, 7, 31.
[o] cap. 18. 14? Cf. Act. 3. 13.
[p] cap. 6. 66.
[q] Luc. 23. 2, 3. Cf. cap. 18. 33.
[r] ver. 9.
[s] Vid. Matt. 27. 19.
[t] ver. 17, 20. Vid. cap. 5. 2.
[u] ver. 31, 42. Vid. Matt. 27, 62.
[x] Cf. Matt. 27. 45. Marc. 15. 33. Luc. 23. 44.
[y] Cf. Marc. 15. 25. Cf. cap. 18. 28.
[z] ver. 19, 21, 22.
[a] Luc. 23. 18. Cf. Act. 21. 36.

[1] οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ LTWH, αἰτίαν οὐχ εὑρίσκω T. [2] [ὁ] TrWH. [3] Ἰδοὺ TTrWH. [4] ἴδον T. [5] —λέγοντες T. [6] + αὐτόν L[Tr *marg.*]. [7] Πειλᾶτος TWH. [8] —αὐτῷ T. [9] —ἡμῶν LTTrWHR. [10] υἱὸν Θεοῦ ἑαυτὸν LTTrWH, ἑαυτὸν υἱὸν τοῦ Θεοῦ BE. [11] —οὖν T. [12] ἀπολῦσαί σε καὶ ἐξουσίαν ἔχω σταυρῶσαί σε LTTr (*non marg.*) WHR. [13] + αὐτῷ Tr[L]WHR. [14] —ὁ LTTrWH. [15] ἔχεις T. [16] κατ' ἐμοῦ οὐδεμίαν LTTrWH. [17] δεδομένον σοι LTTrWH. [18] παραδούς LTTr *marg.* WHR. [19] ὁ Πιλᾶτος (Πειλᾶτος TWH) ἐζήτει LTTrWH. [20] ἐκραύγαζον LTTr *marg.*, ἐκραύγασαν TrWH. [21] ἑαυτὸν LTTrWHR. [22] τῶν λόγων τούτων LTTrWHR. [23] —τοῦ LTTrWHR. [24] Ἐβραϊστὶ WH. [25] Γαββαθά TrWH. [26] ἦν ὡς LTTrWHR. [27] ἐκραύγασαν οὖν ἐκεῖνοι L *marg.* TTrWHR.

σταύρωσον αὐτόν." Λέγει αὐτοῖς ὁ **Πιλάτος**[1], "Τὸν
ρλε/ι βασιλέα ὑμῶν σταυρώσω;" Ἀπεκρίθησαν οἱ ἀρχιε-
ρλϛ/α 16 ρεῖς, "Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα." [a]Τότε
οὖν [b]παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ.
ρλζ/α 17 Παρέλαβον **δὲ**[2] τὸν Ἰησοῦν **καὶ ἀπήγαγον**[3]· καὶ
[c]βαστάζων **τὸν σταυρὸν αὐτοῦ**[4], [d]ἐξῆλθεν εἰς τὸν λεγό-
μενον Κρανίου τόπον[5], **ὃς**[6] λέγεται [e]Ἑβραϊστὶ[7] **Γολ-**
ρλη/α 18 **γοθᾶ**[8]· [f]ὅπου αὐτὸν ἐσταύρωσαν, καὶ μετ' αὐτοῦ ἄλ-
λους δύο ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ἰη-
ρλθ/α 19 σοῦν. Ἔγραψε δὲ καὶ τίτλον ὁ **Πιλάτος**[1], καὶ ἔθηκεν
ἐπὶ τοῦ σταυροῦ· ἦν δὲ γεγραμμένον, [g]"Ἰησοῦς ὁ
σ/ι 20 [h]Ναζωραῖος ὁ βασιλεὺς τῶν Ἰουδαίων." Τοῦτον οὖν
τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων, ὅτι
[k]ἐγγὺς ἦν **τῆς πόλεως ὁ τόπος**[9], ὅπου ἐσταυρώθη ὁ
Ἰησοῦς· καὶ ἦν γεγραμμένον [e]Ἑβραϊστί[7], **Ἑλληνιστί,**
21 **Ῥωμαϊστί**[10]. ἔλεγον οὖν τῷ **Πιλάτῳ**[11] οἱ ἀρχιερεῖς τῶν
Ἰουδαίων, "Μὴ γράφε, Ὁ βασιλεὺς τῶν Ἰουδαίων·
ἀλλ' ὅτι ἐκεῖνος εἶπε, Βασιλεύς **εἰμι τῶν Ἰουδαίων**[12]."
22 Ἀπεκρίθη ὁ **Πιλάτος**[1], [l]"Ὃ γέγραφα, γέγραφα."
σα/α 23 Οἱ οὖν στρατιῶται, [m]ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν,
ἔλαβον τὰ ἱμάτια αὐτοῦ, καὶ ἐποίησαν **τέσσαρα**[13]
μέρη, [n]ἑκάστῳ στρατιώτῃ μέρος, καὶ τὸν χιτῶνα.
ἦν δὲ ὁ χιτὼν [o]**ἄρραφος**[14], ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι'
24 ὅλου. **εἶπον**[15] οὖν πρὸς ἀλλήλους, "Μὴ σχίσωμεν
αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται·" [p]ἵνα
ἡ γραφὴ πληρωθῇ **ἡ λέγουσα**[16], [q]'Διεμερίσαντο τὰ
ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβα-
λον κλῆρον.'
σβ/ι 25 Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν· [r]**εἱστή-
κεισαν**[17] δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ
αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, **Μαρία**[18] ἡ
26 τοῦ [s]Κλωπᾶ, καὶ **Μαρία**[18] [t]ἡ Μαγδαληνή. Ἰησοῦς
οὖν ἰδὼν τὴν μητέρα, καὶ τὸν μαθητὴν παρεστῶτα

[a] Matt. 27. 26. Marc. 15. 15. Luc. 23. 25.
[b] cap. 18. 36.
[c] Luc. 14. 27. cap. 12. 6; 20. 15. Cf. Matt. 27. 32. Marc. 15. 21. Luc. 23. 26.
[d] Matt. 27. 33. Marc. 15. 22. Luc. 23. 33.
[e] Vid. ver. 13.
[f] Matt. 27. 38. Marc. 15. 27. Luc. 23. 32.
[g] Matt. 27. 37. Marc. 15. 26. Luc. 23. 38.
[h] Vid. Matt. 26. 71.
[k] ver. 17. Num. 15. 35, 36. Heb. 13. 12.
[l] Cf. Gen. 43. 14. Esther 4. 16.
[m] Matt. 27. 35. Marc. 15. 24. Luc. 23. 34.
[n] Act. 12. 4.
[o] Cf. Ex. 28. 32.
[p] ver. 28, 36. Vid. cap. 13. 18.
[q] Ps. 22. 18.
[r] Cf. Matt. 27, 55, 56. Marc. 15. 40, 41. Luc. 23. 49.
[s] Luc. 24. 18.
[t] cap. 20. 1, 18. Luc. 8. 2.

1 Πειλᾶτος TWH. 2 οὖν LTTrWHR. 3 —καὶ ἀπήγαγον LTTrWHR. 4 αὐτῷ (αὑτῷ WH, ἑαυτῷ TR) τὸν σταυρόν LTTrWHR. 5 Τόπον WH. 6 ὃ LTTrWHR. 7 Ἐβραϊστὶ WH. 8 Γολγοθά TrWH, at Γολγόθ WH *marg.* 9 ὁ τόπος τῆς πόλεως LTTrWHR. 10 Ῥωμαϊστί, Ἑλληνιστί TTrWHR. 11 Πειλάτῳ TWH. 12 τῶν Ἰουδαίων εἰμί TrWH. 13 τέσσερα TTrWH. 14 ἄραφος TTrWH. 15 εἶπαν TWH. 16 —ἡ λέγουσα LTWH. 17 ἱστήκεισαν WH. 18 Μαριὰμ T.

[a] Vid. cap. 13. 23.
[b] cap. 2. 4.
[c] Act. 21. 6. Cf. cap. 1. 11; 16. 32.
[d] ver. 24, 36.
[e] Ps. 69. 21.
[f] Matt. 27. 48. Marc. 15. 36. Luc. 23. 36.
[g] 1 Reg. 4. 33. Heb. 9. 19.
[h] Cf. Luc. 22. 37. cap. 17. 4.
[i] Cf. Matt. 27. 50. Marc. 15. 37. Luc. 23. 46.
[k] Deut. 21. 23. Josh. 8. 29; 10. 26, 27.
[l] ver. 14, 42.
[m] Ex. 12. 16.
[n] ver. 18.
[o] 1 Joan. 5. 6, 8.
[p] 1 Joan. 1. 1—3.
[q] Vid. cap. 15. 27.
[s] Ex. 12. 46. Num. 9. 12. Cf. 1 Cor. 5. 7.
[t] Ps. 34. 20. Cf. Lev. 22. 24.
[u] Zech. 12. 10.
[x] ver. 38—42, Matt. 27. 57—61. Marc. 15. 42—47. Luc. 23. 50—56.
[y] cap. 7. 13; 20. 19.

[a]ὃν ἠγάπα, λέγει τῇ μητρὶ **αὐτοῦ**[1], [b]"Γύναι, **ἰδοὺ**[2] ὁ
υἱός σου." Εἶτα λέγει τῷ μαθητῇ, "**Ἰδοὺ**[2] ἡ μήτηρ 27
σου." Καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν **αὐτὴν ὁ**
μαθητὴς[3] [c]εἰς τὰ ἴδια. Μετὰ τοῦτο **εἰδὼς ὁ Ἰησοῦς**[4] 28 σγ
ὅτι **πάντα ἤδη**[5] τετέλεσται, [d]ἵνα τελειωθῇ ἡ γραφή, δ
λέγει, [e]"Διψῶ." Σκεῦος **οὖν**[6] ἔκειτο ὄξους μεστόν· 29
[f]**οἱ δέ, πλήσαντες σπόγγον ὄξους, καὶ** [g]**ὑσσώπῳ**[7] περι-
θέντες, προσήνεγκαν αὐτοῦ τῷ στόματι. ὅτε οὖν 30 σδ
ἔλαβε τὸ ὄξος ὁ[8] **Ἰησοῦς**[9], εἶπε, [h]"Τετέλεσται·" καὶ α
κλίνας τὴν κεφαλήν, [i]παρέδωκε τὸ πνεῦμα.
Οἱ οὖν Ἰουδαῖοι, [k]ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ 31 σε
τὰ σώματα ἐν τῷ σαββάτῳ, **ἐπεὶ** [l]**παρασκευὴ ἦν**[10]· ἦν ι
γὰρ [m]μεγάλη ἡ ἡμέρα **ἐκείνου**[11] τοῦ σαββάτου· ἠρώ-
τησαν τὸν **Πιλάτον**[18], ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέ-
λη, καὶ ἀρθῶσιν. ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ 32
μὲν πρώτου κατέαξαν τὰ σκέλη καὶ [n]τοῦ ἄλλου τοῦ
[12]**συσταυρωθέντος** αὐτῷ· ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόν- 33
τες, ὡς εἶδον **αὐτὸν ἤδη**[13] τεθνηκότα, οὐ κατέαξαν
αὐτοῦ τὰ σκέλη· ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ 34
αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ **εὐθὺς ἐξῆλθεν**[14] [o]αἷμα καὶ
ὕδωρ. καὶ [p]ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ [q]ἀληθινὴ 35
αὐτοῦ ἐστὶν ἡ μαρτυρία, [p]**κἀκεῖνος**[15] οἶδεν ὅτι ἀληθῆ
λέγει, ἵνα[16] ὑμεῖς **πιστεύσητε**[17]. ἐγένετο γὰρ ταῦτα, 36
[d]ἵνα ἡ γραφὴ πληρωθῇ, [s]'Ὀστοῦν [t]οὐ συντριβήσεται
αὐτοῦ.' Καὶ πάλιν ἑτέρα γραφὴ λέγει, [u]'Ὄψονται 37
εἰς ὃν ἐξεκέντησαν.'
[x]ΜΕΤΑ δὲ ταῦτα ἠρώτησε τὸν **Πιλάτον**[18] ὁ[19] Ἰω- 38 ΙΗ'.
σὴφ ὁ[20] ἀπὸ Ἀριμαθαίας[21], ὢν μαθητὴς τοῦ[22] Ἰησοῦ, σϛ
κεκρυμμένος δὲ [y]διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἵνα α
ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ ἐπέτρεψεν ὁ **Πιλάτος**[23].
ἦλθεν οὖν καὶ ἦρε τὸ σῶμα[24] **τοῦ Ἰησοῦ**[25]. ἦλθε δὲ 39 σζ ι

[1] —αὐτοῦ TTr[L]WHR. [2] ἴδε LTTrWH. [3] ὁ μαθητὴς αὐτὴν TrWH. [4] Ἰησοῦς εἰδὼς L *marg.* WH *marg.* [5] ἤδη πάντα LTTrWH. [6] —οὖν LTTrWHR. [7] σπόγγον οὖν μεστὸν τοῦ (—τοῦ T) ὄξους ὑσώπῳ (ὑσσ. TTrWH) LTTrWHR. [8] [ὁ] WH. [9] —ὁ Ιησοῦς T, [ὁ] Ἰησοῦς Tr. [10] ἐπεὶ παρασκευὴ ἦν *in locum ante* ἵνα μὴ *transferunt* TTrWHR. [11] ἐκείνη EWH *marg.* [12] συν- LTTrWH. [13] ἤδη αὐτὸν TTr (*non marg.*) WH. [14] ἐξῆλθεν εὐθὺς L *marg.* TTr (*non marg.*) WHR. [15] καὶ ἐκεῖνος LTrWH. [16] + καὶ LTTrWHR. [17] πιστεύητε TTr *marg.* (Tr *text. errore, ut videtur*) WH. [18] Πειλᾶτον TWH. [19] —ὁ LTTrWH. [20] —ὁ LTrWH. [21] Ἁριμαθαίας WH. [22] [τοῦ] WH. [23] Πειλᾶτος TWH. [24] ἦλθον οὖν καὶ ἦραν αὐτὸν (—τοῦ Ἰησοῦ) T. [25] αὐτοῦ LTrWHR.

καὶ [a] Νικόδημος ὁ ἐλθὼν πρὸς τὸν Ἰησοῦν[1] νυκτὸς τὸ
πρῶτον, φέρων μίγμα[2] [b] [c] σμύρνης καὶ [c] ἀλόης ὡσεὶ[3]
ση α 40 [d] λίτρας ἑκατόν. ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ,
καὶ [e] ἔδησαν αὐτὸ [f] ὀθονίοις [g] μετὰ τῶν ἀρωμάτων,
41 [e] καθὼς ἔθος ἐστὶ τοῖς Ἰουδαίοις [h] ἐνταφιάζειν. ἦν δὲ
ἐν τῷ τόπῳ, ὅπου ἐσταυρώθη, [i] κῆπος, καὶ ἐν τῷ κήπῳ
42 μνημεῖον καινόν, ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη[4]. ἐκεῖ οὖν
διὰ [k] τὴν παρασκευὴν τῶν Ἰουδαίων, ὅτι [l] ἐγγὺς ἦν τὸ
μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν.

σθ α 20 [m] ΤΗι δὲ μιᾷ τῶν σαββάτων [n] Μαρία[5] ἡ Μαγδαληνὴ
ἔρχεται πρωΐ, σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον·
καὶ βλέπει [o] τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου.
σι ι 2 τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον καὶ
πρὸς τὸν ἄλλον μαθητὴν [p] ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ
λέγει αὐτοῖς, "[o] Ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου,
3 καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν." Ἐξῆλθεν οὖν
[q] ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητής, καὶ ἤρχοντο εἰς τὸ
4 μνημεῖον. ἔτρεχον δὲ οἱ δύο ὁμοῦ· καὶ ὁ[6] ἄλλος
μαθητὴς προέδραμε τάχιον[7] τοῦ Πέτρου, καὶ ἦλθε
5 πρῶτος εἰς τὸ μνημεῖον, καὶ [q] παρακύψας βλέπει κεί-
6 μενα τὰ [f] ὀθόνια[8], οὐ μέντοι εἰσῆλθεν. ἔρχεται οὖν
[9] Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ
7 μνημεῖον, καὶ θεωρεῖ τὰ [f] ὀθόνια κείμενα, καὶ [r] τὸ σου-
δάριον [r] ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν
[f] ὀθονίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα
8 τόπον. τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος μαθητὴς [s] ὁ
ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε, καὶ ἐπίσ-
9 τευσεν· [t] οὐδέπω γὰρ ᾔδεισαν τὴν γραφήν, [u] ὅτι δεῖ
10 αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. ἀπῆλθον οὖν πάλιν
σια α 11 πρὸς ἑαυτοὺς[10] οἱ μαθηταί. [n] Μαρία[5] δὲ εἱστήκει[11] [q] πρὸς
τὸ μνημεῖον[12] κλαίουσα ἔξω[13]. ὡς οὖν ἔκλαιε, [q] παρέ-
12 κυψεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ [x] δύο ἀγγέλους ἐν
ι [y] λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα

[a] cap. 3. 1; 7. 50. [b] Vid. Marc. 15. 23. [c] Ps. 45. 8. Prov. 7. 17. Cant. 4. 14. [d] cap. 12. 3. [e] cap. 11. 44. [f] Vid. Luc. 24. 12. cap. 20. 5—7. [g] Marc. 16. 1. Luc. 24. 1. [h] Matt. 26. 12. [i] 2 Reg. 21. 18, 26. [k] ver. 14, 31. [l] ver. 20, 41. [m] ver. 1—8, cf. Matt. 28. 1—8. Marc. 16. 1—8. Luc. 24. 1—10. [n] ver. 18. Vid. cap. 19. 25. [o] Vid. Luc. 24. 2. cap. 11. 38. [p] Vid. cap. 13. 23. [q] Luc. 24. 12 (var. lect.). [r] cap. 11. 44. Vid. Luc. 19. 20. [s] ver. 4. [t] Matt. 22. 29. Cf. cap. 2. 22. [u] Ps. 16. 10. Luc. 24. 46. Act. 2. 25—31; 13. 34, 35; 17. 3. 1 Cor. 15. 4. [x] Luc. 24. 4. Cf. Matt. 28. 2, 3. Marc. 16. 5. [y] Act. 1. 10.

[1] αὐτὸν LTTr (non marg.) WHR. [2] μῖγμα LT, ἕλιγμα WH (non marg.) R marg. [3] ὡς LTTrWHR. [4] ἦν τεθειμένος WH. [5] Μαριὰμ T. [6] ὁ δὲ L. [7] τάχειον WH. [8] τὰ ὀθόνια κείμενα L (non marg.). [9] + καὶ Tr[Tr marg.] WHR. [10] αὐτοὺς TTr, αὑτοὺς WH. [11] ἱστήκει WH. [12] τῷ μνημείῳ LTTr WHR. [13] —ἔξω L, at ἔξω κλαίουσα TTrWHR.

πρὸς τοῖς ποσίν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ.
καὶ[1] λέγουσιν αὐτῇ ἐκεῖνοι, "Γύναι, τί κλαίεις;" 13 σιβ
Λέγει αὐτοῖς, "Ὅτι ἦραν[2] τὸν Κύριόν μου, καὶ οὐκ ϛ
οἶδα ποῦ ἔθηκαν αὐτόν." Καὶ[3] ταῦτα εἰποῦσα ἐστρά- 14
φη εἰς τὰ ὀπίσω, καὶ [a]θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα·
καὶ [b]οὐκ ᾔδει ὅτι ὁ[4] Ἰησοῦς ἐστί. λέγει αὐτῇ ὁ[4] 15
Ἰησοῦς, "Γύναι, τί κλαίεις; [c]τίνα ζητεῖς;" Ἐκείνη
δοκοῦσα ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ, "Κύριε,
εἰ σὺ [d]ἐβάστασας αὐτόν, εἰπέ μοι ποῦ αὐτὸν ἔθηκας[5]·
κἀγὼ αὐτὸν ἀρῶ." Λέγει αὐτῇ ὁ[4] Ἰησοῦς, "Μα- 16
ρία[6]." Στραφεῖσα ἐκείνη λέγει αὐτῷ[7] [e], [f]"Ῥαβ-
βουνί[8]·" ὃ λέγεται, Διδάσκαλε. λέγει αὐτῇ ὁ[4] 17
Ἰησοῦς, "Μή μου ἅπτου[9], οὔπω γὰρ ἀναβέβηκα
πρὸς τὸν πατέρα μου[10]· πορεύου δὲ πρὸς [g]τοὺς ἀδελ-
φούς μου, καὶ εἰπὲ αὐτοῖς, [h]Ἀναβαίνω [i] πρὸς τὸν πα-
τέρα μου καὶ πατέρα ὑμῶν, καὶ [k]Θεόν μου καὶ Θεὸν
ὑμῶν." [l]Ἔρχεται Μαρία[6] ἡ Μαγδαληνὴ ἀπαγγέλ- 18
λουσα[11] τοῖς μαθηταῖς, ὅτι ἑώρακε[12] τὸν Κύριον, καὶ
ταῦτα εἶπεν αὐτῇ.

[m]Οὔσης οὖν ὀψίας, τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν[13] 19 σιγ
σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν θ
οἱ μαθηταὶ συνηγμένοι[14], [n]διὰ τὸν φόβον τῶν Ἰου-
δαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ
λέγει αὐτοῖς, [o]"Εἰρήνη ὑμῖν." Καὶ τοῦτο εἰπὼν 20
[p]ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ[15].
[q]ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον. εἶπεν 21 σιδ
οὖν αὐτοῖς ὁ Ἰησοῦς[16] πάλιν, [o]"Εἰρήνη ὑμῖν· [r]καθὼς ι
ἀπέσταλκέ με ὁ πατήρ, κἀγὼ πέμπω[17] ὑμᾶς." Καὶ 22
τοῦτο εἰπὼν [s]ἐνεφύσησε καὶ λέγει αὐτοῖς, "Λάβετε
Πνεῦμα Ἅγιον. [t]ἄν[18] τινων[19] ἀφῆτε τὰς ἁμαρτίας, 23 σιε
ἀφίενται[20] αὐτοῖς· ἄν[18] τινων[19] κρατῆτε, κεκράτην- ϛ
ται." [u]Θωμᾶς δέ, εἷς ἐκ τῶν δώδεκα ὁ λεγόμενος 24 σιϛ
ϛ

[a] Marc. 16. 9. Cf. Matt. 28. 9.
[b] cap. 21. 4. Luc. 24. 16, 31.
[c] Vid. cap. 18. 4.
[d] cap. 12. 6; 19. 17.
[e] (var. lect.) Vid. cap. 5. 2.
[f] Marc. 10. 51.
[g] Vid. Matt. 28. 10.
[h] Vid. Luc. 24. 51.
[i] Cf. cap. 7. 33.
[k] 1 Cor. 8. 23. Eph. 1. 17.
[l] Marc. 16. 10. Cf. Matt. 28. 10. Luc. 24. 10, 22, 23.
[m] Marc. 16. 14. Luc. 24. 36.
[n] cap. 7. 13; 19. 38.
[o] ver. 21, 26. Vid. cap. 14. 27.
[p] ver. 27. Vid. Luc. 24. 40 (var. lect.)
[q] Cf. Luc. 24. 52. Vid. cap. 16. 22.
[r] cap. 17. 18.
[s] Gen. 2. 7.
[t] Matt. 16. 19; 18. 18. Cf. 1 Cor. 5. 4, 5.
[u] Vid. cap. 11. 16.

[1] —καὶ T. [2] ὅτι Ἦραν WH *text.*, Ὅτι ἦραν WH *marg.* [3] —Καὶ LTTrWHR. [4] —ὁ LTTrWH. [5] ἔθηκας αὐτόν LTTrWH. [6] Μαριάμ TTrWH. [7] + Ἑβραϊστί TTr[L]R, + Ἐβραϊστί WH. [8] Ῥαββουνεί WH. [9] ἅπτου μου Tr *marg.* WH *marg.* [10] —μου TTr[LTr *marg.*]WHR. [11] ἀγγέλλουσα LTTrWHR. [12] Ἑώρακα L *marg.* TTr (*non marg.*) WHR. [13] —τῶν LTTrWHR. [14] —συνηγμένοι LTTrWHR. [15] καὶ (—καὶ TR) τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῖς LTTrWHR, *at* Tr *marg.* ἔδειξεν [αὐτοῖς] καὶ τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. [16] —ὁ Ἰησοῦς TTr[WH]. [17] ἀποστέλλω Tr *marg.* [18] ἐάν L. [19] τινος L *marg.* WH *marg.* [20] ἀφέωνται L (*non marg.*) TTrWH, ἀφίονται WH *marg.*

Δίδυμος, οὐκ ἦν μετ᾽ αὐτῶν ὅτε ἦλθεν ὁ[1] Ἰησοῦς.
25 ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί, "Ἑωράκαμεν
τὸν Κύριον." Ὁ δὲ εἶπεν αὐτοῖς, [a]"Ἐὰν μὴ ἴδω ἐν
ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω
τὸν δάκτυλόν μου[2] εἰς τὸν τύπον[3] τῶν ἥλων, καὶ
βάλω τὴν χεῖρά μου[4] εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ
σιζ 26 πιστεύσω." [b]Καὶ μεθ᾽ ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω
θ οἱ μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ᾽ αὐτῶν. ἔρχεται
ὁ Ἰησοῦς, τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ
27 μέσον καὶ εἶπεν, [c]"Εἰρήνη ὑμῖν." Εἶτα λέγει τῷ
Θωμᾷ, [d]"Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς
χεῖράς μου· καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς
τὴν πλευράν μου· καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πισ-
σιη 28 τός." Καὶ[5] ἀπεκρίθη ὁ[6] Θωμᾶς, καὶ εἶπεν αὐτῷ,
29 "Ὁ Κύριός μου καὶ ὁ Θεός μου." Λέγει αὐτῷ ὁ[7]
Ἰησοῦς, "Ὅτι ἑώρακάς με, Θωμᾶ[8], πεπίστευκας·[9]
[e]μακάριοι [f]οἱ μὴ ἰδόντες, καὶ [e f]πιστεύσαντες."
30 [g]Πολλὰ μὲν οὖν καὶ ἄλλα [h]σημεῖα ἐποίησεν ὁ Ἰη-
σοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ[10], ἃ οὐκ ἔστι γε-
31 γραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. [i]ταῦτα δὲ γέγραπται,
ἵνα πιστεύσητε[11] ὅτι ὁ[12] Ἰησοῦς ἐστιν ὁ Χριστὸς [k]ὁ
υἱὸς τοῦ Θεοῦ, καὶ [i]ἵνα πιστεύοντες [l]ζωὴν[13] ἔχητε [m]ἐν
τῷ ὀνόματι αὐτοῦ.

σιθ θ 21 ΜΕΤΑ ταῦτα [n]ἐφανέρωσεν ἑαυτὸν [o]πάλιν ὁ[14] Ἰη-
σοῦς τοῖς μαθηταῖς ἐπὶ [p]τῆς θαλάσσης τῆς Τιβεριά-
2 δος· ἐφανέρωσε δὲ οὕτως· ἦσαν ὁμοῦ Σίμων Πέτρος,
καὶ [q]Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ [r]Ναθαναὴλ[15] ὁ
[s]ἀπὸ Κανᾶ[16] τῆς Γαλιλαίας, καὶ [t]οἱ τοῦ[17] Ζεβεδαίου, καὶ
3 ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. λέγει αὐτοῖς Σί-
μων Πέτρος, "Ὑπάγω ἁλιεύειν." Λέγουσιν αὐτῷ,
"Ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί." [18]Ἐξῆλθον[19] καὶ
ἀνέβησαν[20] εἰς τὸ πλοῖον εὐθὺς[21], καὶ [u]ἐν ἐκείνῃ τῇ νυκτὶ

[a] Cf. Ps. 22. 16.
[b] Marc. 16. 14.
[c] ver. 19, 21.
[d] ver. 20. Luc. 24. 39.
[e] Luc. 1. 45.
[f] 2 Cor. 5. 7. 1 Pet. 1. 8.
[g] cap. 21. 25. Cf. Luc. 8. 18.
[h] Vid. cap. 2. 23.
[i] 1 Joan. 5. 13.
[k] Vid. Matt. 14. 33.
[l] Vid. cap. 3. 15.
[m] Act. 3. 6; 4. 10. Cf. 1 Cor. 6. 10.
[n] ver. 14. Marc. 16. 12, 14.
[o] cap. 1. 31; 7. 4.
[o] cap. 20. 19, 26.
ver. 14.
[p] cap. 6. 1.
[q] Vid. cap. 11. 16.
[r] cap. 1. 45—49.
[s] Vid. cap. 2. 1.
[t] Matt. 4. 21. Marc. 1. 19. Luc. 5. 10.
[u] Cf. Luc. 5. 5.

[1] –ὁ LTTrWH. [2] μου τὸν δάκτυλον T. [3] τόπον LTTr *marg.* [4] μου τὴν χεῖρα TTrWH. [5] –Καὶ LTTrWHR. [6] –ὁ LTTrWH. [7] [ὁ] TrWH. [8] –Θωμᾶ LTTrWHR. [9] πεπίστευκας; WH.R *marg.* [10] –αὐτοῦ LTTrWH (*non marg.*) R. [11] πιστεύητε TTr *marg.* WH. [12] –ὁ LTTrWH. [13] + [αἰώνιον] L. [14] –ὁ TTrWH. [15] Ναθανὴλ *errore* S. [16] Κανὰ WH. [17] υἱοὶ Tr *marg.* [18] + [καὶ] L. [19] ἐξῆλθαν WH. [20] ἐνέβησαν LTTrWHR. [21] –εὐθύς LTTrWHR.

ἐπίασαν οὐδέν. πρωΐας δὲ ἤδη γενομένης[1] ἔστη ὁ[2] 4
Ἰησοῦς εἰς[3] τὸν αἰγιαλόν· [a]οὐ μέντοι ᾔδεισαν[4] οἱ
μαθηταὶ ὅτι Ἰησοῦς ἐστί. λέγει οὖν αὐτοῖς ὁ Ἰη- 5
σοῦς[5], [b]"Παιδία, [c]μή τι προσφάγιον ἔχετε;" Ἀπε-
κρίθησαν αὐτῷ, "Οὔ." Ὁ δὲ εἶπεν[6] αὐτοῖς, "Βάλετε 6
εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρή-
σετε." [d]Ἔβαλον οὖν, καὶ οὐκ ἔτι[7] αὐτὸ ἑλκῦσαι[8] ἴσ-
χυσαν[9] ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων. λέγει οὖν ὁ 7 σκ/ι
μαθητὴς ἐκεῖνος [e]ὃν ἠγάπα ὁ Ἰησοῦς τῷ Πέτρῳ,
"Ὁ Κύριός ἐστι." Σίμων οὖν Πέτρος, ἀκούσας ὅτι
ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην [f]διεζώσατο· ἦν γὰρ
[g]γυμνός· καὶ [h]ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν. [i]οἱ 8
δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον· οὐ γὰρ ἦσαν
μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ'[10] ὡς ἀπὸ πηχῶν διακο-
σίων, σύροντες τὸ δίκτυον τῶν ἰχθύων. Ὡς οὖν 9 σκα/θ
ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν[11] [k]ἀνθρακιὰν κειμέ-
νην καὶ [l]ὀψάριον ἐπικείμενον, καὶ ἄρτον. λέγει αὐ- 10
τοῖς ὁ[12] Ἰησοῦς, "Ἐνέγκατε ἀπὸ τῶν [l]ὀψαρίων ὧν
ἐπιάσατε νῦν." Ἀνέβη[13] Σίμων Πέτρος, καὶ εἵλκυσε 11 σκβ/θ
τὸ δίκτυον ἐπὶ τῆς γῆς[14], μεστὸν ἰχθύων μεγάλων[15]
ἑκατὸν πεντηκοντατριῶν[16]· καὶ τοσούτων ὄντων, οὐκ
ἐσχίσθη τὸ δίκτυον.

Λέγει αὐτοῖς ὁ[12] Ἰησοῦς, [m]"Δεῦτε ἀριστήσατε. οὐδεὶς 12 σκγ/θ
δὲ[17] ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτόν, "Σὺ τίς
εἶ;" εἰδότες ὅτι ὁ Κύριός[18] ἐστιν· ἔρχεται οὖν ὁ[19] Ἰη- 13 σκδ/ι
σοῦς, καὶ [n]λαμβάνει τὸν ἄρτον καὶ δίδωσιν αὐτοῖς, σκε/θ
καὶ τὸ [l]ὀψάριον ὁμοίως. [o]τοῦτο ἤδη τρίτον ἐφανε- 14 σκς/ι
ρώθη ὁ[20] Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ[21] ἐγερθεὶς ἐκ
νεκρῶν.

Ὅτε οὖν [m]ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ 15 σκζ/θ
Ἰησοῦς, [p]"Σίμων [q]Ἰωνᾶ[22], ἀγαπᾷς με [r]πλεῖόν[23] τού-
των;" Λέγει αὐτῷ, "Ναί, Κύριε· σὺ οἶδας ὅτι φιλῶ

[a] cap. 20. 14. Luc. 24. 16.
[b] Vid. 1 Joan. 2. 13.
[c] Luc. 24. 41.
[d] Cf. Luc. 5. 4, 6, 7.
[e] ver. 20. Vid. cap. 13. 23.
[f] ver. 18. Vid. cap. 13. 4.
[g] 1 Sam. 19. 24. Esa. 20. 2. Micah 1. 8.
[h] Cf. Matt. 14. 29.
[i] cap. 6. 22.
[k] cap. 18. 18.
[l] ver. 10, 13. cap. 6. 9, 11.
[m] ver. 15. Vid. Luc. 14. 12.
[n] ver. 9.
[o] ver. 1.
[p] cap. 1. 43.
[q] Vid. Matt. 16. 17.
[r] Cf. Matt. 26. 33. Luc. 22. 31.

[1] γινομένης TTr (*non marg.*) WHR. [2] —ὁ LTTrWH. [3] ἐπὶ LTTr *marg.* WH *marg.* [4] ἔγνωσαν Tr *marg.* [5] [ὁ Ἰησοῦς] L, Ἰησοῦς TWH, [ὁ] Ἰησοῦς Tr. [6] λέγει T. [7] οὐκέτι LTWHR. [8] ἑλκύσαι BELTWH. [9] ἴσχυον LTTrWHR. [10] ἀλλὰ TTrWH. [11] εἶδαν L *marg.* [12] [ὁ] TrWH. [13] + οὖν Tr[Tr *marg.*]WHR. [14] εἰς τὴν γῆν LTTrWHR. [15] μεγάλων ἰχθύων L (*non marg.*) Tr *marg.* [16] πεντήκοντα τριῶν LTTrWH. [17] —δὲ [Tr] WH. [18] Χριστός *errore* B. [19] —οὖν ὁ LTTrWHR. [20] —ὁ LTTrWH. [21] —αὐτοῦ LTTrWHR. [22] Ἰωάνου LTrWHR, Ἰωάννου T. [23] πλέον LTTrWH.

σκη 16 σε." Λέγει αὐτῷ, "Βόσκε [a]τὰ ἀρνία μου." Λέγει
ϛ αὐτῷ πάλιν[1] δεύτερον, "Σίμων Ἰωνᾶ[2], ἀγαπᾷς με;"
Λέγει αὐτῷ, "Ναί, Κύριε· σὺ οἶδας ὅτι φιλῶ σε."
σκθ 17 Λέγει αὐτῷ, [b]"Ποίμαινε τὰ πρόβατά[3] μου." Λέγει
θ αὐτῷ τὸ τρίτον, "Σίμων Ἰωνᾶ[2], φιλεῖς με;" Ἐλυ-
σλ πήθη ὁ Πέτρος, ὅτι εἶπεν αὐτῷ [c]τὸ τρίτον, "φιλεῖς
ϛ με;" καὶ[4] εἶπεν[5] αὐτῷ, "Κύριε, [d]σὺ πάντα[6] οἶδας·
σὺ γινώσκεις ὅτι φιλῶ σε." Λέγει αὐτῷ ὁ[7] Ἰησοῦς[8],
σλα 18 "Βόσκε τὰ πρόβατά[9] μου. [e]ἀμὴν ἀμὴν λέγω σοι,
θ σλβ ὅτε ἦς νεώτερος [f]ἐζώννυες σεαυτόν, καὶ περιεπάτεις
ϛ ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς
σου, καὶ ἄλλος [f]σε ζώσει[10], καὶ οἴσει[11] ὅπου οὐ θέ-
19 λεις." [g]Τοῦτο δὲ εἶπε, σημαίνων [h]ποίῳ θανάτῳ δοξά-
σει τὸν Θεόν. καὶ τοῦτο εἰπὼν λέγει αὐτῷ, [i]"Ἀκο-
20 λούθει μοι." Ἐπιστραφεὶς δὲ[12] ὁ Πέτρος βλέπει
τὸν μαθητήν, [k]ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα, ὃς
καὶ [l]ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ καὶ
21 εἶπε, "Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε;" Τοῦτον[13]
ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ, "Κύριε, οὗτος δὲ
22 τί;" Λέγει αὐτῷ ὁ Ἰησοῦς, "Ἐὰν αὐτὸν θέλω [m]μέ-
νειν [n]ἕως ἔρχομαι, τί πρός σε; σὺ [i]ἀκολούθει μοι[14]."
23 Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος[15] εἰς [o]τοὺς ἀδελφούς,
"Ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει·" καὶ οὐκ
εἶπεν[16] αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει· ἀλλ',
"Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε;[17]"
24 [p]ΟΥΤΟΣ ἐστιν ὁ μαθητὴς ὁ[18] μαρτυρῶν περὶ τού-
των, καὶ [19]γράψας ταῦτα· καὶ [q]οἴδαμεν ὅτι [r]ἀληθής
25 ἐστιν ἡ μαρτυρία αὐτοῦ[20]. [s][21]ἔστι δὲ καὶ ἄλλα πολλὰ
ὅσα[22] ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ'
ἕν, [t]οὐδὲ[23] αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι[24] τὰ γρα-
φόμενα βιβλία. Ἀμήν[25]. [26]

[a] Vid. Luc. 12. 32.
[b] Matt. 2. 6. Act. 20. 28. 1 Cor. 9. 7. 1 Pet. 5. 2. Rev. 7. 17.
[c] Cf. cap. 13. 38.
[d] Vid. cap. 2. 25.
[e] Cf. cap. 13. 36.
[f] ver. 7.
[g] Cf. cap. 12. 33; 18. 32.
[h] 2 Pet. 1. 14.
[i] ver. 22. Vid. Matt. 16. 24.
[k] ver. 7.
[l] cap. 13. 25 & var. lect.
[m] 1 Cor. 15. 6. Cf. Phil. 1. 24, 25.
[n] Matt. 16. 27, 28. 1 Cor. 4. 5; 11. 26. Rev. 2. 25. Cf. Rev. 3. 11; 22. 7, 12, 20.
[o] Act. 9. 30; 10. 23; 11. 1, &c.
[p] cap. 19. 35. Vid. cap. 15. 27.
[q] 1 Joan. 3. 2, 14; & 15, 18—20.
[r] 3 Joan. 12.
[s] Vid. cap. 20. 30.
[t] Cf. Amos 7. 10.

[1] πάλιν λέγει αὐτῷ L *marg.* [2] Ἰωάνου LTTrWHR, Ἰωάννου T. [3] προβάτιά TTr *marg.* WH (*non marg.*). [4] [καὶ] L. [5] λέγει L *marg.* TTr *marg.* [6] πάντα σὺ LTTrWHR. [7] —ὁ LTTrWH. [8] —Ἰησοῦς T[Tr]. [9] προβάτιά TTrWH (*non marg.*) R. [10] ζώσει σε Tr (*non marg.*) WH. [11] + [σε] L. [12] —δὲ LTTrWHR. [13] + οὖν LTTrWHR. [14] μοι ἀκολούθει LTTrWH. [15] οὗτος ὁ λόγος LTTrWH. [16] οὐκ εἶπεν δὲ L *marg.* Tr (*non marg.*) WHR. [17] —τί πρός σε; T. [18] + καὶ WH *marg.* [19] + ὁ LTrWH, *at* [ὁ] καὶ WH *marg.* [20] αὐτοῦ ἡ μαρτυρία ἐστὶν TTrWH. [21] *Vers.* 25 *prorsus omittit* T. [22] ἃ LTrWHR. [23] οὐδ' LTrWH. [24] χωρήσειν TrWHR. [25] —Ἀμήν LTTrWHR. [26] *Subscriptio deest in* SWH, *fin.* + Κατὰ Ἰωάνην Tr.

ΠΡΑΞΕΙΣ

ΤΩΝ ΑΓΙΩΝ[1] ΑΠΟΣΤΟΛΩΝ[2].

ΤΟΝ μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάν- 1 Α′.
των, ὦ [a]Θεόφιλε, ὧν ἤρξατο ὁ[3] Ἰησοῦς ποιεῖν τε καὶ
διδάσκειν, ἄχρι ἧς ἡμέρας [b]ἐντειλάμενος τοῖς ἀποστό- 2
λοις [c]διὰ Πνεύματος Ἁγίου, [d]οὓς ἐξελέξατο, [e]ἀνελή-
φθη[4]. [f]οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ πα- 3
θεῖν αὐτόν, ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσ-
σαράκοντα[5] ὀπτανόμενος αὐτοῖς, καὶ λέγων [g]τὰ περὶ
τῆς βασιλείας τοῦ Θεοῦ. καὶ συναλιζόμενος [h]παρήγ- 4
γειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων[6] μὴ χωρίζεσθαι,
ἀλλὰ περιμένειν [i]τὴν ἐπαγγελίαν τοῦ πατρός, [k]"ἣν
ἠκούσατέ μου· ὅτι [l]Ἰωάννης[7] μὲν ἐβάπτισεν ὕδατι, 5
ὑμεῖς δὲ [m]βαπτισθήσεσθε ἐν Πνεύματι[8] Ἁγίῳ, [n]οὐ μετὰ
πολλὰς ταύτας ἡμέρας." Οἱ μὲν οὖν συνελθόντες 6
ἐπηρώτων[9] αὐτὸν λέγοντες, "Κύριε, [o]εἰ ἐν τῷ χρόνῳ
τούτῳ [p]ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ;"
Εἶπε δὲ[10] πρὸς αὐτούς, "Οὐχ ὑμῶν ἐστὶ γνῶναι [q]χρό- 7
νους ἢ καιροὺς [r]οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξου-
σίᾳ· ἀλλὰ λήψεσθε[11] [s]δύναμιν, ἐπελθόντος τοῦ Ἁγίου 8
Πνεύματος ἐφ' ὑμᾶς, καὶ [t]ἔσεσθέ μοι[12] μάρτυρες ἔν τε
Ἱερουσαλὴμ[13] καὶ ἐν[14] πάσῃ τῇ Ἰουδαίᾳ καὶ [u]Σαμαρείᾳ[15]
καὶ [x]ἕως ἐσχάτου τῆς γῆς." Καὶ ταῦτα εἰπών, βλε- 9
πόντων αὐτῶν [y]ἐπήρθη, καὶ [z]νεφέλη ὑπέλαβεν αὐτὸν
ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. καὶ ὡς ἀτενίζοντες ἦσαν 10
εἰς τὸν οὐρανόν, πορευομένου αὐτοῦ, καὶ ἰδοὺ [a]ἄνδρες
δύο παρειστήκεισαν[16] αὐτοῖς ἐν [b]ἐσθῆτι λευκῇ[17], οἳ καὶ 11
εἶπον[18], "[y]Ἄνδρες [c]Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες[19]
εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ [e]ἀναληφθεὶς[20] ἀφ'

[1] —τῶν ἁγίων LTTrWH, —ἁγίων R. [2] —ἀποστόλων T. [3] —ὁ LTrWH. [4] ἀνελήμφθη LTTrWH. [5] τεσσεράκοντα LTTrWH. [6] Ἰεροσολύμων WH. [7] Ἰωάνης TrWH. [8] ἐν πνεύματι βαπτισθήσεσθε LTTrWH. [9] ἠρώτων LTTrWH. [10] —δὲ TTrWH. [11] λήμψεσθε LTTrWH. [12] μου LTTrWHR. [13] Ἰερουσαλὴμ WH. [14] —ἐν L[TrWH]. [15] Σαμαρίᾳ TWH. [16] παριστήκεισαν WH. [17] ἐσθήσεσι λευκαῖς LTTrWHR. [18] εἶπαν LTTrWH. [19] βλέποντες TTrWHR. [20] ἀναλημφθεὶς LTTrWH.

[a] Luc. 1. 3.
[b] Matt. 28. 19. Marc. 16. 15. Joan. 20. 21.
[c] cap. 10. 38.
[d] Luc. 6. 13. Joan. 13. 18.
[e] ver. 9, 11, 22. Vid. Marc. 16. 19 & 1 Tim. 3. 16. Cf. Luc. 9. 51; 24. 51.
[f] Matt. 28. 17. Marc. 16. 14. Luc. 24. 34, 36. Joan. 20. 19, 26; 21. 1, 14. 1 Cor. 15. 5—7.
[g] cap. 8. 12; 19. 8. Cf. cap. 28. 23.
[h] Luc. 24. 49.
[i] cap. 2. 33. Cf. Joan. 14. 16, 26; 15. 26. Eph. 1. 13.
[k] (Constructio) cap. 14. 22; 17. 3; 23. 22.
[l] Matt. 3. 11. Joan. 1. 26. cap. 11. 16.
[m] Joan. 1. 33.
[n] cap. 2. 1—4.
[o] Vid. Luc. 17. 20.
[p] Matt. 17. 11. Marc. 9. 12.
[q] Dan. 2. 21. 1 Thess. 5. 1.
[r] Matt. 24. 36. Marc. 13. 32.
[s] cap. 4. 33.
[t] ver. 22. Vid. Luc. 24. 48. Cf. Esa. 43. 12.
[u] cap. 8. 14. Cf. Matt. 10. 5.
[x] Marc. 16. 15. Col. 1. 23.
[y] ver. 2. Vid. Luc. 24. 51.
[z] 1 Thess. 4. 17.
[a] Luc. 24. 4. Cf. cap. 10. 30.
[b] Vid. Matt. 28. 3. Marc. 16. 5. Joan. 20. 12.
[c] cap. 2. 7; 13. 31.

ὑμῶν εἰς τὸν οὐρανόν, [a]οὕτως ἐλεύσεται ὃν τρόπον
ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν."
12 Τότε ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ[1] ἀπὸ [b]ὄρους τοῦ
καλουμένου Ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλήμ[1],
σαββάτου ἔχον ὁδόν.
Β'. 13 Καὶ ὅτε εἰσῆλθον, **ἀνέβησαν εἰς** [c]**τὸ ὑπερῷον**[2] οὗ
ἦσαν καταμένοντες, [d]ὅ τε Πέτρος καὶ **Ἰάκωβος καὶ**
Ἰωάννης[3] καὶ Ἀνδρέας, [e]Φίλιππος καὶ [f]Θωμᾶς, Βαρ-
θολομαῖος καὶ [g]**Ματθαῖος**[4], Ἰάκωβος Ἀλφαίου* καὶ
14 Σίμων ὁ Ζηλωτής, καὶ [h]Ἰούδας Ἰακώβου. οὗτοι
πάντες ἦσαν [i]προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσ-
ευχῇ **καὶ τῇ δεήσει**[5], σὺν [k]γυναιξὶ καὶ **Μαρίᾳ**[6] τῇ
μητρὶ **τοῦ**[7] Ἰησοῦ, καὶ **σὺν**[8] [l]τοῖς ἀδελφοῖς αὐτοῦ.
15 ΚΑΙ ἐν ταῖς ἡμέραις ταύταις ἀναστὰς Πέτρος ἐν
μέσῳ τῶν **μαθητῶν**[9] εἶπεν· ἦν τε ὄχλος [m]ὀνομάτων
16 ἐπιτοαυτὸ[10] **ὡς**[11] ἑκατὸν εἴκοσιν[12]· "Ἄνδρες ἀδελφοί,
ἔδει πληρωθῆναι τὴν γραφὴν **ταύτην**[13], [n]ἣν προεῖπε
[o]τὸ Πνεῦμα τὸ Ἅγιον διὰ στόματος **Δαβὶδ**[14], περὶ
[p]Ἰούδα [q]τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσι **τὸν**[15]
17 Ἰησοῦν· ὅτι [r]κατηριθμημένος ἦν **σὺν**[16] ἡμῖν, καὶ ἔλαχε
18 τὸν κλῆρον τῆς [s]διακονίας ταύτης. Οὗτος μὲν οὖν
[t]ἐκτήσατο χωρίον ἐκ **τοῦ**[17] [u]μισθοῦ τῆς ἀδικίας, καὶ
πρηνὴς γενόμενος ἐλάκησε μέσος, καὶ ἐξεχύθη πάντα
19 τὰ σπλάγχνα αὐτοῦ,[18] καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς
κατοικοῦσιν Ἱερουσαλήμ[1], ὥστε κληθῆναι τὸ χωρίον
ἐκεῖνο [x]τῇ **ἰδίᾳ**[19] διαλέκτῳ αὐτῶν **Ἀκελδαμά**[20], τουτ-
20 έστι[21] χωρίον αἵματος[22]. [x]γέγραπται γὰρ ἐν βίβλῳ
Ψαλμῶν, [y]'Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ
ἔστω ὁ κατοικῶν ἐν αὐτῇ.' Καὶ [z]'τὴν ἐπισκοπὴν αὐ-
21 τοῦ **λάβοι**[23] ἕτερος.' Δεῖ οὖν τῶν συνελθόντων ἡμῖν
ἀνδρῶν ἐν παντὶ χρόνῳ **ἐν**[24] ᾧ [a]εἰσῆλθε καὶ ἐξῆλθεν
22 ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς, [b]ἀρξάμενος [c]ἀπὸ τοῦ βαπ-

[a] Cf. cap. 8. 21. Phil. 3. 20. 1 Thess. 1. 10. Vid. Matt. 16. 27.
[b] Vid. Matt. 21. 1. Cf. Luc. 24. 50, 52.
[c] cap. 9. 37, 39; 20. 8. Cf. Marc. 14. 15. Luc. 22. 12.
[d] Matt. 10. 2—4. Marc. 3. 16, 19. Luc. 6. 14—16.
[e] Vid. Joan. 1. 44.
[f] Vid. Joan. 11. 16.
[g] Vid. Matt. 9. 9.
[h] Luc. 6. 16. Joan. 14. 22.
[i] cap. 2. 42; 6. 4. Rom. 12. 12. Col. 4. 2. Cf. Eph. 6. 18.
[k] Vid. Luc. 8. 2.
[l] Vid. Matt. 12. 46. Cf. Luc. 24. 33.
[m] Num. 1. 2. Rev. 3. 4; 11. 13.
[n] ver. 20. Cf. Joan. 13. 18; 17. 12.
[o] cap. 4. 25; 28. 25. Heb. 3. 7; 9. 8; 10. 15. 2 Pet. 1. 21.
[p] Vid. Matt. 26. 14.
[q] Matt. 26. 47. Marc. 14. 43. Luc. 22. 47. Joan. 18. 3.
[r] Joan. 6. 71; 18. 21.
[s] ver. 25. cap. 20. 24; 21. 19. 2 Cor. 4. 1.
[t] Cf. Matt. 27. 5—8.
[u] 2 Pet. 2. 15. Cf.
[z] Ps. 109. 8.
[c] Marc.

[1] Ἱερουσαλὴμ WH. [2] εἰς τὸ ὑπερῷον ἀνέβησαν LTTrWHR. [3] Ἰωάννης (Ἰωάνης TrWH) καὶ Ἰάκωβος LTTrWHR. [4] Μαθθαῖος LTTrWH. * Ἁλφ. WH. [5] —καὶ τῇ δεήσει LTTrWHR. [6] Μαριὰμ TTrWH. [7] [τοῦ] WH. [8] —σὺν LT[Tr]. [9] ἀδελφῶν LTTrWHR. [10] ἐπὶ τὸ αὐτὸ BELTTrWH. [11] ὡσεὶ T. [12] εἴκοσι T. [13] —ταύτην LTTrWHR. [14] Δαυεὶδ LTTrWH. [15] —τὸν LTTrWH. [16] ἐν LTTrWHR. [17] —τοῦ LTTrWHR. [18] + δ T. [19] —ἰδίᾳ [Tr]WHR. [20] Ἀκελδαμάχ L, Ἀχελδαμάχ TTr, Ἁχελδαμάχ WH. [21] τοῦτ' ἔστιν TTrWH. [22] Χωρίον Αἵματος WH. [23] λαβέτω LTTrWHR. [24] —ἐν LTTrWHR.

Matt. 26. 14—16.   [x] Cf. cap. 21. 40.   [y] Ps. 69. 25.
[a] Vid. Joan. 10. 9.   [b] Luc. 24. 47 (var. lect.).   ver. 1. Cf. Luc. 8. 23.
1. 1—4; cap. 13. 24.

τίσματος Ἰωάννου[1] **ἕως**[2] τῆς ἡμέρας [a]ἧς **ἀνελήφθη**[3] ἀφ᾽
ἡμῶν, [b]μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ **γενέσθαι σὺν**
ἡμῖν[4] ἕνα τούτων." Καὶ ἔστησαν δύο, Ἰωσὴφ τὸν 23
καλούμενον **Βαρσαβᾶν**[5], ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ
[c]**Ματθίαν**[6]. καὶ [d]προσευξάμενοι **εἶπον**[7], "Σὺ Κύριε 24
[e]καρδιογνῶστα πάντων, ἀνάδειξον **ἐκ τούτων τῶν δύο**
ἕνα ὃν ἐξελέξω[8] λαβεῖν τὸν **κλῆρον**[9] τῆς [f]διακονίας 25
ταύτης καὶ [g]ἀποστολῆς, **ἐξ**[10] ἧς παρέβη Ἰούδας, πο-
ρευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον." Καὶ [h]ἔδωκαν κλή- 26
ρους **αὐτῶν**[11], καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ [c]**Ματθίαν**[12], καὶ
[13]**συγκατεψηφίσθη** μετὰ [i]τῶν ἕνδεκα ἀποστόλων.

ΚΑΙ ἐν τῷ [k][13]**συμπληροῦσθαι** [l]τὴν ἡμέραν τῆς Πεν- 2 Γ'.
τηκοστῆς, ἦσαν **ἅπαντες ὁμοθυμαδὸν**[14] **ἐπιτοαυτό**[15]. καὶ 2
ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης
πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον οὗ
ἦσαν **καθήμενοι**[16]· καὶ ὤφθησαν αὐτοῖς [m]διαμεριζόμεναι 3
γλῶσσαι [n]ὡσεὶ πυρός, **ἐκάθισέ τε**[17] ἐφ᾽ ἕνα ἕκαστον
αὐτῶν, καὶ [o]ἐπλήσθησαν **ἅπαντες**[18] Πνεύματος Ἁγίου, 4
καὶ ἤρξαντο [p]λαλεῖν ἑτέραις γλώσσαις, [q]καθὼς τὸ
Πνεῦμα ἐδίδου **αὐτοῖς ἀποφθέγγεσθαι**[19]. Ἦσαν δὲ **ἐν**[20] 5
Ἱερουσαλὴμ[21] κατοικοῦντες Ἰουδαῖοι ἄνδρες [r]εὐλαβεῖς
ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν. γενομένης 6
δὲ [s]τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος καὶ [t]συνε-
χύθη· ὅτι **ἤκουον*** εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λα-
λούντων αὐτῶν. [u]ἐξίσταντο δὲ **πάντες**[22] καὶ ἐθαύμαζον, 7
λέγοντες **πρὸς ἀλλήλους**[23], "**Οὐκ**[24] ἰδοὺ **πάντες**[25] οὗτοί
εἰσιν οἱ λαλοῦντες [x]Γαλιλαῖοι; καὶ πῶς ἡμεῖς ἀκού- 8
ομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθη-
μεν; Πάρθοι καὶ [yz]Μῆδοι καὶ [ya]**Ἐλαμῖται**[26], καὶ οἱ κατοι- 9
κοῦντες τὴν [b]Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ [c]Καπ-

[a] ver. 2, 11. [b] Vid. ver. 8. [c] ver. 26. [d] cap. 6. 6; 13. 3. [e] cap. 15. 8. Cf. 1 Sam. 16. 7. Rom. 8. 27. [f] Vid. ver. 17. [g] Rom. 1. 5. 1 Cor. 9. 2. Gal. 2. 8. [h] Num. 26. 55. Josh. 14. 2. Judic. 20. 9. 1 Sam. 10. 20; 14. 41. 1 Chr. 24. 5, 31. Neh. 10. 34; 11. 1. Prov. 16. 33. [i] cap. 2. 14. [k] Luc. 9. 51. Cf. cap. 21. 27. [l] Lev. 23. 15. cap. 20. 16. 1 Cor. 16. 8. [m] Cf. Heb. 2. 4. [n] Matt. 3. 11. [o] cap. 4. 31; 9. 17; 13. 52. Cf. cap. 1. 5, 8; 6. 3, 5; 11. 15. [p] Vid. Marc. 16. 17. [q] 1 Cor. 12. 10, 11. [r] cap. 8. 2. Luc. 2. 25. [s] Cf. ver. 2. [t] cap. 9. 22. [u] ver. 12. Vid. Luc. 2. 47. [x] Vid. cap. 1. 11. [y] Esa. 21. 2. [z] 2 Reg. 17. 6. [a] Gen. 14. 1, 9. Esa. 11. 11. Dan. 8. 2. [b] cap. 7. 2. [c] 1 Pet. 1. 1.

[1] Ἰωάνου TrWH. [2] ἄχρι T. [3] ἀνελήμφθη LTTrWH. [4] σὺν ἡμῖν γενέσθαι LTTrWHR. [5] Βαρσαββᾶν LTTrWHR. [6] Μαθθίαν TTrWH. [7] εἶπαν LTTrWH. [8] ὃν ἐξελέξω (, WH) ἐκ τούτων τῶν δύο ἕνα LTTrWHR, *at* ὃν ἕνα *tantum pro* ἕνα ὃν B. [9] τόπον LTTrWHR. [10] ἀφ᾽ LTTrWHR. [11] αὐτοῖς LTTrWHR. [12] Μαθθίαν TTrWH. [13] συν- TWH. [14] πάντες ὁμοῦ LTTrWHR. [15] ἐπὶ τὸ αὐτὸ BELTTrWH. [16] καθεζόμενοι L. [17] καὶ ἐκάθισεν LTTrWHR. [18] πάντες LTTrWHR. [19] ἀποφθέγγεσθαι αὐτοῖς LTTrWHR. [20] [ἐν] WH, *at* εἰς WH *marg.* [21] Ἰερουσαλὴμ WH. * ἤκουσεν WH. [22] —πάντες L[Tr]WH. [23] —πρὸς ἀλλήλους LTTrWHR. [24] Οὐχ LTWH *marg.*, Οὐχὶ TrWH *text.* [25] ἅπαντες LTR. [26] Ἐλαμεῖται TWH.

10 παδοκίαν, [ab]Πόντον καὶ τὴν [ac]Ἀσίαν, [d]Φρυγίαν τε καὶ
[e]Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς
κατὰ [f]Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰου-
11 δαῖοί τε καὶ [g]προσήλυτοι, [h]Κρῆτες καὶ [i]Ἄραβες ἀκού-
ομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ
12 μεγαλεῖα τοῦ Θεοῦ." [k]Ἐξίσταντο δὲ πάντες καὶ [l]**διη-
πόρουν**[1], ἄλλος πρὸς ἄλλον λέγοντες, "Τί **ἂν θέλοι**[2]
13 τοῦτο εἶναι;" Ἕτεροι δὲ [m]**χλευάζοντες**[3] ἔλεγον, "Ὅτι
γλεύκους μεμεστωμένοι εἰσί."
14 Σταθεὶς δὲ[4] Πέτρος σὺν [n]τοῖς ἕνδεκα, [o]ἐπῆρε τὴν
φωνὴν αὐτοῦ, καὶ [p]ἀπεφθέγξατο αὐτοῖς, "Ἄνδρες
Ἰουδαῖοι, καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ[5] **ἅπαντες**[6],
[q]τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥή-
15 ματά μου. οὐ γὰρ ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι
16 [r]μεθύουσιν· [s]ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας· ἀλλὰ
τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ,
17 [t]'Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει ὁ Θεός,
[u]ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου [x]ἐπὶ πᾶσαν σάρκα, καὶ
[y]προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ [z]αἱ θυγατέρες ὑμῶν·
καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ [a]οἱ πρεσ-
18 βύτεροι ὑμῶν **ἐνύπνια**[7] ἐνυπνιασθήσονται. καί γε
ἐπὶ [b]τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν
ταῖς ἡμέραις ἐκείναις [u]ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου,
19 καὶ [yc]προφητεύσουσι. καὶ δώσω [d]τέρατα ἐν τῷ οὐρανῷ
ἄνω, καὶ [d]σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ καὶ
20 ἀτμίδα καπνοῦ. [e]ὁ ἥλιος μεταστραφήσεται εἰς σκό-
τος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἢ[8] ἐλθεῖν **τὴν**[9]
21 ἡμέραν Κυρίου τὴν μεγάλην **καὶ ἐπιφανῆ**[10]. καὶ ἔσται,
[f]πᾶς ὃς **ἂν**[11] ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσε-
22 ται.' Ἄνδρες **Ἰσραηλῖται**[12], ἀκούσατε τοὺς λόγους
τούτους· [g]Ἰησοῦν τὸν Ναζωραῖον, [h]ἄνδρα **ἀπὸ τοῦ
Θεοῦ ἀποδεδειγμένον**[13] εἰς ὑμᾶς δυνάμεσι καὶ [d]τέρασι
καὶ [d]σημείοις, [g]οἷς ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ

[1] διηποροῦντο TTrWHR. [2] θέλει LTTrWHR. [3] διαχλευάζοντες LTTrWHR. [4] + ὁ LTTrWH. [5] Ἰερουσαλὴμ WH. [6] πάντες LTTrWHR. [7] ἐνυπνίοις LTTrWHR. [8] — ἢ LTTrWH (*non marg.*) R. [9] — τὴν LTTrWHR. [10] — καὶ ἐπιφανῆ T. [11] ἐὰν TrWH. [12] Ἰσραηλεῖται TWH. [13] ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ L *marg.* TTrWHR.

[a] 1 Pet. 1. 1. [b] cap. 18. 2. [c] cap. 6. 9; 16. 6; 19. 10; 20. 4; 21. 27; 24. 18; 27. 2. Rom. 16. 5 (var. lect.). 1 Cor. 16. 19. 2 Cor. 1. 8. 2 Tim. 1. 15. 1 Pet. 1. 1. Rev. 1. 4, 11. [d] cap. 16. 6; 18. 23. [e] cap. 13. 13; 14. 24; 15. 38; 27. 5. [f] cap. 6. 9; 11. 20; 13. 1. Vid. Matt. 27. 32. [g] cap. 6. 5; 13. 43. Vid. Matt. 23. 15. [h] cap. 27. 7, 12, 13, 21. Titus 1. 5, 12. [i] Gal. 1. 17. [k] ver. 7. [l] Vid. Luc. 9. 7. [m] cap. 17. 32. Cf. 1 Cor. 14. 23. [n] cap. 1. 26. [o] Vid. Luc. 11. 27. [p] cap. 26. 25. [q] cap. 13. 38. [r] Vid. Joan. 2. 10. [s] Cf. 1 Thess. 5. 7. [t] Joel 2. 28—32. Cf. Joan. 7. 39. [u] Esa. 32. 15; 44. 3. Cf. ver. 18, 33. cap. 10. 45. Rom. 5. 5. Tit. 3. 6. [x] Luc. 3. 6. [y] Vid. cap. 13. 1. [z] cap. 21. 9.

[a] cap. 9. 10. [b] Jac. 1. 1, &c. [c] cap. 11. 28. Cf. 1 Cor. 12. 10. [d] ver. 22, 43. Vid. Joan. 4. 48. [e] Vid. Matt. 24. 29. [f] Rom. 10. 13. [g] Luc. 24. 19. cap. 10. 38. [h] Cf. cap. 3. 2.

ὑμῶν, καθὼς **καὶ**[1] αὐτοὶ οἴδατε, τοῦτον τῇ [a]ὡρισμένῃ 23
βουλῇ καὶ [b]προγνώσει τοῦ Θεοῦ ἔκδοτον [c]**λαβόντες**[2],
διὰ **χειρῶν**[3] [d]ἀνόμων προσπήξαντες **ἀνείλετε**[4]· [e]ὃν ὁ 24
Θεὸς ἀνέστησε, λύσας τὰς [f]ὠδῖνας τοῦ **θανάτου**[5],
καθότι [g]οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ.
Δαβὶδ[6] γὰρ λέγει εἰς αὐτόν, [h]'**Προωρώμην**[7] τὸν Κύ- 25
ριον[8] ἐνώπιόν μου διὰ παντός[9]· ὅτι ἐκ δεξιῶν μου
ἐστίν, ἵνα μὴ σαλευθῶ· διὰ τοῦτο **εὐφράνθη**[10] **ἡ καρ-** 26
δία μου[11], καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου· ἔτι δὲ
καὶ ἡ σάρξ μου κατασκηνώσει **ἐπ'**[12] ἐλπίδι· ὅτι οὐκ 27
[13]**ἐγκαταλείψεις** τὴν ψυχήν μου εἰς [i]**ᾅδου**[14], [k]οὐδὲ δώσεις
τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. ἐγνώρισάς μοι ὁδοὺς 28
ζωῆς· πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώ-
που σου.' Ἄνδρες ἀδελφοί, ἐξὸν [l]εἰπεῖν μετὰ παρ- 29
ρησίας πρὸς ὑμᾶς περὶ τοῦ [m]πατριάρχου **Δαβὶδ**[6], ὅτι
καὶ [n]ἐτελεύτησε καὶ [o]ἐτάφη, καὶ [p]τὸ μνῆμα αὐτοῦ ἔστιν
ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης. προφήτης οὖν 30
ὑπάρχων, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεός,
ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ **τὸ κατὰ σάρκα ἀναστή-**
σειν τὸν Χριστόν[15], [q]καθίσαι ἐπὶ **τοῦ θρόνου**[16] αὐτοῦ,
προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, 31
ὅτι [r]**οὐ κατελείφθη**[17] **ἡ ψυχὴ αὐτοῦ**[18] εἰς **ᾅδου**[19], **οὐδὲ**[20]
ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. [e]τοῦτον τὸν Ἰησοῦν 32
ἀνέστησεν ὁ Θεός, [s]οὗ πάντες ἡμεῖς ἐσμὲν μάρτυρες.
[t]τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθείς, [u]τήν τε ἐπαγγελίαν 33
[x]τοῦ **Ἁγίου Πνεύματος**[21] λαβὼν παρὰ τοῦ πατρός,
[y]ἐξέχεε τοῦτο ὃ **νῦν**[22] ὑμεῖς[23] βλέπετε καὶ ἀκούετε. [z]οὐ 34
γὰρ **Δαβὶδ**[6] ἀνέβη εἰς τοὺς οὐρανούς, λέγει δὲ αὐτός,
[a]'Εἶπεν **ὁ**[24] Κύριος τῷ κυρίῳ μου, Κάθου ἐκ δεξιῶν
μου· ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν 35
ποδῶν σου.' Ἀσφαλῶς οὖν γινωσκέτω [b]πᾶς[25] οἶκος 36

[a] Vid. Luc. 22. 22. [b] 2 Pet. 1. 2. [c] Vid. Matt. 20. 19. [d] 1 Tim. 1. 9 seu 1 Cor. 9. 21. Cf. Rom. 2. 12. [e] ver. 32. cap. 3. 15, 26; 4. 10; 5. 30; 10. 40; 13. 30, 32, 34; 17. 31. Rom. 4. 24; 6. 4; 8. 11; 10. 9. 1 Cor. 6. 14; 15. 15. 2 Cor. 4. 14. Gal. 1. 1. Eph. 1. 20. (Cf. Eph. 2. 5.) Col. 2. 12. 1 Thess. 1. 10. Heb. 13. 20. 1 Pet. 1. 21. [f] Matt. 24. 8. [g] Cf. Joan. 20. 9. [h] Ps. 16. 8—11. [i] Cf. Luc. 16. 23. [k] cap. 13. 35. [l] cap. 26. 26. [m] cap. 7. 8, 9. Heb. 7. 4. [n] cap. 13. 36. [o] 1 Reg. 2. 10. [p] Neh. 3. 16. [q] Vid. Luc. 1. 32. [r] ver. 27. [s] Vid. Luc. 24. 48. [t] cap. 5. 31. Vid. Marc. 16. 19. [u] cap. 1. 4. Gal. 3. 14. [x] Vid. Joan. 14. 26. [y] ver. 17. [z] Cf. Joan. 3. 13. [a] Ps. 110. 1. Vid. Matt. 22. 44. [b] Ezek. 36. 22, 37.

[1] —καὶ LTTrWHR. [2] —λαβόντες LTTrWHR. [3] χειρὸς LTTrWHR. [4] ἀνείλατε LTTrWH. [5] ᾅδου Tr *marg.* [6] Δαυείδ LTTrWH. [7] Προορώμην LTTrWH. [8] (-όν) + μου T. [9] διαπαντός T. [10] ηὐφράνθη LTTrWH. [11] μου ἡ καρδία TTrWH. [12] ἐφ' LTTr (ἐλπίδι T). [13] ἐν- TWH. [14] ᾅδην LTTrWH. [15] —τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστόν LTTrWHR. [16] τὸν θρόνον LTTrWHR. [17] οὔτε ἐγ(ἐν- TWH)κατελείφθη LTTrWHR. [18] —ἡ ψυχὴ αὐτοῦ LTTrWHR. [19] ᾅδην TWH. [20] οὔτε LTTrWHR. [21] πνεύματος τοῦ ἁγίου LTTrWH. [22] —νῦν LTTrWHR. [23] + καὶ T[Tr *marg.* WH]. [24] —ὁ TTrWH. [25] + ὁ L.

Ἰσραήλ, ὅτι [a]καὶ[1] Κύριον καὶ [a b]Χριστὸν αὐτὸν[2] ὁ Θεὸς
ἐποίησε[3], τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώ-
σατε.”
37 Ἀκούσαντες δὲ [c]κατενύγησαν τῇ καρδίᾳ[4], εἶπόν[5] τε
πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους, [d]“Τί
38 ποιήσομεν[6], ἄνδρες ἀδελφοί;” Πέτρος δὲ ἔφη[7] πρὸς
αὐτούς, [e]“Μετανοήσατε,[8] καὶ [e f]βαπτισθήτω ἕκαστος
ὑμῶν [g]ἐπὶ[9] τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ [e]εἰς ἄφεσιν[10]
ἁμαρτιῶν[11]· καὶ λήψεσθε[12] [h]τὴν δωρεὰν τοῦ [c]Ἁγίου
39 Πνεύματος. [i]ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία καὶ [k]τοῖς
τέκνοις ὑμῶν, καὶ πᾶσι [l]τοῖς εἰς μακράν, ὅσους[13] ἂν
40 [m]προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν.” Ἑτέροις τε
λόγοις πλείοσι [n]διεμαρτύρετο[14] καὶ παρεκάλει[15] λέγων,
“Σώθητε ἀπὸ τῆς γενεᾶς τῆς [o]σκολιᾶς ταύτης.”
41 Οἱ μὲν οὖν ἀσμένως[16] [p]ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ
ἐβαπτίσθησαν· καὶ [d]προσετέθησαν[17] τῇ ἡμέρᾳ ἐκείνῃ
[q]ψυχαὶ ὡσεὶ τρισχίλιαι.
42 Ἦσαν δὲ [r]προσκαρτεροῦντες[18] τῇ διδαχῇ τῶν ἀπο-
στόλων καὶ [s]τῇ κοινωνίᾳ καὶ[19] [t]τῇ κλάσει τοῦ ἄρτου[20]
43 καὶ ταῖς προσευχαῖς. ἐγένετο[21] δὲ πάσῃ [q]ψυχῇ [u]φόβος,
πολλά τε[22] [x]τέρατα καὶ [x]σημεῖα διὰ τῶν ἀποστόλων
44 ἐγίνετο[23, 24]. [25]πάντες δὲ οἱ πιστεύοντες[26] ἦσαν[27] ἐπιτο-
45 αυτό[28], καὶ[29] [y]εἶχον ἅπαντα κοινά, καὶ [z]τὰ κτήματα καὶ
τὰς ὑπάρξεις ἐπίπρασκον, καὶ διεμέριζον αὐτὰ πᾶσι,
46 [z]καθότι ἄν τις χρείαν εἶχε· καθ᾽ ἡμέραν τε [r]προσκαρ-
τεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ, [t]κλῶντές τε κατ᾽
οἶκον ἄρτον, μετελάμβανον τροφῆς ἐν [a b]ἀγαλλιάσει
47 καὶ ἀφελότητι καρδίας, [a]αἰνοῦντες τὸν Θεὸν καὶ
ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν. Ὁ δὲ Κύριος
[d]προσετίθει [e]τοὺς σωζομένους καθ᾽ ἡμέραν τῇ ἐκ-
κλησίᾳ[30].

[a] Vid. Matt. 28. 18. [b] Vid. Luc. 2. 11. [c] Rom. 11. 8. Cf. cap. 5. 33; 7. 54. [d] Vid. Luc. 3. 10. Cf. cap. 16. 30. [e] Vid. Marc. 1. 4. Cf. Luc. 24. 47. cap. 3. 19; 5. 31; 10. 43; 13. 38; 20. 21; 26. 18. [f] Marc. 16. 16. Joan. 3. 5. cap. 18. 24; 22. 16. [g] cap. 10. 48 (var. lect.). [h] cap. 10. 45; 11. 17. [i] Rom. 9. 4. [k] Esa. 44. 3; 54. 13. cap. 3. 25. [l] cap. 22. 21. Eph. 2. 13, 17. [m] Rom. 8. 30. [n] Vid. Luc. 16. 28. [o] Deut. 32. 5. Phil. 2. 15. Cf. 1 Pet. 2. 18. [p] Vid. Luc. 8. 40. [q] ver. 43. cap. 7. 14; 27. 37. Rom. 13. 1. 1 Pet. 3. 20. [r] ver. 46. Vid. cap. 1. 14. [s] 1 Cor. 10. 16. Gal. 2. 9. Phil. 1. 5. [t] Vid. Luc. 24. 35. Cf. ver. 46. [u] cap. 5. 5, 11; 19. 17. Vid. Luc. 1. 65. [x] ver. 19. Vid. Marc. 16. 20. Cf. 1 Cor. 14. 6. [y] cap. 4. 32. [z] cap. 4. 34, 35. Vid. Matt. 19. 21. [a] Vid. Luc. 24. 52, 53. [b] Vid. Joan. 16. 22. [d] ver. 41. cap. 5. 14; 11. 24. [e] Vid. Luc. 13. 23.

[1] —καὶ BE. [2] αὐτὸν καὶ Χριστὸν LTTrWHR. [3] ἐποίησεν ὁ θεός TTr marg. WH. [4] τὴν καρδίαν LTTrWHR. [5] εἶπάν WH. [6] ποιήσωμεν TTrWHR. [7] —ἔφη LTTrWHR. [8] + φησίν, T. [9] ἐν LTrWHR. [10] + τῶν LTTrWHR. [11] + ὑμῶν LTTrWHR. [12] λήμψεσθε LTTrWH. [13] οὓς L. [14] διεμαρτύρατο LTTrWHR. [15] + αὐτοὺς LTTrWHR. [16] —ἀσμένως LTTrWHR. [17] + ἐν LTTrWHR. [18] + [ἐν] L. [19] —καὶ LTTrWHR. [20] ἄρτου, WH marg. [21] ἐγίνετο LTTrWHR. [22] δὲ TTr marg. WH. [23] Tr marg. transfert ἐγίνετο in locum ante διὰ τῶν ἀπ. [24] + ἐν Ἱερουσαλήμ, φόβος τε ἦν μέγας ἐπὶ πάντας T.R. marg. [25] + καὶ T. [26] πιστεύσαντες TWH. [27] —ἦσαν WH (non marg.). [28] ἐπὶ τὸ αὐτὸ BELTTrWH. [29] —καὶ WH (non marg.). [30] —τῇ ἐκκλησίᾳ LTTrWHR (jungentes ἐπὶ τὸ αὐτό cum cap. II).

[a] ver. 3, 4, 11. Vid. Luc. 22. 8.
[b] Vid. Luc. 18. 10.
[c] Ps. 55. 17. cap. 10. 3, 30. Vid. Luc. 24. 53.
[d] Matt. 27. 45.
[e] cap. 14. 8.
[f] Cf. Luc. 16. 20.
[g] ver. 10. Cf. Joan. 9. 8.
[h] cap. 10. 4.
[i] Cf. 2 Cor. 6. 10.
[k] ver. 16. cap. 4. 10, 12. Vid. Joan. 20. 31.
[l] cap. 14. 10. Cf. Esa. 35. 6.
[m] cap. 4. 14, 16, 21.
[n] cap. 4. 13.
[o] Joan. 9. 8.
[p] cap. 5. 12. Joan. 10. 23.
[q] cap. 5. 8; 10. 46. Vid. Matt. 11. 25.
[r] 2 Pet. 1. 3, 6, 7; 3. 11.
[s] cap. 5. 30; 22. 14.
[t] Esa. 55. 5. Vid. Joan. 7. 39 & Joan. 8. 54.
[u] ver. 26. Matt. 12. 18. cap. 4. 27, 30.

ἘΠΙΤΟΑΥΤΟ[1] **δὲ** [a]**Πέτρος**[2] καὶ [a]**Ἰωάννης**[3] [b]ἀνέβαι- 3 Δ'.
νον [c]εἰς τὸ ἱερὸν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς [d]τὴν
ἐννάτην[4]. καί τις ἀνὴρ [e]χωλὸς ἐκ κοιλίας μητρὸς αὐ- 2
τοῦ ὑπάρχων ἐβαστάζετο· [f]ὃν ἐτίθουν καθ' ἡμέραν
πρὸς τὴν θύραν τοῦ ἱεροῦ τὴν λεγομένην Ὡραίαν,
[g]τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων
εἰς τὸ ἱερόν. ὃς ἰδὼν [a]Πέτρον καὶ [a]**Ἰωάννην**[5] μέλλον- 3
τας εἰσιέναι εἰς τὸ ἱερόν, ἠρώτα ἐλεημοσύνην λαβεῖν.
[h]ἀτενίσας δὲ [a]Πέτρος εἰς αὐτὸν σὺν τῷ [a]**Ἰωάννῃ**[6] εἶπε, 4
"Βλέψον εἰς ἡμᾶς." Ὁ δὲ ἐπεῖχεν αὐτοῖς, προσδο- 5
κῶν τι παρ' αὐτῶν λαβεῖν. εἶπε δὲ Πέτρος, [i]"Ἀρ- 6
γύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω,
τοῦτό σοι δίδωμι. [k]ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ
τοῦ Ναζωραίου, **ἔγειραι**[7] **καὶ**[8] περιπάτει." Καὶ πιάσας 7
αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρε[9]· παραχρῆμα δὲ ἐστε-
ρεώθησαν **αὐτοῦ αἱ βάσεις**[10] καὶ τὰ **σφυρά**[11], καὶ [l]ἐξαλ- 8
λόμενος ἔστη καὶ περιεπάτει, καὶ εἰσῆλθε σὺν αὐτοῖς
εἰς τὸ ἱερόν, περιπατῶν καὶ ἁλλόμενος **καὶ**[12] αἰνῶν
τὸν Θεόν. καὶ [m]**εἶδεν αὐτὸν πᾶς ὁ λαὸς**[13] περιπατοῦντα 9
καὶ αἰνοῦντα τὸν Θεόν· [n]ἐπεγίνωσκόν **τε**[14] αὐτὸν ὅτι 10
[o]**οὗτος**[15] ἦν [g]ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ
τῇ Ὡραίᾳ πύλῃ τοῦ ἱεροῦ· καὶ ἐπλήσθησαν θάμ-
βους καὶ ἐκστάσεως ἐπὶ τῷ συμβεβηκότι αὐτῷ.
[m]Κρατοῦντος δὲ **τοῦ ἰαθέντος χωλοῦ**[16] τὸν [a]Πέτρον 11
καὶ[17] [a]**Ἰωάννην**[5] συνέδραμε **πρὸς αὐτοὺς πᾶς ὁ λαὸς**[18]
ἐπὶ [p]τῇ στοᾷ τῇ καλουμένῃ **Σολομῶντος**[19], ἔκθαμβοι.
ἰδὼν δὲ[20] Πέτρος [q]ἀπεκρίνατο πρὸς τὸν λαόν, "Ἄν- 12
δρες **Ἰσραηλῖται**[21], τί θαυμάζετε ἐπὶ τούτῳ, ἢ ἡμῖν
τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ [r]εὐσεβείᾳ πεποιηκόσι
τοῦ περιπατεῖν αὐτόν; ὁ Θεὸς Ἀβραὰμ καὶ[22] Ἰσαὰκ 13
καὶ[22] Ἰακώβ, [s]ὁ Θεὸς τῶν πατέρων ἡμῶν, [t]ἐδόξασε [u]τὸν

[1] Ἐπὶ τὸ αὐτὸ BE. [2] *Incipit cap.* III. Πέτρος δὲ *in* LTTrWHR. [3] Ἰωάνης TrWH. [4] ἐνάτην LTTrWH. [5] Ἰωάνην TrWH. [6] Ἰωάνῃ TrWH. [7] ἔγειρε LTr *text.* [8] — ἔγειραι καὶ T[Tr *marg.*]WHR. [9] + (ν) αὐτόν LTTrWHR. [10] αἱ βάσεις αὐτοῦ LTTrWH. [11] σφυδρά TWH. [12] [καὶ] L. [13] πᾶς ὁ λαὸς αὐτὸν LTTrWH. [14] δὲ LTTrWHR. [15] αὐτὸς LT. [16] αὐτοῦ LTTrWHR. [17] + τὸν LTTrWH. [18] πᾶς ὁ λαὸς πρὸς αὐτοὺς LTTrWH. [19] Σολομῶνος Tr. [20] + ὁ LTTrWH. [21] Ἰσραηλεῖται TWH. [22] + θεὸς L, + ὁ θεὸς T.

παῖδα αὐτοῦ Ἰησοῦν· [a]ὃν ὑμεῖς[1] παρεδώκατε, καὶ
ἠρνήσασθε αὐτὸν[2] κατὰ πρόσωπον Πιλάτου[3], [b]κρίναν-
14 τος ἐκείνου ἀπολύειν. [c]ὑμεῖς δὲ [d]τὸν ἅγιον καὶ [e]δίκαιον
ἠρνήσασθε, καὶ [f]ᾐτήσασθε ἄνδρα φονέα [g]χαρισθῆναι
15 ὑμῖν, τὸν δὲ [h]ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε· [i]ὃν ὁ
Θεὸς ἤγειρεν ἐκ νεκρῶν, [k]οὗ ἡμεῖς μάρτυρές ἐσμεν.
16 καὶ ἐπὶ[4] τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον ὃν
θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε [l]τὸ ὄνομα αὐτοῦ·
καὶ[5] ἡ [m]πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκλη-
17 ρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν. καὶ νῦν, ἀδελ-
φοί, οἶδα ὅτι [n]κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ καὶ [o]οἱ
18 ἄρχοντες ὑμῶν· ὁ δὲ Θεὸς ἃ προκατήγγειλε [p]διὰ
στόματος πάντων τῶν προφητῶν αὐτοῦ παθεῖν τὸν
19 Χριστόν[6], ἐπλήρωσεν οὕτω. [q]μετανοήσατε οὖν καὶ
[r]ἐπιστρέψατε, [s]εἰς[7] τὸ ἐξαλειφθῆναι[8] ὑμῶν τὰς ἁμαρ-
τίας, ὅπως ἂν ἔλθωσι καιροὶ ἀναψύξεως ἀπὸ προσώ-
20 που τοῦ Κυρίου, καὶ ἀποστείλῃ τὸν [t]προκεκηρυγμένον[9]
21 ὑμῖν Ἰησοῦν Χριστόν[10], [u]ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι
ἄχρι χρόνων [x]ἀποκαταστάσεως πάντων, ὧν ἐλάλησεν
ὁ Θεὸς διὰ στόματος πάντων[11] ἁγίων αὐτοῦ προφητῶν
22 [y]ἀπ' αἰῶνος[12]. Μωσῆς[13] μὲν γὰρ πρὸς τοὺς πατέρας[14]
εἶπεν, [z]'Ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ
Θεὸς ὑμῶν[15] ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ
ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς.
23 [a]ἔσται δέ, πᾶσα ψυχή, ἥτις ἂν[16] μὴ ἀκούσῃ τοῦ προ-
24 φήτου ἐκείνου, ἐξολοθρευθήσεται[17] ἐκ τοῦ λαοῦ.' Καὶ
πάντες δὲ [b]οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν κα-
θεξῆς, ὅσοι ἐλάλησαν, καὶ προκατήγγειλαν[18] τὰς ἡμέ-
25 ρας ταύτας. ὑμεῖς ἐστε[19] [c]υἱοὶ τῶν προφητῶν, καὶ
[d]τῆς διαθήκης ἧς διέθετο ὁ Θεὸς[20] πρὸς τοὺς πατέρας
ἡμῶν[21], λέγων πρὸς Ἀβραάμ, [e]'Καὶ[22] τῷ σπέρματί

[1] + μὲν LTTrWHR. [2] —αὐτὸν LT[Tr]WHR. [3] Πειλάτου TWH. [4] —ἐπὶ WH. [5] τὸ ὄνομα αὐτοῦ καὶ L. [6] παθεῖν τὸν Χριστὸν αὐτοῦ LTTrWHR. [7] πρὸς TWH. [8] ἐξαλιφθῆναι WH. [9] προκεχειρισμένον LTTrWHR. [10] Χριστὸν (, R) Ἰησοῦν L (*non marg.*) TTr (*non marg.*) WHR. [11] τῶν LTTrWHR. [12] ἀπ' αἰῶνος αὐτοῦ προφητῶν LTTrWHR. [13] Μωυσῆς LTTrWH. [14] —γὰρ πρὸς τοὺς πατέρας LTTrWHR. [15] ἡμῶν T, *at* —ὑμῶν WHR. [16] ἐὰν T. [17] ἐξολεθρευθήσεται LTTrWH. [18] κατήγγειλαν LTTrWHR. [19] + οἱ LTTrWHR. [20] ὁ θεὸς διέθετο LTr *marg.* WH. [21] ὑμῶν Tr (*non marg.*) WH (*non marg.*) R. [22] + ἐν LTTrWHR.

[a] Vid. Matt. 20. 19. Cf. Joan. 19. 11. ver. 26.
[b] Matt. 27. 23. Cf. Luc. 23. 4, 14, 15.
[c] Joan. 19. 12, 15; cap. 13. 28.
[d] Cf. Marc. 1. 24.
[e] cap. 7. 52; 22. 14. 1 Joan. 2. 1. Jac. 5. 6.
[f] Matt. 27. 20. Marc. 15. 11. Luc. 23. 18, 19, 25. Joan. 18. 40.
[g] cap. 25. 11, 16.
[h] cap. 5. 31. Heb. 2. 10; 12. 2.
[i] Vid. cap. 2. 24.
[k] Vid. Luc. 24. 48.
[l] Vid. ver. 6.
[m] Vid. Matt. 8. 10.
[n] cap. 13. 27. Vid. Luc. 23. 34. Cf. Joan. 15. 21; 16. 3. 1 Cor. 2. 8. 1 Tim. 1. 13.
[o] Vid. Luc. 24. 20.
[p] Vid. Luc. 24. 25. cap. 17. 3; 26. 22, 23.
[q] Vid. cap. 2. 38.
[r] Vid. Matt. 13. 15.
[s] Ps. 51. 1, 9. Esa. 43. 25; 44. 22. Col. 2. 14.
[t] (var. lect.) cap. 22. 14; 26. 16.
[u] Cf. cap. 1. 11.
[x] Matt. 17. 11. Cf. cap. 1. 6. Rom. 8. 21.
[y] Luc. 1. 70.
[z] Deut. 18. 15. cap. 7. 37.
[a] Deut. 18. 19.
[b] 1 Sam. 3. 20. cap. 13. 20. Heb. 11. 32.
[c] Vid. cap. 2. 39.
[d] Rom. 9. 4, 5.
[e] Gen. 22. 18.

σου [a]ἐνευλογηθήσονται[1] πᾶσαι [a]αἱ πατριαὶ τῆς γῆς.'
Ὑμῖν [b]πρῶτον ὁ Θεὸς [c]ἀναστήσας[2] [d]τὸν παῖδα αὐτοῦ 26
Ἰησοῦν[3], ἀπέστειλεν αὐτὸν [e]εὐλογοῦντα ὑμᾶς, [f]ἐν τῷ
ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν [g]πονηριῶν ὑμῶν[4]."
ΛΑΛΟΥΝΤΩΝ δὲ αὐτῶν πρὸς τὸν λαόν, [h]ἐπέστη- 4
σαν αὐτοῖς οἱ ἱερεῖς[5] καὶ [i]ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ
[k]οἱ Σαδδουκαῖοι, [l]διαπονούμενοι διὰ τὸ διδάσκειν αὐ- 2
τοὺς τὸν λαόν, καὶ καταγγέλλειν [m]ἐν τῷ Ἰησοῦ τὴν
ἀνάστασιν τὴν ἐκ νεκρῶν· καὶ ἐπέβαλον αὐτοῖς τὰς 3
χεῖρας, καὶ [n]ἔθεντο εἰς τήρησιν εἰς τὴν αὔριον· ἦν
γὰρ ἑσπέρα ἤδη. πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν 4
λόγον ἐπίστευσαν· καὶ ἐγενήθη ὁ[6] ἀριθμὸς τῶν
ἀνδρῶν ὡσεὶ[7] [o]χιλιάδες πέντε. Ἐγένετο δὲ ἐπὶ τὴν 5
αὔριον συναχθῆναι αὐτῶν [p]τοὺς ἄρχοντας καὶ[8] πρεσ-
βυτέρους καὶ[8] γραμματεῖς εἰς[9] Ἱερουσαλήμ[10], καὶ [q]Ἄν- 6
ναν τὸν ἀρχιερέα καὶ [r]Καϊάφαν καὶ Ἰωάννην καὶ Ἀλέξ-
ανδρον[11], καὶ ὅσοι ἦσαν ἐκ γένους ἀρχιερατικοῦ[12]. καὶ 7
στήσαντες αὐτοὺς ἐν τῷ μέσῳ ἐπυνθάνοντο, [s]"Ἐν
ποίᾳ δυνάμει ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο[13]
ὑμεῖς;" Τότε Πέτρος [t]πλησθεὶς Πνεύματος Ἁγίου 8
εἶπε πρὸς αὐτούς, [p]"Ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύ-
τεροι τοῦ Ἰσραήλ[14], εἰ ἡμεῖς σήμερον [u]ἀνακρινόμεθα 9
[x]ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος [y]σέ-
σωσται[15], γνωστὸν ἔστω πᾶσιν ὑμῖν καὶ παντὶ τῷ 10
λαῷ Ἰσραήλ, ὅτι [z]ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ
Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, [a]ὃν ὁ Θεὸς ἤγειρεν
ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν
ὑγιής. [b]οὗτός ἐστιν ὁ λίθος [c]ὁ ἐξουθενηθεὶς ὑφ' ὑμῶν 11
τῶν οἰκοδομούντων[16], ὁ γενόμενος εἰς κεφαλὴν γωνίας.
καὶ [d]οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία· οὔτε[17] γὰρ 12
[z][e]ὄνομά ἐστιν ἕτερον ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν
ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς."
Θεωροῦντες δὲ τὴν τοῦ [f]Πέτρου [g]παρρησίαν καὶ 13

[a] Vid. Luc. 2. 4. [b] cap. 13. 46; 28. 28. Rom. 1. 16; 2. 9; 15. 8, 9. [c] Vid. cap. 2. 24. [d] Vid. ver. 13. [e] ver. 25. [f] Rom. 11. 26. [g] Marc. 7. 22. [h] Luc. 20. 1. cap. 6. 12. [i] cap. 5. 24, 26. Luc. 22. 4, 52. Cf. 1 Chr. 9. 11. Neh. 11. 11. [k] Matt. 22. 23. [l] cap. 16. 18. [m] cap. 17. 18. Cf. cap. 3. 15. [n] cap. 5. 18. Vid. Luc. 21. 12. [o] Cf. cap. 2. 41. [p] ver. 8, 26. Vid. Luc. 24. 20. [q] Luc. 3. 2. [r] Vid. Matt. 26. 3. [s] Cf. Matt. 21. 23. Marc. 11. 28. [t] cap. 13. 9. Vid. Matt. 10. 20. [u] Vid. Luc. 23. 14. [x] cap. 3. 7, 8. [y] Vid. Marc. 10. 52. [z] Vid. cap. 3. 6. [a] Vid. cap. 2. 24. [b] Ps. 118. 22. Vid. Matt. 21. 42. [c] Vid. Marc. 9. 12. [d] Cf. Gal. 1. 7. 1 Tim. 2. 5. [e] ver. 30. Cf. cap. 3. 6. [f] ver. 19. Vid. Luc. 22. 8. [g] ver. 29, 31. cap. 28. 31. 2 Cor. 3. 12; 7. 4. Eph. 6. 19, 20. Phil. 1. 20. 1 Tim. 3. 13. Cf. cap. 9. 27, 29; 13. 46; 14. 3; 18. 26; 19. 8; 26. 26. 1 Thess. 2. 2.

[1] εὐλογηθήσονται WH. [2] ἀναστήσας ὁ Θεὸς TTr *marg.* WH. [3] —Ἰησοῦν LTTrWHR. [4] αὐτῶν LTr, [ὑμῶν] WH. [5] ἀρχιερεῖς WH (*non marg.*) R *marg.* [6] —ὁ LT[Tr]WHR. [7] —ὡσεὶ T, *at* ὡς [LTr]WH. [8] + τοὺς LTTrWHR. [9] ἐν LTrWHR. [10] Ἰερουσαλήμ WH. [11] Ἄννας (Ἅννας WH) ὁ ἀρχιερεὺς καὶ Καϊάφας (Καιάφας WH) καὶ Ἰωάννης καὶ Ἀλέξανδρος LTTrWHR. [12] (καὶ Ἄννας......ἀρχιερατικοῦ) WH. [13] τοῦτο ἐποιήσατε T. [14] —τοῦ Ἰσραήλ LTTrWHR. [15] σέσωται T. [16] οἰκοδόμων LTTrWH. [17] οὐδὲ LTTrWHR.

Ἰωάννου[1], καὶ καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμ-
ματοί εἰσι καὶ [a] ἰδιῶται, ἐθαύμαζον, [b] ἐπεγίνωσκόν τε
14 αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν· [c] τὸν δὲ[2] ἄνθρωπον
βλέποντες σὺν αὐτοῖς ἑστῶτα τὸν τεθεραπευμένον,
Ε'. 15 οὐδὲν εἶχον ἀντειπεῖν. κελεύσαντες δὲ αὐτοὺς ἔξω
τοῦ [d] συνεδρίου ἀπελθεῖν, [e] συνέβαλον[3] πρὸς ἀλλήλους,
16 λέγοντες, [f] "Τί ποιήσομεν[4] τοῖς ἀνθρώποις τούτοις;
ὅτι μὲν γὰρ [g] γνωστὸν σημεῖον γέγονε δι' αὐτῶν, πᾶσι
τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ[5] φανερόν, καὶ οὐ δυνά-
17 μεθα ἀρνήσασθαι[6]· ἀλλ' ἵνα μὴ ἐπὶ πλεῖον διανε-
μηθῇ εἰς τὸν λαόν, ἀπειλῇ[7] ἀπειλησώμεθα αὐτοῖς
μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ μηδενὶ ἀνθρώ-
18 πων." Καὶ [h] καλέσαντες αὐτούς, παρήγγειλαν αὐτοῖς[8]
τὸ[9] καθόλου μὴ φθέγγεσθαι μηδὲ διδάσκειν ἐπὶ τῷ
19 ὀνόματι τοῦ[10] Ἰησοῦ. [i] ὁ δὲ Πέτρος καὶ Ἰωάννης[11] ἀπο-
κριθέντες πρὸς αὐτοὺς εἶπον[12], [k] "Εἰ δίκαιόν ἐστιν
ἐνώπιον τοῦ Θεοῦ, ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ,
20 κρίνατε. [l] οὐ δυνάμεθα γὰρ ἡμεῖς, [m] ἃ εἴδομεν[13] καὶ
21 ἠκούσαμεν, μὴ λαλεῖν." Οἱ δὲ προσαπειλησάμενοι
ἀπέλυσαν αὐτούς, μηδὲν εὑρίσκοντες τὸ πῶς κολά-
σωνται αὐτούς, [n] διὰ τὸν λαόν, ὅτι πάντες [o] ἐδόξαζον
22 τὸν Θεὸν [g] ἐπὶ τῷ γεγονότι. ἐτῶν γὰρ ἦν πλειόνων
τεσσαράκοντα[14] ὁ ἄνθρωπος ἐφ' ὃν ἐγεγόνει[15] τὸ ση-
μεῖον τοῦτο τῆς ἰάσεως.

23 Ἀπολυθέντες δὲ ἦλθον πρὸς [p] τοὺς ἰδίους, καὶ
ἀπήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ
24 πρεσβύτεροι εἶπον[16]. οἱ δὲ ἀκούσαντες, ὁμοθυμαδὸν
ἦραν φωνὴν πρὸς τὸν Θεόν, καὶ εἶπον[16], [q] "Δέσποτα,
σὺ ὁ Θεὸς[17] [r] ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ
25 τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, [s] ὁ διὰ στό-
ματος[18] Δαβὶδ[19] τοῦ[20] παιδός σου εἰπών, [t] 'Ινατί ἐφρύ-
26 αξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν

[a] 1 Cor. 14. 16, 23, 24. 2 Cor. 11. 6.
[b] cap. 3. 10.
[c] cap. 3. 11.
[d] cap. 5. 21; 6. 12, 15; 22. 30; 23. 1; 24. 20. Vid. Matt. 5. 22.
[e] cap. 17. 18.
[f] Vid. Joan. 11. 47.
[g] ver. 21. cap. 3. 7, 8, 9.
[h] cap. 5. 28.
[i] ver. 13.
[k] cap. 5. 29.
[l] Cf. Amos 3. 8. Joan. 15. 27. 1 Cor. 9. 16.
[m] 1 Joan. 1. 1, 3.
[n] cap. 5. 13, 26.
[o] Vid. Matt. 9. 8.
[p] cap. 24. 23. 1 Tim. 5. 8. Cf. Joan. 1. 11; 13. 1.
[q] Luc. 2. 29.
[r] 2 Chr. 2. 12. Neh. 9. 6. Ps. 102. 25; 124. 8; 134. 3.
[s] Vid. cap. 1. 16.
[t] Ps. 2. 1, 2.

[1] Ἰωάνου TrWH. [2] τε LTTrWHR. [3] συνέβαλλον LTTrWH. [4] ποιήσωμεν TTrWHR. [5] Ἰερουσαλὴμ WH. [6] ἀρνεῖσθαι LTTrWHR. [7] —ἀπειλῇ LTTrWHR. [8] —αὐτοῖς LTTrWHR. [9] —τὸ LTWH. [10] [τοῦ] WH. [11] Ἰωάνης TrWH. [12] εἶπον (εἶπαν TrWH) πρὸς αὐτοὺς LTTrWH. [13] εἴδαμεν LTTrWH. [14] τεσσεράκοντα TTrWH. [15] γεγόνει LTTrWH. [16] εἶπαν LTTrWH. [17] —ὁ Θεὸς LTTrWHR. [18] ὁ τοῦ πατρὸς ἡμῶν διὰ πνεύματος ἁγίου στόματος LTTrWHR, Πν. Ἁγ. R *etiam* (R *marg. dubitat de loco*). [19] Δαυεὶδ LTTrWH. [20] —τοῦ LTTrWHR.

οἱ βασιλεῖς τῆς γῆς, καὶ [a] οἱ ἄρχοντες συνήχθησαν
ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ [b] Χριστοῦ
αὐτοῦ.' Συνήχθησαν γὰρ ἐπ' ἀληθείας[1] ἐπὶ τὸν 27
ἅγιον [c] παῖδά σου Ἰησοῦν, ὃν ἔχρισας, [d] Ἡρώδης[2] τε
καὶ [d] Πόντιος Πιλάτος[3], σὺν [e] ἔθνεσι καὶ [f] λαοῖς Ἰσραήλ,
ποιῆσαι ὅσα ἡ χείρ σου καὶ [g] ἡ βουλή σου[4] [h] προώρισε 28
γενέσθαι. καὶ τὰ νῦν, Κύριε, [i] ἔπιδε[5] ἐπὶ τὰς ἀπειλὰς 29
αὐτῶν, καὶ δὸς τοῖς δούλοις σου μετὰ [k] παρρησίας
πάσης λαλεῖν τὸν λόγον σου, [l] ἐν τῷ τὴν χεῖρά σου[6] 30
ἐκτείνειν σε εἰς ἴασιν, καὶ [m] σημεῖα καὶ [m] τέρατα γίνε-
σθαι [n] διὰ τοῦ ὀνόματος τοῦ ἁγίου παιδός σου Ἰησοῦ."
Καὶ δεηθέντων αὐτῶν [o] ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν 31
συνηγμένοι, καὶ [p] ἐπλήσθησαν ἅπαντες Πνεύματος
Ἁγίου[7], καὶ [q] ἐλάλουν τὸν λόγον τοῦ Θεοῦ μετὰ
[k] παρρησίας.

ΤΟΥ δὲ πλήθους τῶν πιστευσάντων ἦν [r] ἡ[8] καρδία 32
καὶ [s] ἡ[8] ψυχὴ μία· καὶ οὐδὲ[9] εἷς τι τῶν ὑπαρχόντων
αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' [t] ἦν αὐτοῖς ἅπαντα[10]
κοινά. καὶ μεγάλῃ [u] δυνάμει[11] [u] ἀπεδίδουν [x] τὸ μαρτύριον 33
οἱ ἀπόστολοι τῆς ἀναστάσεως τοῦ Κυρίου Ἰησοῦ[12,13],
χάρις τε μεγάλη ἦν ἐπὶ πάντας αὐτούς. [y] οὐδὲ γὰρ 34
ἐνδεής τις ὑπῆρχεν[14] ἐν αὐτοῖς· [z] ὅσοι γὰρ κτήτορες
χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς
τιμὰς τῶν πιπρασκομένων, καὶ [a] ἐτίθουν παρὰ τοὺς 35
πόδας τῶν ἀποστόλων· [b] διεδίδοτο[15] δὲ ἑκάστῳ [y] καθότι
ἄν τις χρείαν εἶχεν.

Ἰωσῆς[16] δὲ ὁ ἐπικληθεὶς [c] Βαρνάβας ὑπὸ[17] τῶν 36
ἀποστόλων, ὅ ἐστι μεθερμηνευόμενον, υἱὸς [d] παρα-
κλήσεως, Λευΐτης[18], [e] Κύπριος τῷ γένει, ὑπάρχοντος 37
αὐτῷ ἀγροῦ, [y] πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ [a] ἔθηκε
παρὰ[19] τοὺς πόδας τῶν ἀποστόλων. Ἀνὴρ δέ τις 5

[1] + ἐν τῇ πόλει ταύτῃ LTTrWHR. [2] Ἡρῴδης WH. [3] Πειλᾶτος TWH. [4] —σου L[Tr]WH. [5] ἔφιδε L. [6] —σου LTrWH. [7] τοῦ ἁγίου πνεύματος LTTrWHR (Ἁγ. Πν. R). [8] —ἡ LTTrWHR. [9] οὐδ' BE. [10] πάντα ⊥Tr marg. WH. [11] δυνάμει μεγάλῃ LTTrWH. [12] τοῦ κυριου Ἰησοῦ [χριστοῦ] τῆς ἀναστάσεως L, τῆς ἀναστ. Ἰησοῦ Χριστοῦ τοῦ κυρίου T, τοῦ κυρίου Ἰησοῦ τῆς ἀναστάσεως WH. [13] + Χριστοῦ R marg. [14] ἦν LTTrWHR. [15] διεδίδετο LTTrWH. [16] Ἰωσὴφ LTTrWHR. [17] ἀπὸ LTTrWHR. [18] Λευείτης TWH. [19] πρὸς T.

[a] ver. 5. [b] Cf. Dan. 9. 24, 25. Luc. 4. 18. cap. 10. 38. Heb. 1. 9. [c] ver. 30. Vid. cap. 3. 13. [d] Luc. 23. 12. [e] Vid. Matt. 20. 19. [f] ver. 10. Matt. 26. 3. [g] cap. 2. 23. [h] Rom. 8. 29. Vid. Luc. 22. 22. [i] Cf. 2 Reg. 19. 16. [k] Vid. ver. 13. [l] cap. 5. 12. Vid. Marc. 16. 20. [m] Vid. Joan. 4. 48. [n] Cf. cap. 3. 6. [o] cap. 16. 26. Cf. cap. 2. 2. [p] Vid. cap. 2. 4. [q] Phil. 1. 14. [r] 2 Chr. 30. 12. [s] Phil. 1. 27. [t] cap. 2. 44. [u] cap. 1. 8. [x] Vid. Luc. 24. 48. [y] Cf. 2 Cor. 8. 14, 15. [z] Vid. cap. 2. 45. [a] ver. 37. cap. 5. 2. [b] Cf. cap. 6. 1. [c] cap. 9. 27; 11. 22, 25, 30; 12. 25; 13—15; 1 Cor. 9. 6. Gal. 2. 1, 9, 13. Col. 4. 10. [d] Luc. 2. 25. cap. 9. 31; 13. 15; 15. 31. 1 Cor. 14. 3. 2 Cor. 1. 3—7. 1 Thess. 2. 3. Cf. cap. 2. 40; 11. 23; 20. 12. [e] cap. 11. 19, 20; 13. 4; 15. 39; 21. 3, 16; 27. 4.

Ἀνανίας[1] ὀνόματι[2], σὺν Σαπφείρῃ[3] τῇ γυναικὶ αὐτοῦ,
2 ἐπώλησε κτῆμα, καὶ [a]ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς,
συνειδυίας[4] καὶ τῆς γυναικὸς αὐτοῦ[5], καὶ ἐνέγκας
[b]μέρος τι [b]παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἔθηκεν.
3 εἶπε δὲ[6] Πέτρος, "Ἀνανία[7], διατί[8] ἐπλήρωσεν [c]ὁ Σα-
τανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε [d]τὸ Πνεῦμα
τὸ Ἅγιον, καὶ [a]νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ
4 χωρίου; οὐχὶ μένον σοὶ ἔμενε, καὶ πραθὲν ἐν τῇ σῇ
ἐξουσίᾳ ὑπῆρχε; τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ
πρᾶγμα τοῦτο; [d]οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ
5 Θεῷ." Ἀκούων δὲ[9] Ἀνανίας[1] τοὺς λόγους τούτους,
[e]πεσὼν ἐξέψυξε· καὶ ἐγένετο [f]φόβος μέγας ἐπὶ πάντας
6 τοὺς ἀκούοντας ταῦτα[10]. ἀναστάντες δὲ οἱ νεώτεροι
7 [g]συνέστειλαν αὐτόν, καὶ ἐξενέγκαντες ἔθαψαν. Ἐγέ-
νετο δὲ ὡς ὡρῶν τριῶν διάστημα, καὶ ἡ γυνὴ αὐτοῦ
8 μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθεν. [h]ἀπεκρίθη δὲ αὐτῇ[11]
ὁ[12] Πέτρος, "Εἰπέ μοι, εἰ [i]τοσούτου τὸ χωρίον ἀπέ-
9 δοσθε;" Ἡ δὲ εἶπε, "Ναί, [i]τοσούτου." Ὁ δὲ
Πέτρος εἶπε[13] πρὸς αὐτήν, "Τί ὅτι συνεφωνήθη ὑμῖν
[k]πειράσαι [d]τὸ πνεῦμα Κυρίου; ἰδού, [l]οἱ πόδες τῶν
θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ, καὶ ἐξοί-
10 σουσί σε." [e]Ἔπεσε δὲ παραχρῆμα παρὰ[14] τοὺς πόδας
αὐτοῦ, καὶ ἐξέψυξεν· εἰσελθόντες δὲ οἱ νεανίσκοι
εὗρον[15] αὐτὴν νεκράν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς
11 τὸν ἄνδρα αὐτῆς. καὶ ἐγένετο [f]φόβος μέγας ἐφ'
ὅλην τὴν ἐκκλησίαν, καὶ ἐπὶ πάντας τοὺς ἀκούοντας
ταῦτα.

12 [m]Διὰ δὲ τῶν χειρῶν τῶν ἀποστόλων ἐγένετο[16] [n]ση-
μεῖα καὶ [n]τέρατα ἐν τῷ λαῷ πολλά[17]· καὶ ἦσαν ὁμοθυ-
13 μαδὸν ἅπαντες[18] ἐν [o]τῇ στοᾷ[19] Σολομῶντος[20]· τῶν δὲ
λοιπῶν οὐδεὶς ἐτόλμα [p]κολλᾶσθαι αὐτοῖς, [q]ἀλλ' [r]ἐμε-
14 γάλυνεν αὐτοὺς ὁ λαός· μᾶλλον δὲ [s]προσετίθεντο[21]

[a] ver. 8.
[b] cap. 4. 35, 37.
[c] Cf. Luc. 22. 3. 1 Cor. 5. 5.
[d] Cf. ver. 4, 9.
[e] ver. 10.
[f] ver. 11. Vid. cap. 2. 43.
[g] Ezek. 29. 5. cap. 8. 2. Cf. Joan. 19. 40.
[h] Vid. cap. 3. 12.
[i] Cf. ver. 2.
[k] cap. 15. 10.
[l] Esa. 52. 7. Nah. 1. 15.
[m] Vid. Marc. 16. 20.
[n] Vid. cap. 4. 30.
[o] cap. 3. 11. Joan. 10. 23.
[p] cap. 10. 28.
[q] ver. 26. cap. 4. 21.
[r] 2 Cor. 10. 15.
[s] Vid. cap. 2. 47.

1 Ἁνανίας WH. 2 ὀνόματι Ἀνανίας LTr *marg.* 3 Σαπφείρᾳ LTr. 4 συνειδυίης LTTrWH. 5 —αὐτοῦ LTTrWHR. 6 + ὁ LTTrWH. 7 Ἁνανία WH. 8 διὰ τί WH. 9 + ὁ LTTrWH. 10 —ταῦτα LTTrWHR. 11 πρὸς αὐτὴν LTTrWHR. 12 —ὁ LTTrWH. 13 —εἶπε LTTrWHR. 14 πρὸς LTTrWHR. 15 εὗραν Tr. 16 ἐγίνετο BELTTrWH.R?. 17 πολλὰ ἐν τῷ λαῷ LTTrWH. 18 πάντες LTrWH. 19 Στοᾷ WH. 20 Σολομῶνος Tr. 21 προσετίθεντο, R *marg.*

πιστεύοντες τῷ Κυρίῳ, πλήθη ἀνδρῶν τε καὶ γυναι-
κῶν· ὥστε κατὰ[1] τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθε- 15
νεῖς, καὶ τιθέναι ἐπὶ κλινῶν[2] καὶ κραββάτων[3], ἵνα
ἐρχομένου Πέτρου [a]κἂν ἡ σκιὰ ἐπισκιάσῃ[4] τινὶ αὐτῶν.
συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς[5] 16
Ἱερουσαλήμ[6], [b]φέροντες ἀσθενεῖς καὶ [c]ὀχλουμένους
ὑπὸ πνευμάτων ἀκαθάρτων, οἵτινες ἐθεραπεύοντο
ἅπαντες.
Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ, 17 ϛʹ.
ἡ οὖσα [d]αἵρεσις [e]τῶν Σαδδουκαίων, [f]ἐπλήσθησαν
[g]ζήλου, καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν[7] ἐπὶ τοὺς 18
ἀποστόλους, καὶ [h]ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ.
[i]ἄγγελος δὲ Κυρίου διὰ τῆς[8] νυκτὸς [k]ἤνοιξε[9] τὰς θύρας 19
τῆς φυλακῆς, ἐξαγαγών τε αὐτοὺς εἶπε, "Πορεύεσθε, 20
καὶ σταθέντες λαλεῖτε [l]ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα [m]τὰ
ῥήματα τῆς ζωῆς ταύτης." Ἀκούσαντες δὲ εἰσῆλθον 21
[u]ὑπὸ τὸν ὄρθρον [l]εἰς τὸ ἱερόν, καὶ ἐδίδασκον. [n]παρα-
γενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ, συνεκά-
λεσαν [o]τὸ συνέδριον καὶ πᾶσαν τὴν γερουσίαν τῶν
υἱῶν Ἰσραήλ, καὶ ἀπέστειλαν εἰς τὸ δεσμωτήριον,
ἀχθῆναι αὐτούς. οἱ δὲ [p]ὑπηρέται παραγενόμενοι[10] οὐχ 22
εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ· ἀναστρέψαντες δὲ ἀπήγ-
γειλαν, λέγοντες, "Ὅτι τὸ μὲν[11] δεσμωτήριον εὕρο- 23
μεν κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ, καὶ τοὺς φύ-
λακας ἔξω[12] ἑστῶτας πρὸ[13] τῶν θυρῶν· ἀνοίξαντες
δέ, ἔσω οὐδένα εὕρομεν." Ὡς δὲ ἤκουσαν τοὺς λό- 24
γους τούτους ὅ τε ἱερεὺς καὶ [q]ὁ[14] στρατηγὸς τοῦ ἱεροῦ
καὶ οἱ ἀρχιερεῖς, [r]διηπόρουν περὶ αὐτῶν, τί ἂν γένοιτο
τοῦτο. παραγενόμενος δέ τις ἀπήγγειλεν αὐτοῖς 25
λέγων[15], "Ὅτι ἰδοὺ οἱ ἄνδρες οὓς ἔθεσθε ἐν τῇ φυ-
λακῇ, εἰσὶν [l]ἐν τῷ ἱερῷ ἑστῶτες καὶ διδάσκοντες τὸν
λαόν." Τότε ἀπελθὼν [q]ὁ στρατηγὸς σὺν τοῖς [p]ὑπηρέ- 26
ταις, ἤγαγεν[16] αὐτούς, οὐ μετὰ βίας, [s]ἐφοβοῦντο γὰρ

[a] Vid. Matt. 14. 36. Cf. 2 Reg. 4. 29. cap. 19. 12.
[b] Vid. Marc. 16. 17.
[c] Cf. Luc. 6. 18.
[d] cap. 15. 5; 24. 5, 14; 26. 5; 28. 22.
[e] Matt. 22. 23.
[f] cap. 13. 45.
[g] Rom. 13. 13. Jac. 3. 14, 16. Cf. cap. 7. 9; 17. 5.
[h] cap. 4. 3. Vid. Luc. 21. 12.
[i] cap. 12. 7.
[k] cap. 12. 10; 16. 26.
[l] ver. 21, 25, 42. cap. 2. 26. Vid. Luc. 24. 53.
[u] Joan. 8. 2.
[m] Joan. 6. 63, 68. Cf. Phil. 2. 16.
[n] cap. 4. 5, 6.
[o] ver. 27, 34, 41. Vid. cap. 4. 15.
[p] ver. 26. Vid. Matt. 26. 58.
[q] ver. 26. cap. 4. 1. Luc. 22. 4, 52.
[r] Vid. Luc. 9. 7.
[s] ver. 13. Cf. Luc. 20. 19.

[1] καὶ εἰς LTTrWHR. [2] κλιναρίων LTTrWHR. [3] κραβάττων LTTrWH. [4] ἐπισκιάσει Tr (*non marg.*) WH. [5] —εἰς LTTr ([εἰς] Tr *marg.*) WHR. [6] Ἰερουσαλήμ WH. [7] —αὐτῶν LTTrWHR. [8] —τῆς LTTrWHR. [9] ἀνοίξας T. [10] παραγενόμενοι ὑπηρέται LTTrWHR. [11] —μὲν LTTrWHR. [12] —ἔξω LTTrWHR. [13] ἐπὶ LTTrWHR. [14] —ἱερεὺς καὶ ὁ LTTrWHR. [15] —λέγων LTTrWHR. [16] ἦγεν TTr *marg.* WH.

27 τὸν λαόν, ἵνα[1] μὴ λιθασθῶσιν. ἀγαγόντες δὲ αὐτοὺς
ἔστησαν ἐν τῷ [a] συνεδρίῳ· καὶ ἐπηρώτησεν αὐτοὺς ὁ
28 ἀρχιερεύς, λέγων, [b] "Οὐ[2] παραγγελίᾳ παρηγγείλαμεν
ὑμῖν μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ;[3] καὶ ἰδοὺ
πεπληρώκατε τὴν Ἱερουσαλὴμ[4] τῆς διδαχῆς ὑμῶν,
καὶ [c] βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀν-
29 θρώπου τούτου." Ἀποκριθεὶς δὲ ὁ[5] Πέτρος καὶ οἱ
ἀπόστολοι εἶπον[6], [d] "Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ
30 ἀνθρώποις. [e] ὁ Θεὸς τῶν πατέρων ἡμῶν [f] ἤγειρεν Ἰη-
σοῦν, [g] ὃν ὑμεῖς διεχειρίσασθε κρεμάσαντες ἐπὶ ξύλου·
31 [h] τοῦτον ὁ Θεὸς [i] ἀρχηγὸν καὶ [k] σωτῆρα ὕψωσε τῇ δεξιᾷ
αὐτοῦ,[7] [l] δοῦναι μετάνοιαν τῷ Ἰσραὴλ καὶ ἄφεσιν
32 ἁμαρτιῶν. καὶ [m] ἡμεῖς ἐσμεν αὐτοῦ μάρτυρες[8] τῶν ῥη-
μάτων τούτων,[9] καὶ τὸ Πνεῦμα δὲ[10] τὸ Ἅγιον, ὃ[11]
ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ."
33 Οἱ δὲ ἀκούσαντες [n] διεπρίοντο, καὶ ἐβουλεύοντο[12]
34 ἀνελεῖν αὐτούς. ἀναστὰς δέ τις ἐν τῷ [o] συνεδρίῳ Φα-
ρισαῖος, ὀνόματι [o] Γαμαλιήλ, [p] νομοδιδάσκαλος τίμιος
παντὶ τῷ λαῷ, ἐκέλευσεν ἔξω βραχύ τι τοὺς ἀποστό-
35 λους[13] ποιῆσαι, εἶπέ τε πρὸς αὐτούς, "Ἄνδρες Ἰσ-
ραηλῖται[14], [q] προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις
36 τούτοις τί μέλλετε πράσσειν. πρὸ γὰρ τούτων τῶν
ἡμερῶν [r] ἀνέστη Θευδᾶς, λέγων [s] εἶναί τινα ἑαυτόν, ᾧ
προσεκολλήθη ἀριθμὸς ἀνδρῶν ὡσεὶ[15] τετρακοσίων· ὃς
ἀνῃρέθη, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ, διελύ-
37 θησαν καὶ ἐγένοντο εἰς οὐδέν. [r] μετὰ τοῦτον ἀνέστη
Ἰούδας ὁ Γαλιλαῖος, ἐν ταῖς ἡμέραις [t] τῆς ἀπογραφῆς,
καὶ ἀπέστησε λαὸν ἱκανὸν[16] ὀπίσω αὐτοῦ· κἀκεῖνος
ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορ-
38 πίσθησαν. καὶ τὰ[17] νῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ
τῶν ἀνθρώπων τούτων, καὶ ἐάσατε[18] αὐτούς· [u] ὅτι ἐὰν
ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ αὕτη ἢ τὸ ἔργον τοῦτο,
39 καταλυθήσεται· [x] εἰ δὲ ἐκ Θεοῦ ἐστιν, οὐ δύνασθε[19]

[a] ver. 21, 34, 41.
[b] cap. 4. 18.
[c] Cf. Matt. 27. 25. cap. 2. 23, 36; 3. 14; 7. 52.
[d] cap. 4. 19.
[e] cap. 3. 13; 22. 14.
[f] Vid. cap. 2. 24.
[g] cap. 10. 39. Gal. 3. 13.
[h] cap. 2. 33.
[i] Vid. cap. 3. 15.
[k] Luc. 2. 11.
[l] Luc. 24. 47.
[m] Vid. Luc. 24. 48.
[n] Cf. cap. 2. 37; 7. 54.
[o] cap. 22. 3.
[p] Vid. Luc. 5. 17.
[q] Luc. 12. 1; 17. 3; 21. 34. cap. 20. 28.
[r] Cf. cap. 21. 38.
[s] cap. 8. 9. Cf. Gal. 2. 6; 6. 3.
[t] Luc. 2. 2.
[u] Esa. 7. 7.
[x] Prov. 21. 30. Esa. 8. 9, 10. Nah. 1. 9.

[1] –ἵνα LT (*ita vult*) TrWHR. [2] –Οὐ LTTr ([Οὐ] Tr *marg.*) WHR. [3] , LTTrWH, · R. [4] Ἰερουσαλὴμ WH. [5] –ὁ LTTrWH. [6] εἶπαν LTTrWH. [7] + τοῦ T[WH]R. [8] ἐν αὐτῷ μάρτυρές ἐσμεν L, ἐσμὲν ἐν αὐτῷ μάρτυρες Tr *marg.* WH *marg.* (ἐν αὐτῷ *vel* ἐσμὲν αὐτῷ WH *marg.*) R *marg.*: –αὐτοῦ TTr. WH *text.* R *text.* [9] τούτων· WH *marg.* [10] –δὲ LTTr WHR. [11] –ὃ WH *marg.* R *marg.* [12] ἐβούλοντο LTr (*non marg.*) WHR. [13] τοὺς ἀνθρώπους LTTrWHR. [14] Ἰσραηλεῖται TWH. [15] προσεκλίθη ἀνδρῶν ἀριθμὸς ὡς LTTrWHR. [16] –ἱκανὸν LTTrWHR. [17] [τὰ] WH. [18] ἄφετε LTTrWHR. [19] δυνήσεσθε LTTrWHR.

καταλῦσαι αὐτό[1], μήποτε καὶ [a]θεομάχοι εὑρεθῆτε."
Ἐπείσθησαν δὲ αὐτῷ· καὶ [b]προσκαλεσάμενοι τοὺς 40
ἀποστόλους, [c]δείραντες [b]παρήγγειλαν μὴ λαλεῖν ἐπὶ
τῷ ὀνόματι τοῦ Ἰησοῦ, καὶ ἀπέλυσαν αὐτούς[2]. Οἱ 41
μὲν οὖν ἐπορεύοντο [d]χαίροντες ἀπὸ προσώπου τοῦ
[e]συνεδρίου, ὅτι ὑπὲρ [f]τοῦ ὀνόματος αὐτοῦ [g]κατηξιώθησαν[3]
ἀτιμασθῆναι· [e][h]πᾶσάν τε ἡμέραν [h]ἐν τῷ ἱερῷ καὶ κατ' 42
οἶκον οὐκ ἐπαύοντο διδάσκοντες καὶ [i]εὐαγγελιζόμενοι
Ἰησοῦν τὸν Χριστόν[4].

ἘΝ δὲ ταῖς ἡμέραις ταύταις [k]πληθυνόντων τῶν 6 Ζ'.
μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν [l]Ἑλληνιστῶν πρὸς
τοὺς [m]Ἑβραίους, ὅτι παρεθεωροῦντο [n]ἐν τῇ [o]διακονίᾳ
τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. προσκαλεσάμενοι 2
δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον[5], "Οὐκ
ἀρεστόν ἐστιν ἡμᾶς, καταλείψαντας τὸν λόγον τοῦ
Θεοῦ, διακονεῖν τραπέζαις. [p]ἐπισκέψασθε οὖν[6], ἀδελ- 3
φοί[7], ἄνδρας ἐξ ὑμῶν [q]μαρτυρουμένους ἑπτά, [r]πλήρεις
Πνεύματος Ἁγίου[8] καὶ σοφίας, οὓς καταστήσομεν[9]
ἐπὶ τῆς χρείας ταύτης· ἡμεῖς δὲ τῇ προσευχῇ καὶ 4
τῇ [o]διακονίᾳ τοῦ λόγου [s]προσκαρτερήσομεν." Καὶ 5
ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους· καὶ
ἐξελέξαντο Στέφανον, [t]ἄνδρα [r]πλήρη[10] πίστεως καὶ
Πνεύματος Ἁγίου, καὶ [u]Φίλιππον, καὶ Πρόχορον καὶ
Νικάνορα, καὶ Τίμωνα καὶ Παρμενᾶν, καὶ Νικόλαον
[x]προσήλυτον [y]Ἀντιοχέα, οὓς ἔστησαν ἐνώπιον τῶν 6
ἀποστόλων· καὶ [z]προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς
χεῖρας. καὶ [a]ὁ λόγος τοῦ Θεοῦ ηὔξανε, καὶ [k]ἐπληθύ- 7
νετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἱερουσαλὴμ[11] σφό-
δρα, πολύς τε ὄχλος τῶν ἱερέων [b]ὑπήκουον τῇ πίστει.

ΣΤΕΦΑΝΟΣ δὲ πλήρης πίστεως[12] καὶ δυνάμεως 8
ἐποίει [c]τέρατα καὶ [c]σημεῖα μεγάλα ἐν τῷ λαῷ. ἀνέσ- 9
τησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης[13]
Λιβερτίνων, καὶ [d]Κυρηναίων καὶ [e]Ἀλεξανδρέων, καὶ

[a] 2 Chr. 18. 12. Cf. cap. 11. 17.
[b] cap. 4. 18.
[c] Cf. Luc. 23. 16.
[d] 1 Pet. 4. 13—16. Vid. Matt. 5. 12.
[e] Vid. ver. 21.
[f] (var. lect.) Lev. 24. 11. Phil. 2. 9. 3 Joan. 7.
[g] Vid. Luc. 20. 35.
[h] Vid. ver. 20.
[i] cap. 8. 35; 11. 20; 17. 18.
[k] ver. 7. cap. 2. 41, 47; 4. 4; 5. 14.
[l] cap. 9. 29; 11. 20 (var. lect.).
[m] 2 Cor. 11. 22. Phil. 3. 5.
[n] Cf. cap. 4. 35.
[o] ver. 4. cap. 11. 29; 12. 25. Rom. 12. 7; 15. 31. 1 Cor. 12. 5. 2 Cor. 8. 4; 9. 1, 12, 13.
[p] Cf. Deut. 1. 12, 13.
[q] cap. 10. 22; 16. 2; 22. 12. 1 Tim. 5. 10. 3 Joan. 12.
[r] ver. 5. Vid. cap. 2. 4.
[s] Vid. cap. 1. 14.
[t] cap. 11. 24.
[u] cap. 8. 5, &c.; 21. 8.
[x] Vid. cap. 2. 10.
[y] cap. 11. 26; 13. 1, &c.
[z] cap. 1. 24; 13. 3. 1 Tim. 4. 14. 2 Tim. 1. 6.
[a] cap. 12. 24; 19. 20.
[b] Rom. 1. 5.
[c] Vid. Joan. 4. 48.
[d] Vid. cap. 2. 10.
[e] cap. 18. 24; 27. 6; 28. 11.

[1] αὐτούς LTTrWHR. *Ab* ὅτι ἐὰν *ver.* 38 *usque ad* καταλῦσαι αὐτούς· *in parenthesi* WH. [2] —αὐτούς TTrWHR. [3] κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος (—αὐτοῦ) LTTrWHR. [4] τὸν Χριστὸν Ἰησοῦν LTTrWHR. [5] εἶπαν LTTrWH. [6] δή L, [δή] WH *marg.*, δέ TTr *marg.* WH *text.* R *marg.* [7] —ἀδελφοί L. [8] —Ἁγίου LTTrWHR. [9] καταστήσωμεν E. [10] πλήρει B, πλήρης L (πλήρης MSS., WH *marg.*). [11] Ἰερουσαλὴμ WH. [12] χάριτος LTTrWHR. [13] τῶν λεγομένων T.

τῶν ἀπὸ [a]Κιλικίας καὶ [b]Ἀσίας[1], [2]συζητοῦντες τῷ Στε-
10 φάνῳ· καὶ οὐκ ἴσχυον [c]ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ
11 πνεύματι ᾧ ἐλάλει. τότε [d]ὑπέβαλον ἄνδρας λέγοντας,
"Ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσ-
12 φημα εἰς Μωσῆν[3] καὶ τὸν Θεόν." Συνεκίνησάν τε
τὸν λαὸν καὶ τοὺς πρεσβυτέρους καὶ τοὺς γραμ-
ματεῖς, καὶ [e]ἐπιστάντες [f]συνήρπασαν αὐτόν, καὶ ἤγα-
13 γον εἰς τὸ [g]συνέδριον, ἔστησάν τε [h]μάρτυρας ψευδεῖς
λέγοντας, "Ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα
βλάσφημα λαλῶν[4] κατὰ [i][k]τοῦ τόπου τοῦ ἁγίου τού-
14 του[5] καὶ [k]τοῦ νόμου. [l]ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος,
Ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος καταλύσει [l]τὸν τό-
πον τοῦτον, καὶ ἀλλάξει [m]τὰ ἔθη ἃ παρέδωκεν ἡμῖν
15 Μωϋσῆς[6]." Καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες[7] οἱ
καθεζόμενοι ἐν τῷ [g]συνεδρίῳ, εἶδον[8] [n]τὸ πρόσωπον
αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου.

Η΄. 7 Εἶπε δὲ ὁ ἀρχιερεύς, "Εἰ ἄρα[9] ταῦτα οὕτως ἔχει;"
2 Ὁ δὲ ἔφη, [o]"Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε.
[p]ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν[10] Ἀβραὰμ
ὄντι ἐν τῇ [q]Μεσοποταμίᾳ, [r]πρὶν ἢ κατοικῆσαι αὐτὸν
3 ἐν Χαρράν, καὶ εἶπε πρὸς αὐτόν, [r]'Ἔξελθε ἐκ τῆς
γῆς σου καὶ ἐκ[11] τῆς συγγενείας σου, καὶ δεῦρο εἰς[12]
4 γῆν ἣν ἄν σοι δείξω.' [r]Τότε ἐξελθὼν ἐκ γῆς Χαλ-
δαίων, κατῴκησεν ἐν Χαρράν· κἀκεῖθεν [r]μετὰ τὸ
ἀποθανεῖν τὸν πατέρα αὐτοῦ, [s]μετῴκισεν αὐτὸν εἰς
5 τὴν γῆν ταύτην εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε· καὶ οὐκ
ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ, [t]οὐδὲ βῆμα ποδός·
καὶ [u]ἐπηγγείλατο αὐτῷ δοῦναι[13] εἰς κατάσχεσιν αὐτήν,
καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν, [x]οὐκ ὄντος αὐτῷ
6 τέκνου. ἐλάλησε δὲ οὕτως ὁ Θεός, [y]'Ὅτι ἔσται τὸ
σπέρμα αὐτοῦ πάροικον ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώ-
7 σουσιν αὐτὸ καὶ κακώσουσιν, [z]ἔτη τετρακόσια. καὶ
[a]τὸ ἔθνος, ᾧ ἐὰν[14] δουλεύσωσι[15], κρινῶ ἐγώ,' εἶπεν ὁ

[a] cap. 15. 23, 41; 21. 39; 22. 3; 23. 34; 27. 5. Gal. 1. 21.
[b] Vid. cap. 2. 9.
[c] Luc. 21. 15.
[d] Cf. 1 Reg. 21. 10, 13.
[e] Luc. 20. 1. cap. 4. 1.
[f] Luc. 8. 29; cap. 19. 29.
[g] ver. 15. Vid. cap. 4. 15.
[h] cap. 7. 58.
[i] Vid. Matt. 24. 15.
[k] cap. 21. 28; 25. 8.
[l] Matt. 26. 61. Cf. Dan. 9. 26.
[m] cap. 15. 1; 21. 21; 26. 3; 28. 17.
[n] Judic. 13. 6. Eccles. 8. 1.
[o] cap. 22. 1.
[p] Cf. 1 Cor. 2. 8. Jac. 2. 1.
[q] cap. 2. 9.
[r] Gen. 12. 1. Cf. Gen. 11. 31, 32; 12. 2.
[s] Gen. 12. 4, 5.
[t] Deut. 2. 5.
[u] Gen. 12. 7; 13. 15; 15. 18; 17. 8.
[x] Gen. 15. 3; 18. 10.
[y] Gen. 15. 13.
[z] Ex. 12. 40. Gal. 3. 17. Cf. Gen. 15. 16. ver. 17.
[a] Gen. 15. 14.

[1] —καὶ Ἀσίας L [Tr *marg.*]. [2] συν- LTTrWH. [3] Μωυσῆν LTTrWH. [4] λαλῶν ῥήματα TTrWH, *at* —βλάσφημα LWHR. [5] —τούτου LTTr[WH]. [6] Μωυσῆς WH. [7] πάντες LTTrWHR. [8] εἶδαν TrWH. [9] —ἄρα LTTrWHR. [10] ὑμῶν B. [11] —ἐκ Tr[L]WH (*non marg.*). [12] + τὴν LTTrWHR. [13] δοῦναι αὐτῷ LTTrWH. [14] ἂν LTrWH. [15] δουλεύσουσιν TTr (*non marg.*) WHR.

Θεός[1]· ‘καὶ μετὰ ταῦτα ἐξελεύσονται, καὶ [a]λατρεύ-
σουσί μοι ἐν τῷ τόπῳ τούτῳ.’ Καὶ [b]ἔδωκεν αὐτῷ 8
διαθήκην περιτομῆς· καὶ οὕτως [c]ἐγέννησε τὸν Ἰσαάκ,
καὶ [c]περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ· καὶ [d]ὁ[2]
Ἰσαὰκ τὸν Ἰακώβ, καὶ [e]ὁ[2] Ἰακὼβ τοὺς δώδεκα [f]πα-
τριάρχας. καὶ οἱ [f]πατριάρχαι [g]ζηλώσαντες [h]τὸν Ἰωσὴφ 9
ἀπέδοντο εἰς Αἴγυπτον· καὶ [i]ἦν ὁ Θεὸς μετ᾽ αὐτοῦ,
καὶ ἐξείλετο[3] αὐτὸν ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ, καὶ 10
[k]ἔδωκεν αὐτῷ χάριν καὶ σοφίαν ἐναντίον[4] Φαραὼ βα-
σιλέως Αἰγύπτου, καὶ [l]κατέστησεν αὐτὸν ἡγούμενον
ἐπ᾽ Αἴγυπτον καὶ[5] ὅλον τὸν οἶκον αὐτοῦ. [m]ἦλθε δὲ 11
λιμὸς ἐφ᾽ ὅλην τὴν γῆν Αἰγύπτου[6] καὶ Χαναάν, καὶ
θλίψις[7] μεγάλη· καὶ οὐχ εὕρισκον[8] χορτάσματα οἱ
πατέρες ἡμῶν. [n]ἀκούσας δὲ Ἰακὼβ ὄντα σῖτα ἐν Αἰ- 12
γύπτῳ[9], ἐξαπέστειλε τοὺς πατέρας ἡμῶν πρῶτον·
καὶ [o]ἐν τῷ δευτέρῳ [p]ἀνεγνωρίσθη[10] Ἰωσὴφ τοῖς ἀδελ- 13
φοῖς αὐτοῦ, καὶ [q]φανερὸν ἐγένετο τῷ Φαραὼ τὸ γένος
τοῦ[11] Ἰωσήφ[12]. [r]ἀποστείλας δὲ Ἰωσὴφ μετεκαλέσατο 14
τὸν πατέρα αὐτοῦ Ἰακώβ[13], καὶ πᾶσαν τὴν συγγένειαν
αὐτοῦ[14], ἐν [s]ψυχαῖς [t]ἑβδομήκοντα πέντε[15]. [u]κατέβη δὲ[16] 15
Ἰακὼβ εἰς Αἴγυπτον[17], καὶ [x]ἐτελεύτησεν αὐτὸς καὶ [y]οἱ
πατέρες ἡμῶν· καὶ [z]μετετέθησαν εἰς [a]Συχέμ, καὶ ἐτέ- 16
θησαν ἐν τῷ μνήματι ὃ[18] ὠνήσατο [b]Ἀβραὰμ τιμῆς
ἀργυρίου, παρὰ τῶν υἱῶν [b]Ἐμμὸρ[19] τοῦ[20] [a]Συχέμ.
[c]Καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας ἧς ὤμο- 17
σεν[21] ὁ Θεὸς τῷ Ἀβραάμ, [d]ηὔξησεν ὁ λαὸς καὶ ἐπλη-
θύνθη ἐν Αἰγύπτῳ, ἄχρις[22] οὗ [e]ἀνέστη βασιλεὺς 18
ἕτερος[23], ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ. [f]οὗτος κατασο- 19
φισάμενος τὸ γένος ἡμῶν, ἐκάκωσε τοὺς πατέρας
ἡμῶν[24], [g]τοῦ ποιεῖν ἔκθετα τὰ βρέφη[25] αὐτῶν, εἰς τὸ μὴ
[h]ζωογονεῖσθαι. [i]Ἐν ᾧ καιρῷ ἐγεννήθη[26] Μωσῆς[27], καὶ 20

[1] ὁ Θεὸς εἶπεν LTTrWH. [2] —ὁ LTTrWH. [3] ἐξείλατο LTTrWH. [4] ἔναντι T. [5] + ἐφ᾽ TWH *marg.* [6] Αἰγύπτου LTTrWHR. [7] θλῖψις LTr. [8] ηὕρισκον TrWH. [9] σιτία εἰς Αἴγυπτον LTTrWHR. [10] ἐγνωρίσθη Tr (*non marg.*) WH (*non marg.*). [11] —τοῦ LTTrWH. [12] αὐτοῦ TTr *marg.* [13] Ἰακὼβ τὸν πατέρα αὐτοῦ LTTrWHR. [14] —αὐτοῦ LTTrWHR. [15] ἑβδομηκονταπέντε E. [16] , καὶ κατέβη LTTr ([καὶ] Tr *marg.*) WH *marg.* [17] [εἰς Αἴγυπτον] WH. [18] ᾧ LTTrWH. [19] Ἐμμὼρ LTTrR, Ἑμμὼρ WH. [20] ἐν TTrWHR, τοῦ ἐν L. [21] ὡμολόγησεν LTTrWHR. [22] ἄχρι LTTrWH. [23] + ἐπ᾽ Αἴγυπτον LTTrWHR. [24] —ἡμῶν LTTrWH. [25] τὰ βρέφη ἔκθετα LTTrWH. [26] ἐγεννήσθη B. [27] Μωυσῆς LTTrWH.

[a] Ex. 3. 12. [b] Gen. 17. 9—12. [c] Gen. 21. 2—4. [d] Gen. 25. 26. [e] Gen. 29. 31—35; 30. 5—24; 35. 18, 23—26. [f] Vid. cap. 2. 29. [g] Gen. 37. 11. Cf. cap. 5. 17. 1 Cor. 13. 4. Jac. 4. 2. [h] Gen. 37. 28. Ps. 105. 17. [i] Gen. 39. 2, 21, 23. [k] Gen. 41. 37—40. [l] Gen. 42. 6. Ps. 105. 21. [m] Gen. 41. 54. Ps. 105. 16. [n] Gen. 42. 1—3. [o] Gen. 43. 2—15. [p] Gen. 45. 4. [q] Gen. 45. 16. [r] Gen. 45. 9, 10, 27. [s] Vid. cap. 2. 41. [t] Cf. Gen. 46. 26, 27. Ex. 1. 5. Deut. 10. 22 cum Gen. 38. 12; 46. 10, 20. [u] Gen. 46. 5, 28. Ps. 105. 23. [x] Gen. 49. 33. [y] Ex. 1. 6. [z] Gen. 50. 25. Ex. 13. 19. Josh. 24. 32. [a] Josh. 17. 7. [b] Cf. Gen. 23. 16 cum Gen. 33. 19. Josh. 24. 32. [c] ver. 7. [d] Ex. 1. 7, 12. Ps. 105. 23, 24. Cf. cap. 13. 17. [e] Ex. 1. 8. [f] Ex. 1. 10. Ps. 105. 25. [g] Ex. 1. 16—18, 22. [h] Luc. 17. 33. [i] Ex. 2. 2. Heb. 11. 23.

ἦν [a]ἀστεῖος τῷ Θεῷ· [b]ὃς ἀνετράφη μῆνας τρεῖς ἐν τῷ
21 οἴκῳ τοῦ πατρὸς αὐτοῦ[1]. ἐκτεθέντα δὲ αὐτόν[2], ἀνεί-
λετο[3] αὐτὸν ἡ θυγάτηρ Φαραώ, καὶ ἀνεθρέψατο
22 αὐτὸν ἑαυτῇ εἰς υἱόν. καὶ ἐπαιδεύθη Μωσῆς[4,5]
[c]πάσῃ σοφίᾳ Αἰγυπτίων· ἦν δὲ [d]δυνατὸς ἐν λόγοις
23 καὶ ἐν[6] ἔργοις[7]. Ὡς δὲ ἐπληροῦτο αὐτῷ [m]τεσσαρα-
κονταετὴς[8] χρόνος, [e]ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ
[f]ἐπισκέψασθαι τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσ-
24 ραήλ. καὶ ἰδών τινα ἀδικούμενον, ἠμύνατο καὶ
ἐποίησεν ἐκδίκησιν τῷ καταπονουμένῳ, πατάξας τὸν
25 Αἰγύπτιον. ἐνόμιζε δὲ συνιέναι τοὺς ἀδελφοὺς αὐ-
τοῦ[9], ὅτι ὁ Θεὸς διὰ χειρὸς αὐτοῦ δίδωσιν αὐτοῖς
26 σωτηρίαν[10]· οἱ δὲ οὐ συνῆκαν. [g]τῇ τε[11] ἐπιούσῃ ἡμέρᾳ
ὤφθη αὐτοῖς μαχομένοις, καὶ συνήλασεν[12] αὐτοὺς εἰς
εἰρήνην, εἰπών, 'Ἄνδρες, ἀδελφοί ἐστε ὑμεῖς[13]· ἱνατί[14]
27 ἀδικεῖτε ἀλλήλους;' Ὁ δὲ ἀδικῶν τὸν πλησίον
ἀπώσατο αὐτόν, εἰπών, [h]'Τίς σε κατέστησεν ἄρχοντα
28 καὶ δικαστὴν ἐφ' ἡμᾶς[15]; μὴ ἀνελεῖν με σὺ θέλεις,
29 ὃν τρόπον ἀνεῖλες χθὲς[16] τὸν Αἰγύπτιον;' [i]Ἔφυγε δὲ
Μωσῆς[4] ἐν τῷ λόγῳ τούτῳ, καὶ ἐγένετο πάροικος ἐν
30 γῇ [k]Μαδιάμ, [l]οὗ ἐγέννησεν υἱοὺς δύο. Καὶ πληρω-
θέντων [m]ἐτῶν τεσσαράκοντα[17], ὤφθη αὐτῷ [n]ἐν τῇ ἐρήμῳ
τοῦ ὄρους Σινᾶ[18] [o]ἄγγελος Κυρίου[19] ἐν φλογὶ πυρὸς
31 βάτου. ὁ δὲ Μωσῆς[4] ἰδὼν ἐθαύμασε[20] τὸ ὅραμα·
προσερχομένου δὲ αὐτοῦ κατανοῆσαι, [p]ἐγένετο φωνὴ
32 Κυρίου πρὸς αὐτόν[21], [q]'Ἐγὼ ὁ Θεὸς τῶν πατέρων σου,
ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς[22] Ἰσαὰκ καὶ ὁ Θεὸς[22]
Ἰακώβ.' [q]Ἔντρομος δὲ γενόμενος Μωσῆς[4] οὐκ ἐτόλμα
33 κατανοῆσαι. εἶπε δὲ αὐτῷ ὁ Κύριος, [r]'Λῦσον τὸ ὑπό-
δημα τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐν[23] ᾧ ἕστηκας,
34 γῆ ἁγία ἐστίν. [s]ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ

[a] (Idioma) 2 Cor. 10. 4. Hebraicè Gen. 10. 9; 23. 6; 30. 8. 1 Sam. 14. 15. 1 Chr. 12. 22. Jonah 3. 3.
[b] Ex. 2. 2.
[c] Cf. 1 Reg. 4. 30. Dan. 1. 4, 17.
[d] Luc. 24. 19. cap. 18. 24.
[e] 1 Cor. 2. 9.
[f] Ex. 2. 11, 12.
[g] Ex. 2. 13, 14.
[h] ver. 35. Cf. Luc. 12. 14.
[i] Ex. 2. 15.
[k] Gen. 37. 28. Judic. 6. 2.
[l] Ex. 2. 22; 18. 3, 4.
[m] ver. 23. Ex. 7. 7.
[n] Cf. Ex. 3. 1.
[o] Ex. 3. 2.
[p] Cf. 1 Reg. 19. 13. cap. 9. 4.
[q] Ex. 3. 6. Vid. Matt. 22. 32.
[r] cap. 3. 5. Cf. Josh. 5. 15.
[s] Ex. 3. 7.

1 —αὐτοῦ LTTrWHR. 2 ἐκτεθέντος δὲ αὐτοῦ LTTrWHR. 3 ἀνείλατο LTTrWH. 4 Μωυσῆς LTTrWH. 5 + ἐν TTr. 6 —ἐν LTTrWHR. 7 + αὐτοῦ LTTrWHR. 8 τεσσερακονταέτης TTr (-ετὴς TrWH) WH. 9 —αὐτοῦ LTTrWHR. 10 σωτηρίαν αὐτοῖς LTTrWHR. 11 δὲ BE. 12 συνήλλασσεν LTTrWHR. 13 —ὑμεῖς LTTrWHR. 14 ἵνα τί WH. 15 ἡμῶν LTTrWHR. 16 ἐχθὲς LTTrWH. 17 τεσσεράκοντα TTrWH. 18 Σινὰ WH. 19 —Κυρίου LTTrWHR. 20 ἐθαύμαζεν T. 21 —πρὸς αὐτόν LTTrWHR. 22 —ὁ Θεὸς LTTrWHR. 23 ἐφ' LTTrWHR.

μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τοῦ στεναγμοῦ αὐτῶν[1]
ἤκουσα· [a]καὶ κατέβην ἐξελέσθαι αὐτούς· [b]καὶ νῦν
δεῦρο, ἀποστελῶ[2] σε εἰς Αἴγυπτον.' Τοῦτον τὸν 35
Μωϋσῆν[3] ὃν ἠρνήσαντο εἰπόντες, [c]'Τίς σε κατέστησεν
ἄρχοντα καὶ δικαστήν;' τοῦτον ὁ Θεὸς[4] ἄρχοντα καὶ
λυτρωτὴν ἀπέστειλεν [d]ἐν[5] χειρὶ ἀγγέλου τοῦ ὀφθέντος
αὐτῷ ἐν τῇ βάτῳ. [e]οὗτος ἐξήγαγεν αὐτούς, ποιήσας 36
[f]τέρατα καὶ [f]σημεῖα [g]ἐν γῇ[6] Αἰγύπτου[7] καὶ [h]ἐν ἐρυθρᾷ
θαλάσσῃ, καὶ [i]ἐν τῇ ἐρήμῳ [k]ἔτη τεσσαράκοντα[8]. Οὗ- 37
τός ἐστιν ὁ Μωϋσῆς[9] ὁ εἰπὼν[10] τοῖς υἱοῖς Ἰσραήλ,
[l]'Προφήτην ὑμῖν ἀναστήσει Κύριος[11] ὁ Θεὸς ὑμῶν[12]
ἐκ τῶν ἀδελφῶν ὑμῶν[13] ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε[14].'
[m]Οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ 38
ἐρήμῳ [n]μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ ἐν τῷ
ὄρει Σινᾶ[15] καὶ τῶν πατέρων ἡμῶν, [o]ὃς ἐδέξατο [p]λόγια
[q]ζῶντα δοῦναι ἡμῖν[16]. ᾧ οὐκ ἠθέλησαν ὑπήκοοι γενέσ- 39
θαι οἱ πατέρες ἡμῶν, ἀλλ'[17] [r]ἀπώσαντο, καὶ ἐστρά-
φησαν[18] ταῖς καρδίαις αὐτῶν εἰς Αἴγυπτον, [s]εἰπόντες 40
τῷ Ἀαρών, 'Ποίησον ἡμῖν θεοὺς οἳ προπορεύσονται
ἡμῶν· ὁ γὰρ Μωσῆς[9] οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ
γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν[19] αὐτῷ.' Καὶ 41
[t]ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγα-
γον θυσίαν τῷ εἰδώλῳ, [u]καὶ εὐφραίνοντο [x]ἐν τοῖς ἔρ-
γοις τῶν χειρῶν αὐτῶν. [y]Ἔστρεψε δὲ ὁ Θεός, καὶ 42
[z]παρέδωκεν αὐτοὺς λατρεύειν [a]τῇ στρατιᾷ τοῦ οὐ-
ρανοῦ· καθὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν,
[b]'Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι [k]ἔτη τεσ-
σαράκοντα[8] ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραήλ; καὶ ἀνελά- 43
βετε τὴν σκηνὴν τοῦ [c]Μολόχ, καὶ τὸ ἄστρον τοῦ
θεοῦ ὑμῶν[20] Ῥεμφάν[21], τοὺς τύπους οὓς ἐποιήσατε
προσκυνεῖν αὐτοῖς· καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βα-
βυλῶνος.' [d]Ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν ἐν[22] τοῖς 44

[1] αὐτοῦ LTTr (non marg.) WH. [2] ἀποστείλω LTTrWHR. [3] Μωυσῆν WH. [4] + καὶ LT[Tr]WHR. [5] ἀπέσταλκεν σὺν LTTrWHR. [6] τῇ LTr (non marg.) WHR. [7] Αἰγύπτῳ LTTrWHR. [8] τεσσεράκοντα TTrWH. [9] Μωυσῆς WH. [10] εἴπας LTTrWH. [11] —Κύριος LTTrWHR. [12] —ὑμῶν LTTr WHR. [13] ὑμῶν, R marg. [14] —αὐτοῦ ἀκούσεσθε LTTrWHR. [15] Σινὰ WH. [16] ὑμῖν WH (non marg.). [17] ἀλλὰ LTTrWH. [18] + ἐν LTTrWHR. [19] ἐγένετο LTTr (non marg.) WHR. [20] —ὑμῶν LTTrWHR. [21] Ῥεφάν LTrR, Ῥομφάν T, Ῥομφά WH. [22] —ἐν LTTrWH.R?.

[a] Ex. 3. 8. [b] Ex. 3. 10. [c] ver. 27. [d] Cf. Ex. 3. 2; 14. 19; 23. 20; 33. 2. Num. 20. 16. [e] Ex. 12. 41; 33. 1. Heb. 8. 9. [f] Vid. Joan. 4. 48. [g] Ex. cap. 7—12. Ps. 78. 43—51; 105. 27—36. [h] Ex. 14. 21, 27—31. Ps. 78. 53; 106. 9. [i] Ex. 16. 1, &c.; 17. 1—6. [k] ver. 42. Ex. 16. 35. Num. 14. 33, 34. cap. 13. 18. Ps. 95. 10. Heb. 3. 9, 17. [l] Deut. 18. 15. cap. 3. 22. [m] Ex. 19. 3, 17, 18. [n] Cf. ver. 53. Esa. 63. 9. [o] Deut. 5. 27, 31; 33. 4. Cf. Joan. 1. 17. [p] Rom. 3. 2. Heb. 5. 12. 1 Pet. 4. 11. [q] Heb. 4. 12. [r] Ex. 16. 3. Num. 11. 4, 5; 14. 4. [s] Ex. 32. 1. [t] Ex. 32. 4—6. Deut. 9. 16. Ps. 106. 19. [u] Amos 6. 13. [x] Esa. 2. 8. Jer. 1. 16; 25. 6, 7. [y] Josh. 24. 20. [z] Ps. 81. 12. Ezek. 20. 39. Rom. 1. 28. [a] Deut. 4. 19. 2 Reg. 17. 16; 21. 3; 23. 5. Jer. 19. 13. Zeph. 1. 5. [b] Amos 5. 25—27. [c] Lev. 18. 21; 20. 2—5. 1 Reg. 11. 7. 2 Reg. 23. 10. Jer. 32. 35. Cf. Zeph. 1. 5. [d] Ex. 38. 21. Num. 9. 15; 17. 7, 8; 18. 2. 2 Chr. 24. 6.

πατράσιν ἡμῶν ἐν[1] τῇ ἐρήμῳ, καθὼς διετάξατο ὁ
λαλῶν τῷ **Μωσῇ**[2], [a]ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον
45 ὃν ἑωράκει· ἣν καὶ [b]εἰσήγαγον διαδεξάμενοι οἱ πατέ-
ρες ἡμῶν μετὰ Ἰησοῦ ἐν τῇ [c]κατασχέσει τῶν ἐθνῶν,
[d]ὧν **ἐξῶσεν**[3] ὁ Θεὸς ἀπὸ προσώπου τῶν πατέρων
46 ἡμῶν, [e]ἕως τῶν ἡμερῶν **Δαβὶδ**[4]· ὃς [f]εὗρε χάριν ἐνώ-
πιον τοῦ Θεοῦ, καὶ [g]ᾐτήσατο εὑρεῖν [h]σκήνωμα τῷ
47 **Θεῷ**[5] Ἰακώβ. [i]**Σολομῶν**[6] δὲ **ᾠκοδόμησεν**[7] αὐτῷ οἶκον.
48 [k]Ἀλλ' οὐχ [l]ὁ ὕψιστος [m]ἐν [n]χειροποιήτοις **ναοῖς**[8] κατοι-
49 κεῖ, καθὼς ὁ προφήτης λέγει, [o]'Ὁ οὐρανός μοι
θρόνος, ἡ **δὲ**[9] γῆ ὑποπόδιον τῶν ποδῶν μου· ποῖον
οἶκον οἰκοδομήσετέ μοι; λέγει Κύριος· ἢ τίς τόπος
50 τῆς καταπαύσεώς μου; οὐχὶ ἡ χείρ μου ἐποίησε
51 ταῦτα πάντα;' [p]Σκληροτράχηλοι, καὶ [q]ἀπερίτμη-
τοι **τῇ καρδίᾳ**[10] καὶ τοῖς ὠσίν, ὑμεῖς ἀεὶ [r]τῷ Πνεύματι
τῷ Ἁγίῳ ἀντιπίπτετε, [s]**ὡς**[11] οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς.
52 [t]τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν; καὶ
ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως
[u]τοῦ δικαίου, [x]οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς **γεγέν-**
53 **ησθε**[12]· οἵτινες ἐλάβετε τὸν νόμον [y]εἰς διαταγὰς ἀγ-
γέλων, καὶ οὐκ ἐφυλάξατε."
54 Ἀκούοντες δὲ ταῦτα, [z]διεπρίοντο ταῖς καρδίαις αὐ-
55 τῶν, καὶ [a]ἔβρυχον τοὺς ὀδόντας ἐπ' αὐτόν. Ὑπάρχων
δὲ [b]πλήρης Πνεύματος Ἁγίου, ἀτενίσας εἰς τὸν οὐρα-
νόν, εἶδε δόξαν Θεοῦ, καὶ [c]Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ
56 Θεοῦ, καὶ εἶπεν, "Ἰδού, θεωρῶ [d]τοὺς οὐρανοὺς **ἀνεῳγμέ-**
νους[13], καὶ [e]τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα
57 τοῦ Θεοῦ." Κράξαντες δὲ φωνῇ μεγάλῃ, συνέσχον τὰ
58 ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν· καὶ
[f]ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν. καὶ [g]οἱ
μάρτυρες [h]ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πό-
59 δας νεανίου καλουμένου [i]Σαύλου, καὶ ἐλιθοβόλουν τὸν

[1] ἐν *transfert* S *in locum post* διαδεξάμενοι. [2] Μωυσῇ LTTr. [3] ἐξῶσεν L, ἐξέωσεν T. [4] Δαυεὶδ LTTrWH. [5] οἴκῳ LTTr *marg*. (WH *Appendix* †). [6] Σαλωμὼν T. [7] οἰκοδόμησεν TrWH. [8] —ναοῖς LTTrWHR. [9] καὶ ἡ WH (*non marg.*). [10] καρδίαις LTTrWHR, *at* καρδίας WH *marg*. [11] καθὼς L. [12] ἐγένεσθε LTTrWHR. [13] διηνοιγμένους LTTrWHR.

[a] Ex. 25. 9, 40; 26. 30; 27. 8. Heb. 8. 5.
[b] Josh. 3. 14—17.
[c] ver. 5. Num. 32. 5.
[d] Josh. 3. 10; 23. 9; 24. 18. 2 Chr. 20. 7. Ps. 44. 2; 78. 55; 80. 8.
[e] 2 Sam. 7. 2.
[f] Vid. Luc. 1. 30. Cf. cap. 13. 22.
[g] 1 Reg. 8. 17. 1 Chr. 22. 7.
[h] Ps. 132. 5.
[i] 1 Reg. 8. 20. 2 Chr. 3. 1.
[k] Cf. 1 Reg. 8. 27. 2 Chr. 2. 6.
[l] Vid. Luc. 1. 32.
[m] cap. 17. 24.
[n] Vid. Marc. 14. 58.
[o] Esa. 66. 1, 2. Cf. Ps. 11. 4. Matt. 5. 34, 35.
[p] Ex. 32. 9; 33. 3; 34. 9. Deut. 9. 6, 13; 31. 27. 2 Chr. 30. 8.
[q] Ezek. 44. 7, 9. Cf. Lev. 26. 41. Deut. 10. 16. Jer. 6. 10; 9. 26.
[r] Esa. 63. 10.
[s] Mal. 3. 7.
[t] 2 Chr. 36. 16. Cf. Matt. 5. 12; 23. 31.
[u] Vid. cap. 3. 14.
[x] Cf. cap. 5. 28.
[y] Gal. 3. 19. Cf. ver. 38. Heb. 2. 2.
[z] Cf. cap. 2. 37; 5. 33.
[a] Job 16. 9. Ps. 35. 16; 37. 12.
[b] Vid. cap. 2. 4.
[c] Vid. Marc. 16. 19.
[d] Vid. Joan. 1. 52.
[e] Vid. Matt. 16. 27.
[f] Lev. 24. 14—16. Num. 15. 35. 1 Reg. 21. 13. Cf. Heb. 13. 12. Vid. Luc. 4. 29.
[g] cap. 6. 13. Cf. Deut. 13. 9, 10; 17. 7.
[h] cap. 22. 20.
[i] cap. 8. 1.

Στέφανον, [a] ἐπικαλούμενον καὶ λέγοντα, “Κύριε Ἰη-
σοῦ, [b] δέξαι τὸ πνεῦμά μου.” [c] Θεὶς δὲ τὰ γόνατα, 60
ἔκραξε φωνῇ μεγάλῃ, [d] “Κύριε, μὴ στήσῃς αὐτοῖς
τὴν ἁμαρτίαν ταύτην[1].” Καὶ τοῦτο εἰπὼν [e] ἐκοιμήθη.
[f] Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. 8 Θ'.
Ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ
τὴν ἐκκλησίαν τὴν ἐν Ἱεροσολύμοις[2]· πάντες τε[3] [g] διε-
σπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ [h] Σαμα-
ρείας[4], πλὴν τῶν ἀποστόλων. [i] συνεκόμισαν δὲ τὸν 2
Στέφανον ἄνδρες [k] εὐλαβεῖς, καὶ [l] ἐποιήσαντο[5] κοπετὸν
μέγαν ἐπ' αὐτῷ. [m] Σαῦλος δὲ ἐλυμαίνετο τὴν ἐκκλη- 3
σίαν, κατὰ τοὺς οἴκους εἰσπορευόμενος, [n] σύρων τε
ἄνδρας καὶ γυναῖκας παρεδίδου εἰς φυλακήν. οἱ 4
μὲν οὖν [g] διασπαρέντες διῆλθον, εὐαγγελιζόμενοι τὸν
λόγον.
[o] ΦΙΛΙΠΠΟΣ δὲ κατελθὼν [p] εἰς[6] πόλιν τῆς [h] Σαμα- 5
ρείας[4], ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν. προσεῖχόν 6
τε[7] οἱ ὄχλοι τοῖς λεγομένοις ὑπὸ τοῦ Φιλίππου
ὁμοθυμαδόν, ἐν τῷ ἀκούειν αὐτοὺς καὶ βλέπειν τὰ
σημεῖα ἃ ἐποίει. πολλῶν[8] γὰρ [q] τῶν ἐχόντων [r] πνεύ- 7
ματα ἀκάθαρτα, βοῶντα μεγάλῃ φωνῇ ἐξήρχετο[9]· πολ-
λοὶ δὲ παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν.
[s] καὶ ἐγένετο χαρὰ μεγάλη[10] ἐν τῇ πόλει ἐκείνῃ. Ἀνὴρ 8, 9 Ι'.
δέ τις ὀνόματι Σίμων προϋπῆρχεν[11] ἐν τῇ πόλει [t] μα-
γεύων καὶ [z] ἐξιστῶν[12] τὸ ἔθνος τῆς Σαμαρείας[4], λέγων
[u] εἶναί τινα ἑαυτὸν μέγαν· ᾧ προσεῖχον πάντες [x] ἀπὸ 10
μικροῦ ἕως μεγάλου, λέγοντες, [y] “Οὗτός ἐστιν ἡ δύ-
ναμις[13] τοῦ Θεοῦ ἡ[14] μεγάλη[13].” Προσεῖχον δὲ αὐτῷ, 11
διὰ τὸ ἱκανῷ χρόνῳ ταῖς [t] μαγείαις[15] [z] ἐξεστακέναι αὐ-
τούς. Ὅτε δὲ ἐπίστευσαν τῷ Φιλίππῳ εὐαγγελιζο- 12
μένῳ [a] τὰ[16] περὶ τῆς βασιλείας τοῦ Θεοῦ καὶ τοῦ
ὀνόματος τοῦ[17] Ἰησοῦ Χριστοῦ, ἐβαπτίζοντο ἄνδρες
τε καὶ γυναῖκες. ὁ δὲ Σίμων καὶ αὐτὸς ἐπίστευσε, 13

[a] cap. 9. 14, 21; 22. 16. Rom. 10. 12. 1 Cor. 1. 2. 2 Tim. 2. 22.
[b] Ps. 31. 5.
[c] Vid. Luc. 22. 41.
[d] Matt. 5. 44; Luc. 23. 34.
[e] Vid. Matt. 27. 52.
[f] cap. 7. 58.
[g] ver. 4. cap. 11. 19. Vid. Matt. 10. 23.
[h] ver. 5. cap. 1. 8; 9. 31.
[i] Vid. cap. 5. 6.
[k] Vid. cap. 2. 5.
[l] Gen. 23. 2; 50. 10. 2 Sam. 3. 31.
[m] cap. 9. 1, 13, 21; 22. 4, 19; 26. 10, 11. 1 Cor. 15. 9. Gal. 1. 13. Phil. 3. 6. 1 Tim. 1. 13.
[n] Cf. Jac. 2. 6.
[o] ver. 26. cap. 6. 5; 21. 8.
[p] ver. 25. Cf. Joan. 4. 38, 39.
[q] Vid. Marc. 16. 17, 18.
[r] Cf. Marc. 1. 26.
[s] ver. 39. Vid. Luc. 24. 52.
[t] ver. 11. cap. 13. 6. Cf. Mal. 3. 5.
[u] Vid. cap. 5. 36.
[x] Jer. 6. 13; 31. 34. Jonah 3. 5. cap. 26. 22. Heb. 8. 11. Rev. 11. 18; 13. 16; 19. 5, 18; 20. 12.
[y] Cf. cap. 14. 11; 28. 6.
[z] ver. 9, 13. Cf. Gal. 3. 1.
[a] Vid. cap. 1. 3.

1 ταύτην τὴν ἁμαρτίαν LTrWH. 2 Ἱεροσολύμοις WH. 3 δὲ LTr[WH]R, —τε T. 4 Σαμαρίας TWH. 5 ἐποίησαν LTTrWHR. 6 + τὴν LTWHR. 7 δὲ LTTrWHR. 8 πολλοὶ LTTrWHR. 9 φωνῇ μεγάλῃ (, R *marg.*) ἐξήρχοντο LTTrWHR. 10 ἐγένετο δὲ πολλὴ χαρὰ LTTrWHR. 11 προυπῆρχεν WH. 12 ἐξιστάνων LTTrWH. 13 Δύναμις...Μεγάλη WH. 14 + καλουμένη LTTrWHR. 15 μαγίαις TWH. 16 —τὰ LTTrWHR. 17 —τοῦ LTTrWH.

καὶ βαπτισθεὶς ἦν προσκαρτερῶν τῷ Φιλίππῳ· [a] θεω-
ρῶν τε σημεῖα καὶ [b] δυνάμεις μεγάλας γινομένας, [c] ἐξίσ-
14 τατο. Ἀκούσαντες δὲ οἱ ἐν Ἱεροσολύμοις[1] ἀπόστο-
λοι, ὅτι δέδεκται ἡ [d] Σαμάρεια[2] τὸν λόγον τοῦ Θεοῦ,
ἀπέστειλαν πρὸς αὐτοὺς τὸν[3] [e] Πέτρον καὶ [e] Ἰωάννην[4]·
15 οἵτινες καταβάντες προσηύξαντο περὶ αὐτῶν, [f] ὅπως
16 λάβωσι Πνεῦμα Ἅγιον. [g] οὔπω[5] γὰρ ἦν ἐπ' οὐδενὶ
αὐτῶν ἐπιπεπτωκός, [h] μόνον δὲ [f] βεβαπτισμένοι ὑπῆρ-
17 χον εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. τότε [i] ἐπετίθουν[6]
τὰς χεῖρας ἐπ' αὐτούς, καὶ [k] ἐλάμβανον Πνεῦμα
18 Ἅγιον. Θεασάμενος[7] δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέ-
σεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ Πνεῦμα
19 τὸ Ἅγιον[8], προσήνεγκεν αὐτοῖς χρήματα, λέγων,
"Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἂν[9] ἐπιθῶ
ΙΑ'. 20 τὰς χεῖρας, λαμβάνῃ Πνεῦμα Ἅγιον." Πέτρος δὲ
εἶπε πρὸς αὐτόν, [l] "Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς
ἀπώλειαν, ὅτι [m] τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας [n] διὰ χρη-
21 μάτων κτᾶσθαι. οὐκ ἔστι σοι [o] μερὶς οὐδὲ [o] κλῆρος ἐν
τῷ λόγῳ τούτῳ. [p] ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα
22 ἐνώπιον[10] τοῦ Θεοῦ. μετανόησον οὖν ἀπὸ τῆς [q] κακίας
σου ταύτης, καὶ δεήθητι τοῦ Θεοῦ[11], [r] εἰ ἄρα ἀφεθή-
23 σεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου. εἰς γὰρ [s] χολὴν
24 [t] πικρίας καὶ [u] σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα." Ἀπο-
κριθεὶς δὲ ὁ Σίμων εἶπε, [x] "Δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ
πρὸς τὸν Κύριον, ὅπως μηδὲν ἐπέλθῃ ἐπ' ἐμὲ ὧν
εἰρήκατε[12]."
25 Οἱ μὲν οὖν [y] διαμαρτυράμενοι καὶ λαλήσαντες τὸν
λόγον τοῦ Κυρίου, ὑπέστρεψαν[13] εἰς Ἱερουσαλήμ[14], [z] πολ-
λάς τε κώμας τῶν Σαμαρειτῶν[15] εὐηγγελίσαντο[16].
ΙΒ'. 26 [a] Ἄγγελος δὲ Κυρίου ἐλάλησε πρὸς [b] Φίλιππον, λέ-
γων, "Ἀνάστηθι καὶ πορεύου[17] [c] κατὰ μεσημβρίαν,
ἐπὶ τὴν ὁδὸν τὴν καταβαίνουσαν ἀπὸ Ἱερουσαλὴμ[18]

[a] ver. 6, 7.
[b] cap. 2. 22; 19. 11.
[c] ver. 9, 11.
[d] cap. 1. 8.
[e] Vid. Luc. 22. 8.
[f] cap. 2. 38.
[g] Cf. cap. 19. 2.
[h] cap. 19. 5. Cf. cap. 10. 47, 48. Matt. 28. 19. 1 Cor. 1. 13, 15.
[i] cap. 19. 6. Heb. 6. 2.
[k] cap. 2. 4.
[l] Cf. 2 Reg. 5. 16. Dan. 5. 17. Matt. 10. 8.
[m] cap. 2. 38.
[n] Esa. 55. 1.
[o] Deut. 10. 9; 12. 12; 14. 27, 29; 18. 1. Cf. Col. 1. 12.
[p] 2 Reg. 10. 15. Ps. 78. 37.
[q] Vid. Rom. 1. 29.
[r] Cf. Dan. 4. 27. 2 Tim. 2. 25.
[s] Deut. 29. 18. Matt. 27. 34.
[t] Heb. 12. 15.
[u] Esa. 58. 6. Cf. Eph. 4. 3.
[x] Cf. Ex. 8. 8, 28; 9. 28; 10. 17.
[y] Vid. Luc. 16. 28.
[z] ver. 40. Cf. ver. 6—8. Joan. 4. 38. cap. 9. 32.
[a] cap. 10. 3; 11. 13; 12. 7; 27. 23. Cf. Judic. 6. 12; 13. 3.
[b] ver. 5, 30, &c.
[c] Cf. cap. 22. 6.

[1] Ἱεροσολύμοις WH. [2] Σαμαρία TWH. [3] —τὸν LTTrWH. [4] Ἰωάνην TrWH. [5] οὐδέπω LTTrWHR. [6] ἐπετίθεσαν LTTrWH. [7] ἰδὼν LTTrWHR. [8] —τὸ Ἅγιον LT[Tr]WH.R marg. [9] ἐὰν BELTTrWH. [10] ἔναντι LTTrWHR. [11] κυρίου LTTrWHR. [12] + · ὃς πολλὰ κλαίων οὐ διελίμπανεν WH marg. [13] ὑπέστρεφον LTTrWHR. [14] Ἱεροσόλυμα LTTr, Ἱεροσόλυμα WH. [15] Σαμαριτῶν T. [16] εὐηγγελίζοντο LTTrWHR. [17] πορεύθητι L. [18] Ἱερουσαλὴμ WH.

εἰς [a]Γάζαν·" αὕτη ἐστὶν ἔρημος. καὶ ἀναστὰς ἐπο- 27
ρεύθη· καὶ ἰδού, ἀνὴρ [b]Αἰθίοψ [c]εὐνοῦχος [d]δυνάστης
Κανδάκης **τῆς**[1] βασιλίσσης Αἰθιόπων, [e]ὃς ἦν ἐπὶ
πάσης τῆς γάζης αὐτῆς, [f]**ὃς**[2] ἐληλύθει προσκυνήσων
εἰς Ἱερουσαλήμ[3], ἦν **τε**[4] ὑποστρέφων καὶ καθήμενος 28
ἐπὶ τοῦ ἅρματος αὐτοῦ, **καὶ ἀνεγίνωσκε**[5] τὸν προφή-
την **Ἡσαΐαν**[6]. εἶπε δὲ τὸ Πνεῦμα τῷ Φιλίππῳ, 29
"Πρόσελθε καὶ κολλήθητι τῷ ἅρματι τούτῳ." Προσ- 30
δραμὼν δὲ ὁ Φίλιππος ἤκουσεν αὐτοῦ ἀναγινώσκον-
τος **τὸν προφήτην Ἡσαΐαν**[7], καὶ εἶπεν, "[g]Ἆρά γε
[g]γινώσκεις ἃ [g]ἀναγινώσκεις;" Ὁ δὲ εἶπε, [h]"Πῶς γὰρ 31
ἂν δυναίμην, ἐὰν μή τις [i]**ὁδηγήσῃ**[8] με;" Παρεκάλεσέ
τε τὸν Φίλιππον [k]ἀναβάντα καθίσαι σὺν αὐτῷ. ἡ δὲ 32
περιοχὴ τῆς γραφῆς ἣν ἀνεγίνωσκεν, ἦν αὕτη, [l]"Ὡς
πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς [m]ἀμνὸς ἐναντίον
τοῦ **κείροντος**[9] αὐτὸν ἄφωνος, [n]οὕτως οὐκ ἀνοίγει τὸ
στόμα αὐτοῦ. ἐν τῇ ταπεινώσει **αὐτοῦ**[10] ἡ κρίσις 33
αὐτοῦ ἤρθη, τὴν **δὲ**[11] γενεὰν αὐτοῦ τίς διηγήσεται;
ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.' Ἀποκριθεὶς 34
δὲ ὁ εὐνοῦχος τῷ Φιλίππῳ εἶπε, "Δέομαί σου, περὶ
τίνος ὁ προφήτης λέγει τοῦτο; περὶ ἑαυτοῦ, ἢ περὶ
ἑτέρου τινός;" [o]Ἀνοίξας δὲ ὁ Φίλιππος τὸ στόμα 35
αὐτοῦ, καὶ [p]ἀρξάμενος ἀπὸ τῆς γραφῆς ταύτης, [q]εὐηγ-
γελίσατο αὐτῷ τὸν Ἰησοῦν. ὡς δὲ ἐπορεύοντο κατὰ 36
τὴν ὁδόν, ἦλθον ἐπί τι ὕδωρ· καί φησιν ὁ εὐνοῦχος,
[r]"Ἰδοὺ ὕδωρ· τί κωλύει με βαπτισθῆναι;" **Εἶπε δὲ ὁ** 37
Φίλιππος, [s]"Εἰ πιστεύεις ἐξ ὅλης τῆς καρδίας, ἔξεστιν."
Ἀποκριθεὶς δὲ εἶπε, "Πιστεύω [t]τὸν υἱὸν τοῦ Θεοῦ
εἶναι [u]τὸν Ἰησοῦν Χριστόν."[12] Καὶ ἐκέλευσε στῆναι 38
τὸ ἅρμα· καὶ κατέβησαν ἀμφότεροι εἰς τὸ ὕδωρ, ὅ
τε Φίλιππος καὶ ὁ εὐνοῦχος· καὶ ἐβάπτισεν αὐτόν.
ὅτε δὲ ἀνέβησαν ἐκ τοῦ ὕδατος, [x]Πνεῦμα Κυρίου ἥρ- 39
πασε τὸν Φίλιππον· καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι ὁ

[a] Josh. 11. 22, &c.
[b] Ps. 68. 31; 87. 4. Zeph. 3. 10.
[c] Jer. 38. 7.
[d] Luc. 1. 52.
[e] Ezra 7. 21.
[f] Joan. 12. 20.
[g] 2 Cor. 3. 2.
[h] Cf. Rom. 10. 14.
[i] Joan. 16. 13.
[k] 1 Reg. 20. 33. 2 Reg. 10. 15.
[l] Esa. 53. 7, 8.
[m] Joan. 1. 29.
[n] Cf. Matt. 26. 63. Marc. 14. 61.
[o] Vid. Matt. 5. 2.
[p] Luc. 24. 27. Cf. cap. 17. 2; 18. 28; 28. 23.
[q] Vid. cap. 5. 42.
[r] cap. 10. 47.
[s] Marc. 16. 16.
[t] Vid. Matt. 14. 33.
[u] Matt. 1. 18 (var. lect.).
[x] 1 Reg. 18. 12. 2 Reg. 2. 16. Ezek. 3. 12, 14; 8. 3; 11. 1, 24; 43. 5.

[1] —τῆς LTTrWHR. [2] —ὃς LTTr[WH]. [3] Ἰερουσαλὴμ WH. [4] δὲ Tr *marg.* WH. [5] ἀνεγίνωσκέν τε L, —καὶ T[Tr]. [6] Ἡσαΐαν L, Ἠσαίαν WH. [7] Ἡσαΐαν (Ἠσαΐαν L, Ἠσαΐαν WH) τὸν προφήτην LTTrWHR. [8] ὁδηγήσει TTrWHR. [9] κείραντος TWH *marg.* [10] —αὐτοῦ LTTrWHR. [11] —δὲ LTTrWHR. [12] *Deest v.* 37 *in* LTTrWH *text.*, R (*non marg.*). WH *marg. habet* εἶπεν δὲ αὐτῷ [ὁ Φίλιππος] Εἰ πιστεύεις ἐξ ὅλης τῆς καρδίας σου [, ἔξεστιν]. ἀποκριθεὶς δὲ εἶπεν Πιστεύω τὸν υἱὸν τοῦ θεοῦ εἶναι τὸν Ἰησοῦν [Χριστόν].

εὐνοῦχος, ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ [a] χαίρων.
40 Φίλιππος δὲ εὑρέθη εἰς [b] Ἄζωτον· καὶ διερχόμενος
[c] εὐηγγελίζετο τὰς πόλεις πάσας, ἕως τοῦ ἐλθεῖν αὐ-
τὸν [1] εἰς [d] **Καισάρειαν** [2].

ΙΓ'. 9 [e] Ὁ ΔΕ Σαῦλος ἔτι [f] [3] **ἐμπνέων** ἀπειλῆς καὶ φόνου
εἰς τοὺς μαθητὰς τοῦ Κυρίου, προσελθὼν [g] τῷ ἀρχιερεῖ,
2 ᾐτήσατο παρ' αὐτοῦ ἐπιστολὰς εἰς [h] Δαμασκὸν πρὸς
τὰς συναγωγάς, ὅπως **ἐάν** [4] τινας εὕρῃ [i] **τῆς ὁδοῦ ὄντας** [5]
ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ εἰς Ἱερου-
3 σαλήμ [6]. [k] ἐν δὲ τῷ πορεύεσθαι, ἐγένετο αὐτὸν ἐγγίζειν
τῇ [h] Δαμασκῷ, **καὶ ἐξαίφνης** [7] **περιήστραψεν αὐτὸν** [8] φῶς
4 **ἀπὸ** [9] τοῦ οὐρανοῦ· καὶ πεσὼν ἐπὶ τὴν γῆν, ἤκουσε
[l] φωνὴν λέγουσαν αὐτῷ, "Σαούλ, Σαούλ, τί με [m] διώ-
5 κεις;" Εἶπε δέ, "Τίς εἶ, Κύριε;" Ὁ δὲ **Κύριος εἶπεν** [10],
"Ἐγώ εἰμι Ἰησοῦς [11] ὃν σὺ διώκεις· **σκληρόν σοι**
6 **πρὸς κέντρα λακτίζειν." Τρέμων τε καὶ θαμβῶν εἶπε,
"Κύριε, τί με θέλεις ποιῆσαι;" Καὶ ὁ Κύριος πρὸς
αὐτόν** [12], [13] [n] "Ἀνάστηθι καὶ εἴσελθε εἰς τὴν πόλιν, [n] καὶ
7 λαληθήσεταί σοι [o] **τί** [14] σε δεῖ ποιεῖν." [p] Οἱ δὲ ἄνδρες
οἱ συνοδεύοντες αὐτῷ **εἱστήκεισαν** [15] **ἐννεοί** [16], [q] ἀκούοντες
8 μὲν τῆς φωνῆς, [p] μηδένα δὲ θεωροῦντες. ἠγέρθη δὲ
ὁ [17] Σαῦλος ἀπὸ τῆς γῆς· **ἀνεῳγμένων** [18] δὲ τῶν ὀφ-
θαλμῶν αὐτοῦ, [r] **οὐδένα** [19] ἔβλεπε, [s] χειραγωγοῦντες δὲ
9 αὐτὸν εἰσήγαγον εἰς [h] Δαμασκόν. καὶ ἦν ἡμέρας
τρεῖς μὴ βλέπων, καὶ οὐκ ἔφαγεν οὐδὲ ἔπιεν.
10 [t] Ἦν δέ τις μαθητὴς ἐν [h] Δαμασκῷ ὀνόματι [t] Ἀνανίας [20],
καὶ εἶπε πρὸς αὐτὸν ὁ **Κύριος** [u] **ἐν ὁράματι** [21], "Ἀνα-
11 νία [22]." Ὁ δὲ εἶπεν, "Ἰδοὺ ἐγώ, Κύριε." Ὁ δὲ Κύριος
πρὸς αὐτόν, "**Ἀναστὰς** [23] πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν
καλουμένην Εὐθεῖαν, καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα
Σαῦλον ὀνόματι [x] Ταρσέα. ἰδοὺ γὰρ προσεύχεται,

[a] ver. 8.
[b] Josh. 11. 22, &c.
[c] ver. 25.
[d] cap. 9. 30; 10. 1, 24; 11. 11; 12. 19; 18. 22; 21. 8, 16; 23. 23, 33; 25. 1, 4, 6, 13.
[e] ver. 13, 21. Vid. cap. 8. 3.
[f] Ps. 27. 12. Cf. cap. 26. 11.
[g] Cf. cap. 22. 5; 26. 10.
[h] Gen. 14. 15, &c. 2 Cor. 11. 32. Gal. 1. 17.
[i] cap. 19. 9, 23; 24. 22. Cf. Esa. 30. 21; 35. 8. Amos 8. 14. cap. 18. 25, 26; 22. 4; 24. 14. 2 Pet. 2. 2.
[k] ver. 3—8, cap. 22. 6—12. cap. 26. 12—18. Cf. 1 Cor. 15. 8.
[l] Cf. cap. 7. 32.
[m] Cf. Esa. 63. 9. Zech. 2. 8.
[n] Cf. Ezek. 3. 22.
[o] ver. 16. Cf. 1 Cor. 9. 16.
[p] Cf. Dan. 10. 7.
[q] Cf. cap. 22. 9 cum Joan. 12. 29.
[r] Cf. cap. 22. 11.
[s] cap. 13. 11.
[t] cap. 22. 12.
[u] cap. 2. 17; 10. 3, 17, 19; 11. 5; 12. 9; 16. 9, 10; 18. 9.
[x] ver. 30. cap. 11. 25; 21. 39; 22. 3.

[1] —αὐτὸν T *errore*. [2] Καισαρίαν TWH. [3] ἐν- TWH. [4] ἂν T. [5] ὄντας τῆς ὁδοῦ TTr *marg*. [6] Ἰερουσαλήμ WH. [7] ἐξαίφνης (ἐξέφνης WH) τε LTTrWHR. [8] περιέστραψεν αὐτὸν E, αὐτὸν περιέστραψεν L, αὐτὸν περιήστραψεν TTrWH. [9] ἐκ LTTrWHR. [10] —κύριος εἶπεν LTTrWHR. [11] + [ὁ Ναζωραῖος] L. [12] *Desunt omnia in* LTTrWHR *a v.* 5 σκληρόν *usque ad v.* 6 πρὸς αὐτόν. [13] + ἀλλὰ LTTrWHR. [14] ὅ τι LTTrR, ὅτι WH. [15] ἱστήκεισαν WH. [16] ἐνεοί LTTrWH. [17] —ὁ LTTrWH. [18] ἠνεῳγμένων L, ἠνοιγμένων T. [19] οὐδὲν LTTrWHR. [20] Ἁνανίας WH. [21] ἐν ὁράματι ὁ κύριος LTTrWHR. [22] Ἁνανία WH. [23] Ἀνάστα LWH (*non marg.*).

καὶ εἶδεν ἐν ὁράματι[1] ἄνδρα ὀνόματι Ἀνανίαν[2] εἰσελ- 12
θόντα καὶ [a]ἐπιθέντα αὐτῷ χεῖρα[3], ὅπως ἀναβλέψῃ."
Ἀπεκρίθη δὲ ὁ[4] Ἀνανίας[5], "Κύριε, ἀκήκοα[6] ἀπὸ 13
πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου, ὅσα κακὰ ἐποίησε
[b]τοῖς ἁγίοις σου[7] ἐν Ἱερουσαλήμ[8]· καὶ ὧδε ἔχει ἐξου- 14
σίαν παρὰ τῶν ἀρχιερέων, δῆσαι πάντας [c]τοὺς ἐπικα-
λουμένους τὸ ὄνομά σου." Εἶπε δὲ πρὸς αὐτὸν ὁ 15
Κύριος, "Πορεύου, [d]ὅτι [e]σκεῦος ἐκλογῆς μοι ἐστὶν[9]
οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον [f][10]ἐθνῶν[11]
καὶ [g]βασιλέων, υἱῶν τε Ἰσραήλ. [h]ἐγὼ γὰρ ὑποδείξω 16
αὐτῷ, [i]ὅσα δεῖ αὐτὸν [k]ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν."
[l]Ἀπῆλθε δὲ Ἀνανίας[5] καὶ εἰσῆλθεν εἰς [m]τὴν οἰκίαν, 17
καὶ [a]ἐπιθεὶς ἐπ' αὐτὸν τὰς χεῖρας εἶπε, "Σαοὺλ [n]ἀδελ-
φέ, ὁ Κύριος ἀπέσταλκέ με, Ἰησοῦς ὁ ὀφθείς σοι
ἐν τῇ ὁδῷ ᾗ ἤρχου, ὅπως ἀναβλέψῃς καὶ [o]πλησθῇς
Πνεύματος Ἁγίου." Καὶ εὐθέως ἀπέπεσον ἀπὸ τῶν 18
ὀφθαλμῶν αὐτοῦ[12] ὡσεὶ[13] λεπίδες, ἀνέβλεψέ τε παρα-
χρῆμα[14], καὶ [p]ἀναστὰς ἐβαπτίσθη, καὶ [q]λαβὼν τροφὴν 19
ἐνίσχυσεν[15]. Ἐγένετο δὲ ὁ Σαῦλος[16] μετὰ τῶν ἐν
Δαμασκῷ μαθητῶν [r]ἡμέρας τινάς· καὶ εὐθέως [s]ἐν ταῖς 20
συναγωγαῖς ἐκήρυσσε τὸν Χριστόν[17], ὅτι οὗτός ἐστιν
[t]ὁ υἱὸς τοῦ Θεοῦ. ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες 21
καὶ ἔλεγον, "Οὐχ οὗτός ἐστιν [u]ὁ πορθήσας ἐν[18] Ἱερου-
σαλὴμ[8] [c]τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο,[19] καὶ ὧδε
εἰς τοῦτο ἐληλύθει ἵνα δεδεμένους αὐτοὺς ἀγάγῃ
ἐπὶ τοὺς ἀρχιερεῖς;[19]" Σαῦλος δὲ μᾶλλον ἐνεδυνα- 22
μοῦτο, καὶ [x]συνέχυνε[20] τοὺς[21] Ἰουδαίους τοὺς κατοικοῦν-
τας ἐν Δαμασκῷ, [y]συμβιβάζων [z]ὅτι οὗτός ἐστιν ὁ
Χριστός. [a]ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναί, συνε- 23
βουλεύσαντο οἱ Ἰουδαῖοι ἀνελεῖν αὐτόν· ἐγνώσθη 24
δὲ τῷ Σαύλῳ [b]ἡ ἐπιβουλὴ αὐτῶν. [c]παρετήρουν τε[22]

[a] ver. 17. Vid. Marc. 5. 23.
[b] ver. 32, 41. Matt. 27. 52. cap. 26. 10. Rom. 1. 7; 16. 2, 15. 1 Cor. 1. 2, &c.
[c] ver. 21. Vid. cap. 7. 59.
[d] Cf. cap. 13. 2. Rom. 1. 1. Gal. 1. 15. Eph. 3. 7.
[e] Rom. 9. 22, 23.
[f] cap. 22. 21; 26. 17. Rom. 1. 5; 11. 13; 15. 16. Gal. 1. 16; 2. 7—9. Eph. 3. 8. 1 Tim. 2. 7. 2 Tim. 1. 11; 4. 17.
[g] cap. 25. 22, 23; 26. 1, 32. 2 Tim. 4. 16.
[h] cap. 20. 23; 21. 4, 11. 1 Thess. 3. 3.
[i] ver. 6. Cf. 2 Cor. 6. 4, 5; 12. 23—28.
[k] cap. 21. 13.
[l] cap. 22. 13.
[m] ver. 11.
[n] cap. 21. 20.
[o] Vid. cap. 2. 4.
[p] cap. 22. 16.
[q] Cf. ver. 9.
[r] Cf. cap. 26. 20.
[s] Vid. cap. 13. 5.
[t] Vid. Matt. 14. 33.
[u] Gal. 1. 13, 23.
[x] cap. 2. 6.
[y] cap. 16. 10.
[z] cap. 18. 5, 28.
[a] Cf. Gal. 1. 17, 18.
[b] cap. 20. 3, 19; 23. 30.
[c] Vid. Luc. 20. 20. Cf. 2 Cor. 11. 32, 33.

[1] —ἐν ὁράματι LTTr *marg.* R., *at* ἄνδρα [ἐν ὁράματι] TrWH. [2] Ἀνανίαν (Ἁναν. WH) ὀνόματι LTTrWHR. [3] τὰς χεῖρας LR, χεῖρας TTr, [τὰς] χεῖρας WH. [4] —ὁ LTTrWH. [5] Ἁνανίας WH. [6] ἤκουσα LTTrWHR. [7] τοῖς ἁγίοις σου ἐποίησεν LTTrWH. [8] Ἰερουσαλήμ WH. [9] ἐστίν μοι LTTrWHR. [10] + τῶν L[WH]R. [11] + τε LTTrWHR. [12] ἀπέπεσαν αὐτοῦ ἀπὸ τῶν ὀφθαλμῶν LTTrWH. [13] ὡς LTTrWH. [14] —παραχρῆμα LTTrWHR. [15] ἐνισχύθη Tr *marg.* WH. [16] —ὁ Σαῦλος LTTrWHR. [17] Ἰησοῦν LTTrWHR. [18] εἰς T. [19] τὸ ὄνομα τοῦτο;...ἀρχιερεῖς. R. [20] συνέχυννεν TWH. [21] —τοὺς TWHR. [22] παρετηροῦντο δὲ καὶ LTTrWHR.

τὰς[1] πύλας [a]ἡμέρας τε καὶ νυκτός, ὅπως αὐτὸν ἀνέ-
25 λωσι· λαβόντες δὲ **αὐτὸν οἱ μαθηταὶ**[2] νυκτός, [b]**κα-
θῆκαν διὰ τοῦ τείχους**[3,4], χαλάσαντες ἐν [c]**σπυρίδι**[5].
26 [d]Παραγενόμενος δὲ **ὁ Σαῦλος**[6] **εἰς**[7] Ἱερουσαλήμ[8],
ἐπειρᾶτο[9] κολλᾶσθαι τοῖς μαθηταῖς· καὶ πάντες
ἐφοβοῦντο αὐτόν, μὴ πιστεύοντες ὅτι ἐστὶ μαθητής.
27 [e]Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτόν, [f]ἤγαγε πρὸς τοὺς
ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς [g]πῶς ἐν τῇ ὁδῷ
εἶδε τὸν Κύριον, καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ [g]πῶς ἐν
Δαμασκῷ [h]ἐπαρρησιάσατο ἐν τῷ ὀνόματι **τοῦ**[10] Ἰη-
28 σοῦ. καὶ ἦν μετ' αὐτῶν [i]εἰσπορευόμενος καὶ ἐκπο-
29 ρευόμενος **ἐν**[11] Ἱερουσαλήμ[8], **καὶ**[12] [h]παρρησιαζόμενος
ἐν τῷ ὀνόματι τοῦ Κυρίου **Ἰησοῦ**[13], ἐλάλει τε καὶ
συνεζήτει πρὸς τοὺς [k]Ἑλληνιστάς· [l]οἱ δὲ ἐπεχείρουν
30 **αὐτὸν ἀνελεῖν**[14]. ἐπιγνόντες δὲ [m]οἱ ἀδελφοὶ κατήγαγον
αὐτὸν εἰς [n]**Καισάρειαν**[15], καὶ [b]ἐξαπέστειλαν **αὐτὸν**[16] εἰς
31 [o]Ταρσόν. [p]**Αἱ**[17] μὲν οὖν **ἐκκλησίαι**[17] καθ' ὅλης τῆς
Ἰουδαίας καὶ Γαλιλαίας καὶ **Σαμαρείας**[18] **εἶχον**[17] εἰρή-
νην, [q]**οἰκοδομούμεναι**[17] καὶ **πορευόμεναι**[17] τῷ φόβῳ τοῦ
Κυρίου, καὶ τῇ [r]παρακλήσει τοῦ Ἁγίου Πνεύματος
ἐπληθύνοντο[17].
ΙΔ'. 32 ἘΓΕΝΕΤΟ δὲ [s]Πέτρον διερχόμενον διὰ πάντων,
κατελθεῖν καὶ πρὸς [t]τοὺς ἁγίους τοὺς κατοικοῦντας
33 [u]**Λύδδαν**[19]. εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα **Αἰνέαν ὀνό-
ματι**[20], ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ **κραββάτῳ**[21],
34 ὃς ἦν παραλελυμένος. καὶ εἶπεν αὐτῷ ὁ Πέτρος,
"Αἰνέα, [x]ἰᾶταί σε Ἰησοῦς **ὁ**[22] Χριστός· ἀνάστηθι
35 καὶ στρῶσον σεαυτῷ." Καὶ εὐθέως ἀνέστη· καὶ
εἶδον[23] αὐτὸν πάντες οἱ κατοικοῦντες [u]**Λύδδαν**[24] καὶ
τὸν [y]**Σαρωνᾶν**[25], οἵτινες [z]ἐπέστρεψαν ἐπὶ τὸν Κύριον.

[a] Luc. 18. 7.
[b] Cf. Josh. 2. 15. 1 Sam. 19. 12. ver. 30. Vid. Matt. 10. 23.
[c] Vid. Matt. 16. 10.
[d] cap. 22. 17—20; 26. 20.
[e] Vid. cap. 4. 36.
[f] Cf. Gal. 1. 18, 19?
[g] ver. 3—6, 20, 22.
[h] ver. 29. Cf. cap. 4. 13.
[i] Vid. Joan. 10. 9.
[k] Vid. cap. 6. 1.
[l] cap. 22. 18.
[m] cap. 10. 23; 11. 1, &c. Joan. 21. 23.
[n] Vid. cap. 8. 40.
[o] Vid. ver. 11. Cf. cap. 11. 25. Gal. 1. 21?
[p] cap. 1. 8; 8. 1; 16. 5.
[q] cap. 20. 32. Jud. 20. Cf. Rom. 14. 19.
[r] Vid. cap. 4. 36.
[s] cap. 8. 25.
[t] ver. 13.
[u] 1 Chr. 8. 12. Ezra 2. 33. Neh. 7. 37; 11. 35.
[x] cap. 3. 6.
[y] 1 Chr. 5. 16; 27. 29. Cant. 2. 1. Esa. 33. 9; 35. 2; 65. 10.
[z] cap. 11. 21. Cf. ver. 42.

1 τὰ S *errore*. 2 οἱ μαθηταὶ αὐτοῦ LTTrWHR. 3 διὰ τοῦ τείχους καθῆκαν LTTrWHR. 4 + αὐτόν LTTrWHR. 5 σφυρίδι WH. 6 —ὁ Σαῦλος LTTrWHR. 7 ἐν L. 8 Ἰερουσαλήμ WH. 9 ἐπείραζεν LTTrWHR. 10 —τοῦ LTTrWH. 11 εἰς LTTrWHR. 12 —καὶ LTTrWHR. 13 —Ἰησοῦ LTTrWHR. 14 ἀνελεῖν αὐτόν LTTrWH. 15 Καισαρίαν TWH. 16 —αὐτὸν L. 17 Ἡ...ἐκκλησία...εἶχεν...οἰκοδομουμένη...πορευομένη...ἐπληθύνετο LTTrWHR. 18 Σαμαρίας TWH. 19 Λύδδα LTTrWH. 20 ὀνόματι Αἰνέαν LTTrWH. 21 κραβάττου LTTrWHR. 22 —ὁ LTTrWHR. 23 εἶδαν LTTrWH. 24 Λύδδα LTTrWH. 25 Σάρωνα BET, Σαρῶνα LWH, Σαρωνᾶ Tr.

Ἐν [a]Ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι Ταβιθά[1], 36
ἣ διερμηνευομένη λέγεται Δορκάς· αὕτη ἦν [b]πλήρης
ἀγαθῶν ἔργων[2] καὶ ἐλεημοσυνῶν ὧν ἐποίει· ἐγένετο 37
δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀπο-
θανεῖν· λούσαντες δὲ αὐτὴν ἔθηκαν[3] ἐν[4] [c]ὑπερῴῳ.
ἐγγὺς δὲ οὔσης Λύδδης[5] τῇ [a]Ἰόππῃ, οἱ μαθηταὶ 38
ἀκούσαντες ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν
δύο ἄνδρας πρὸς αὐτόν, παρακαλοῦντες [d]μὴ ὀκνῆσαι[6]
διελθεῖν ἕως αὐτῶν[7]. ἀναστὰς δὲ Πέτρος συνῆλθεν 39
αὐτοῖς· ὃν παραγενόμενον ἀνήγαγον εἰς [c]τὸ ὑπερῷον,
καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι
καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει
μετ᾽ αὐτῶν οὖσα ἡ Δορκάς. [e]ἐκβαλὼν δὲ ἔξω πάν- 40
τας ὁ Πέτρος,[8] [f]θεὶς τὰ γόνατα προσηύξατο· καὶ
ἐπιστρέψας πρὸς τὸ σῶμα, [g]εἶπε, "Ταβιθά[1], ἀνά-
στηθι." Ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς· καὶ
ἰδοῦσα τὸν Πέτρον, ἀνεκάθισε. δοὺς δὲ αὐτῇ χεῖρα, 41
ἀνέστησεν αὐτήν· φωνήσας δὲ [h]τοὺς ἁγίους καὶ τὰς
χήρας, παρέστησεν αὐτὴν ζῶσαν. γνωστὸν δὲ ἐγέ- 42
νετο καθ᾽ ὅλης τῆς[9] [a]Ἰόππης, καὶ [i]πολλοὶ ἐπίστευσαν[10]
ἐπὶ τὸν Κύριον· ἐγένετο δὲ ἡμέρας ἱκανὰς μεῖναι[11] 43
αὐτὸν[12] ἐν [a]Ἰόππῃ [k]παρά τινι Σίμωνι βυρσεῖ.

ἈΝΗΡ δέ τις ἦν[13] ἐν [l]Καισαρείᾳ[14] ὀνόματι Κορνή- 10 ΙΕ΄.
λιος, ἑκατοντάρχης ἐκ [m]σπείρης τῆς καλουμένης Ἰτα-
λικῆς, [n]εὐσεβὴς καὶ [o]φοβούμενος τὸν Θεὸν σὺν παντὶ 2
τῷ οἴκῳ αὐτοῦ, ποιῶν τε[15] ἐλεημοσύνας πολλὰς τῷ
λαῷ, καὶ δεόμενος τοῦ Θεοῦ διαπαντός[16]. [p]εἶδεν ἐν 3
ὁράματι φανερῶς, [q]ὡσεὶ[17] ὥραν ἐννάτην[18] τῆς ἡμέρας,
[r]ἄγγελον τοῦ Θεοῦ εἰσελθόντα πρὸς αὐτόν, καὶ εἰ-
πόντα αὐτῷ, "Κορνήλιε." Ὁ δὲ [s]ἀτενίσας αὐτῷ καὶ 4
[t]ἔμφοβος γενόμενος εἶπε, "Τί ἐστι, Κύριε;" εἶπε
δὲ αὐτῷ, "Αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι
σου [u]ἀνέβησαν [x]εἰς μνημόσυνον ἐνώπιον[19] τοῦ Θεοῦ.

[a] Josh. 19. 46. 2 Chr. 2. 16. Ezra 3. 7. Jonah 1. 3. ver. 38, 42, 43. cap. 10. 5. 8, 23, 32; 11. 5, 13.
[b] 1 Tim. 2. 10. 2 Cor. 9. 8. Eph. 2. 10. Col. 1. 10. 2 Thess. 2. 17. 1 Tim. 5. 10. 2 Tim. 2. 21; 3. 17. Tit. 1. 16; 3. 1. Cf. Rom. 13. 3. Heb. 13. 21.
[c] ver. 39. cap. 1. 13; 20. 8.
[d] Num. 22. 16 (Septuagint.).
[e] Cf. Matt. 9. 25.
[f] Vid. Luc. 22. 41.
[g] Cf. Marc. 5. 41.
[h] ver. 13.
[i] Cf. ver. 35. Joan. 11. 45; 12. 11.
[k] cap. 10. 6.
[l] ver. 24. Vid. cap. 8. 40.
[m] Vid. Matt. 27. 27.
[n] ver. 7. 2 Pet. 2. 9.
[o] ver. 22, 35. cap. 13. 16, 26.
[p] ver. 17, 19. Vid. cap. 9. 10.
[q] ver. 30. Vid. cap. 3. 1.
[r] Vid. cap. 8. 26.
[s] cap. 3. 4.
[t] Vid. Luc. 1. 12.
[u] Rev. 8. 4. Cf. Dan. 10. 12.
[x] Matt. 26. 13. Cf. ver. 31. Heb. 6. 10.

[1] Ταβειθά WH. [2] ἔργων ἀγαθῶν LTrWH. [3] ἔθηκαν αὐτὴν TTrWH *marg.*, —αὐτὴν WH (*non marg.*). [4] + τῷ L. [5] Λύδδας TTrWH. [6] ὀκνήσῃς LTTrWHR. [7] ἡμῶν LTTrWHR. [8] + καὶ LTTrWHR. [9] —τῆς [Tr] WH. [10] ἐπίστευσαν πολλοὶ LTTrWH. [11] αὐτὸν ([αὐτὸν] Tr) ἡμέρας ἱκανὰς μεῖναι LTr. [12] —αὐτὸν TWH. [13] —ἦν LTTrWHR. [14] Καισαρίᾳ TWH. [15] —τε LTTrWHR. [16] διὰ παντός LTrWH. [17] + περὶ LTTrWHR. [18] ἐνάτην LTTrWH. [19] ἔμπροσθεν LTTrWHR.

5 καὶ νῦν πέμψον εἰς [a] **Ἰόππην ἄνδρας**[1], καὶ μετάπεμψαι
6 Σίμωνα[2] ὃς ἐπικαλεῖται Πέτρος· οὗτος ξενίζεται
[b] παρά τινι Σίμωνι βυρσεῖ, ᾧ ἐστιν οἰκία παρὰ θά-
7 λασσαν· **οὗτος λαλήσει σοι τί σε δεῖ ποιεῖν**[3]." Ὡς
δὲ ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν **τῷ Κορνηλίῳ**[4],
φωνήσας δύο τῶν [c] οἰκετῶν **αὐτοῦ**[5], καὶ στρατιώτην
8 [d] εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ, καὶ ἐξηγησά-
μενος **αὐτοῖς ἅπαντα**[6], ἀπέστειλεν αὐτοὺς εἰς τὴν
9 [a] Ἰόππην. [e] Τῇ δὲ ἐπαύριον ὁδοιπορούντων **ἐκείνων**[7] καὶ
τῇ πόλει ἐγγιζόντων, ἀνέβη Πέτρος ἐπὶ [f] τὸ δῶμα
10 προσεύξασθαι, [g] περὶ ὥραν ἕκτην. ἐγένετο δὲ πρόσ-
πεινος, καὶ ἤθελε γεύσασθαι· παρασκευαζόντων δὲ
11 **ἐκείνων**[8], **ἐπέπεσεν**[9] ἐπ' αὐτὸν [h] ἔκστασις καὶ θεωρεῖ
[i] τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ καταβαῖνον **ἐπ' αὐτὸν**[10]
σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς
12 **δεδεμένον, καὶ**[11] καθιέμενον ἐπὶ τῆς γῆς· ἐν ᾧ ὑπῆρχε
πάντα τὰ τετράποδα **τῆς γῆς**[12] **καὶ τὰ θηρία**[13] καὶ **τὰ**[14]
13 ἑρπετὰ καὶ **τὰ**[14] πετεινὰ τοῦ οὐρανοῦ. καὶ ἐγένετο
φωνὴ πρὸς αὐτόν, "Ἀναστάς, Πέτρε, θῦσον καὶ
14 φάγε." Ὁ δὲ Πέτρος εἶπε, "Μηδαμῶς, Κύριε·
[k] ὅτι οὐδέποτε ἔφαγον πᾶν [l] κοινὸν **ἢ**[15] [m] ἀκάθαρτον."
15 Καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτόν, [n] "Ἃ ὁ
16 Θεὸς **ἐκαθάρισε**[16], σὺ μὴ κοίνου." Τοῦτο δὲ ἐγένετο
ἐπὶ τρίς· καὶ **πάλιν**[17] **ἀνελήφθη**[18] τὸ σκεῦος εἰς τὸν
οὐρανόν.
17 Ὡς δὲ ἐν ἑαυτῷ [o] διηπόρει ὁ Πέτρος, τί ἂν εἴη [p] τὸ
ὅραμα ὃ εἶδε, **καὶ**[19] ἰδού, οἱ ἄνδρες οἱ ἀπεσταλμένοι
ἀπὸ[20] τοῦ Κορνηλίου, διερωτήσαντες τὴν οἰκίαν[21]
18 Σίμωνος, ἐπέστησαν ἐπὶ τὸν [q] πυλῶνα· καὶ φωνή-
σαντες **ἐπυνθάνοντο**[22], εἰ Σίμων ὁ ἐπικαλούμενος Πέ-
19 τρος ἐνθάδε ξενίζεται. Τοῦ δὲ Πέτρου **ἐνθυμουμένου**[23]

[a] ver. 8, 23, 32. Vid. cap. 9. 36.
[b] cap. 9. 43.
[c] Vid. Luc. 16. 13.
[d] ver. 2.
[e] ver. 9—32, cap. 11. 5—14.
[f] Vid. Matt. 24. 17. Cf. 2 Reg. 23. 12. Jer. 19. 13; 32. 29. Zeph. 1. 5.
[g] Ps. 55. 17.
[h] cap. 22. 17.
[i] Vid. Joan. 1. 52.
[k] Ezek. 4. 14. Cf. Dan. 1. 8. Matt. 15. 11.
[l] ver. 28. Vid. Marc. 7. 2.
[m] Lev. 11. 2—47; 20. 25. Deut. 14. 4—20.
[n] Rom. 14. 14, 20. 1 Cor. 10. 25. 1 Tim. 4. 4. Tit. 1. 15. Cf. Marc. 7. 15, 19.
[o] Vid. Luc. 9. 7.
[p] ver. 3.
[q] Vid. Matt. 26. 71.

[1] ἄνδρας εἰς Ἰόππην LTTrWHR. [2] + τινα LTTrWHR, *at* [τινα] Tr *marg.* [3] —οὗτος *ad fin. vers.* LTTrWHR. [4] αὐτῷ LTTrWHR. [5] —αὐτοῦ LTTrWHR. [6] ἅπαντα αὐτοῖς LTTrWH. [7] αὐτῶν TTr *marg.* [8] αὐτῶν LTTrWHR. [9] ἐγένετο LTTrWHR. [10] —ἐπ' αὐτὸν LTTrWHR. [11] —δεδεμένον καὶ LTTrWHR. [12] τῆς γῆς *post* ἑρπετὰ *ponunt* LTTrWHR. [13] —καὶ τὰ θηρία LTTrWHR. [14] —τὰ LTTrWHR. [15] καὶ LTTrWHR. [16] ἐκαθέρισεν Tr. [17] εὐθὺς LTTrWHR. [18] ἀνελήμφθη LTTrWH. [19] —καὶ LTTrWHR, [καὶ] Tr *marg.* [20] ὑπὸ TTr *marg.* WHR. [21] + τοῦ LTTrWH. [22] ἐπύθοντο WH (*non marg.*). [23] διενθυμουμένου LTTrWHR.

περὶ [a]τοῦ ὁράματος, εἶπεν **αὐτῷ τὸ Πνεῦμα**[1], “Ἰδού,
ἄνδρες [b]**τρεῖς**[2] **ζητοῦσί**[3] σε· ἀλλὰ ἀναστὰς κατάβηθι, 20
καὶ πορεύου σὺν αὐτοῖς, [c]μηδὲν διακρινόμενος· [d]**διότι**[4]
ἐγὼ ἀπέσταλκα αὐτούς.” Καταβὰς δὲ Πέτρος πρὸς 21
τοὺς ἄνδρας **τοὺς ἀπεσταλμένους ἀπὸ τοῦ Κορνηλίου**
πρὸς αὐτόν[5], εἶπεν, “Ἰδού, ἐγώ εἰμι ὃν ζητεῖτε· τίς
ἡ αἰτία δι' ἣν πάρεστε;” οἱ δὲ **εἶπον**[6], “Κορνήλιος 22
ἑκατοντάρχης, ἀνὴρ δίκαιος καὶ [e]φοβούμενος τὸν
Θεόν, [f]μαρτυρούμενός τε ὑπὸ ὅλου τοῦ ἔθνους τῶν
Ἰουδαίων, [g]ἐχρηματίσθη ὑπὸ [h]ἀγγέλου ἁγίου, μετα-
πέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀκοῦσαι
ῥήματα παρὰ σοῦ.” Εἰσκαλεσάμενος οὖν [i]αὐτοὺς 23
ἐξένισε. Τῇ δὲ ἐπαύριον ὁ **Πέτρος**[7] ἐξῆλθε σὺν
αὐτοῖς, [k]καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ **τῆς**[8] [l]Ἰόππης
συνῆλθον[9] αὐτῷ. **καὶ τῇ**[10] ἐπαύριον **εἰσῆλθον**[11] εἰς 24
τὴν [m]**Καισάρειαν**[12]· ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν
αὐτούς, [13]**συγκαλεσάμενος** τοὺς συγγενεῖς αὐτοῦ καὶ
τοὺς ἀναγκαίους φίλους.
Ὡς δὲ ἐγένετο[14] εἰσελθεῖν τὸν Πέτρον, συναντή- 25
σας αὐτῷ ὁ Κορνήλιος, [n]πεσὼν ἐπὶ τοὺς πόδας
[n o]προσεκύνησεν. ὁ δὲ Πέτρος **αὐτὸν ἤγειρε**[15] λέγων, 26
[p]“Ἀνάστηθι· [p]**κἀγὼ**[16] αὐτὸς ἄνθρωπός εἰμι.” Καὶ 27
συνομιλῶν αὐτῷ εἰσῆλθε, καὶ εὑρίσκει συνεληλυ-
θότας [q]πολλούς, ἔφη τε πρὸς αὐτούς, “Ὑμεῖς ἐπί- 28
στασθε ὡς ἀθέμιτόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ [r]κολλᾶσθαι
ἢ προσέρχεσθαι ἀλλοφύλῳ· [s]**καὶ ἐμοὶ**[17] **ὁ Θεὸς ἔδειξε**[18]
μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον· διὸ 29
καὶ **ἀναντιρρήτως**[19] ἦλθον μεταπεμφθείς. πυνθάνομαι
οὖν, τίνι λόγῳ μετεπέμψασθέ με;” Καὶ ὁ Κορνή- 30
λιος ἔφη, [t]“Ἀπὸ τετάρτης ἡμέρας μέχρι ταύτης τῆς
ὥρας ἤμην **νηστεύων, καὶ**[20] [u]τὴν **ἐννάτην**[21] **ὥραν**[22] προσ-

[a] ver. 8. [b] ver. 7. [c] Vid. Matt. 21. 21. [d] Cf. cap. 15. 7—9. [e] Vid. ver. 2. [f] Vid. cap. 6. 3. [g] Matt. 2. 12, 22. Luc. 2. 26. [h] Vid. Marc. 8. 38. [i] cap. 11. 14. [k] ver. 45. Cf. cap. 11. 12. [l] ver. 5. Vid. cap. 9. 36. [m] Vid. ver. 1. [n] Dan. 2. 46. cap. 16. 29. [o] Vid. Matt. 8. 2. [p] Rev. 19. 10; 22. 8, 9. Cf. cap. 14. 15. [q] ver. 24. [r] cap. 5. 13. Cf. Joan. 4. 9; 18. 28. cap. 11. 3. [s] ver. 14, 15. Cf. cap. 15. 9. [t] ver. 9, 23, 24. [u] Cf. ver. 3.

1 τὸ πνεῦμα αὐτῷ LTTrWH *marg.* (—αὐτῷ WH *text.*). 2 —τρεῖς T[Tr *marg.*], δύο WH *text.*, [τρεῖς] WH *marg.* 3 ζητοῦντές TTr *marg.* WH. 4 ὅτι LTTrWHR. 5 —τοὺς ἀπεσταλμένους ἀπὸ τοῦ Κορνηλίου πρὸς αὐτόν LTTrWHR. 6 εἶπαν LTTrWH. 7 ἀναστὰς LTTrWHR. 8 —τῆς LTTrWH. 9 συνῆλθαν WH. 10 τῇ δὲ LTTrWHR. 11 εἰσῆλθεν LTrWH.R *marg.*, εἰσῆλθαν TTr *marg.* 12 Καισαρίαν TWH. 13 συν- TWH. 14 + τοῦ LTTrWHR. 15 ἤγειρεν αὐτὸν LTTrWH. 16 καὶ ἐγὼ TTrWH. 17 κἀμοὶ LTTrWH. 18 ἔδειξεν ὁ Θεὸς TTr *marg.* 19 ἀναντιρήτως WH. 20 —νηστεύων καὶ LTTrWHR. 21 ἐνάτην LTTrWH. 22 —ὥραν LTTrWHR.

ευχόμενος ἐν τῷ οἴκῳ μου· καὶ ἰδού, [a]ἀνὴρ ἔστη
31 ἐνώπιόν μου [a b]ἐν ἐσθῆτι λαμπρᾷ, καί φησι, 'Κορνή-
λιε, [c]εἰσηκούσθη σου ἡ προσευχή, καὶ αἱ ἐλεημοσύ-
32 ναι σου ἐμνήσθησαν ἐνώπιον τοῦ Θεοῦ. [d]πέμψον
οὖν εἰς Ἰόππην, καὶ μετακάλεσαι Σίμωνα ὃς ἐπικα-
λεῖται Πέτρος· [e]οὗτος ξενίζεται ἐν οἰκίᾳ Σίμωνος
βυρσέως παρὰ θάλασσαν· **ὃς παραγενόμενος λαλήσει**
33 **σοι**[1].' Ἐξαυτῆς οὖν ἔπεμψα πρός σε· [f]σύ τε καλῶς
ἐποίησας παραγενόμενος. νῦν οὖν πάντες ἡμεῖς ἐνώ-
πιον **τοῦ Θεοῦ**[2] πάρεσμεν ἀκοῦσαι πάντα τὰ προστε-
ταγμένα σοι **ὑπὸ τοῦ Θεοῦ**[3]."
34 [g]Ἀνοίξας δὲ Πέτρος τὸ στόμα εἶπεν, "Ἐπ' ἀλη-
θείας καταλαμβάνομαι, ὅτι [h]οὐκ ἔστι **προσωπολήπτης**[4]
35 ὁ Θεός, ἀλλ' ἐν παντὶ ἔθνει [i]ὁ φοβούμενος αὐτὸν καὶ
36 [k]ἐργαζόμενος δικαιοσύνην, [l]δεκτὸς αὐτῷ ἐστί. τὸν
λόγον ὃν[5] ἀπέστειλε τοῖς υἱοῖς Ἰσραήλ, εὐαγγελι-
ζόμενος [m]εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ, ([n]οὗτός ἐστι πάν-
37 των Κύριος·)[6] ὑμεῖς οἴδατε, τὸ[6] γενόμενον ῥῆμα καθ'
ὅλης τῆς Ἰουδαίας, [o]**ἀρξάμενον**[7,8] [p]ἀπὸ τῆς Γαλιλαίας,
38 [p]μετὰ τὸ βάπτισμα ὃ ἐκήρυξεν **Ἰωάννης**[9]· [q]Ἰησοῦν τὸν
ἀπὸ **Ναζαρέτ**[10], ὡς [r]ἔχρισεν αὐτὸν ὁ Θεὸς [s]Πνεύματι
Ἁγίῳ καὶ [t]δυνάμει, ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος
πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβό-
39 λου, ὅτι [u]ὁ Θεὸς ἦν μετ' αὐτοῦ· καὶ [x]ἡμεῖς **ἐσμεν**[11]
μάρτυρες πάντων ὧν ἐποίησεν ἔν τε τῇ χώρᾳ τῶν
Ἰουδαίων καὶ **ἐν**[12] Ἱερουσαλήμ[13]· [y]ὃν **ἀνεῖλον**[14] κρεμά-
40 σαντες ἐπὶ ξύλου. [z]τοῦτον ὁ Θεὸς ἤγειρε[15] τῇ τρίτῃ
41 ἡμέρᾳ, καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι· [a]οὐ παντὶ
τῷ λαῷ, ἀλλὰ [x]μάρτυσι τοῖς [b]προκεχειροτονημένοις
ὑπὸ τοῦ Θεοῦ, ἡμῖν, [b]οἵτινες συνεφάγομεν καὶ συνε-
πίομεν αὐτῷ, μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν·
42 καὶ [c]παρήγγειλεν ἡμῖν κηρύξαι[16] τῷ λαῷ, καὶ [d]διαμαρ-
τύρασθαι, ὅτι **αὐτός**[17] ἐστιν ὁ [e]ὡρισμένος ὑπὸ τοῦ

[a] Vid. cap. 1. 10.
[b] Vid. Jac. 2. 2.
[c] Cf. ver. 4.
[d] ver. 5.
[e] ver. 6.
[f] 2 Pet. 1. 19. 3 Joan. 6.
[g] Vid. Matt. 5. 2.
[h] Deut. 1. 17; 10. 17. Prov. 24. 23. Rom. 3. 11. Jac. 2. 1, 9.
[i] Vid. ver. 2.
[k] Esa. 64. 5.
[l] Luc. 4. 24.
[m] Vid. Luc. 2. 14.
[n] Rom. 10. 12.
[o] Luc. 24. 47 (var. lect.).
[p] Matt. 4. 12. Marc. 1. 14.
[q] cap. 2. 22.
[r] Vid. cap. 4. 26.
[s] cap. 1. 2. Luc. 4. 18.
[t] Rom. 1. 4.
[u] Joan. 3. 2.
[x] ver. 41. Vid. Luc. 24. 48.
[y] cap. 5. 30.
[z] Vid. cap. 2. 24.
[a] Cf. Joan. 14. 22.
[b] Luc. 24. 43. Joan. 21. 12.
[c] cap. 1. 2.
[d] Vid. Luc. 16. 28.
[e] Vid. Luc. 22. 22.

[1] —ὃς παραγενόμενος λαλήσει σοι LTTr[Tr *marg.*]WHR. [2] σου Tr *marg.* [3] ἀπὸ τοῦ κυρίου L, ὑπὸ τοῦ κυρίου TTrWHR. [4] προσωπολήμπτης LTTrWH. [5] —ὃν L[Tr]WH (*non marg.*) R *marg.* (WH *marg.* ὃν ἀπέστειλεν......Χριστοῦ (οὗτός ἐστι πάντων κύριος) ὑμεῖς οἴδατε, τὸ......). [6] WH *text.* Χριστοῦ· οὗτός ἐστιν πάντων κύριος. ὑμεῖς οἴδατε τὸ......, R *habet* (οὗτός ἐστι πάντων Κύριος)—ὑμεῖς οἴδατε, τὸ. [7] ἀρξάμενος L *marg.* TTrWHR. [8] + [γὰρ] L. [9] Ἰωάνης TrWH. [10] Ναζαρέθ ELTTrWHR. [11] —ἐσμεν LTTrWHR. [12] —ἐν TrWH, [ἐν] LTr *marg.* [13] Ἰερουσαλήμ WH. [14] καὶ ἀνεῖλαν LTTrWHR (ἀνεῖλον R). [15] + ἐν T. [16] κηρῦξαι LT. [17] οὗτός L (*non marg.*) WHR.

Θεοῦ [a]κριτὴς [b]ζώντων καὶ νεκρῶν. [c]τούτῳ πάντες οἱ 43
προφῆται μαρτυροῦσιν, [d]ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ
τοῦ ὀνόματος αὐτοῦ [e]πάντα τὸν πιστεύοντα εἰς αὐ-
τόν." Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, 44
[f]**ἐπέπεσε**[1] τὸ Πνεῦμα τὸ Ἅγιον ἐπὶ πάντας τοὺς
ἀκούοντας τὸν λόγον. καὶ ἐξέστησαν [g]οἱ ἐκ περιτο- 45
μῆς πιστοὶ **ὅσοι**[2] **συνῆλθον**[3] τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ
τὰ ἔθνη [h]ἡ δωρεὰ τοῦ **Ἁγίου Πνεύματος**[4] [i]ἐκκέχυται·
[k]ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις, καὶ μεγα- 46
λυνόντων τὸν Θεόν. τότε [l]ἀπεκρίθη ὁ[5] Πέτρος,
[m]"Μήτι τὸ ὕδωρ **κωλῦσαι δύναταί**[6] τις τοῦ μὴ βαπ- 47
τισθῆναι τούτους, [n]οἵτινες τὸ Πνεῦμα τὸ Ἅγιον ἔλα-
βον [o]**καθὼς**[7] καὶ ἡμεῖς;" [p]προσέταξέ **τε**[8] **αὐτοὺς**[9] [q]**βαπ-** 48
τισθῆναι ἐν τῷ ὀνόματι τοῦ Κυρίου[10]. τότε ἠρώτησαν
αὐτὸν ἐπιμεῖναι ἡμέρας τινάς.

ἨΚΟΥΣΑΝ δὲ οἱ ἀπόστολοι καὶ [r]οἱ ἀδελφοὶ οἱ 11
ὄντες κατὰ τὴν Ἰουδαίαν, ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο
τὸν λόγον τοῦ Θεοῦ. **καὶ ὅτε**[11] [s]ἀνέβη Πέτρος εἰς 2
Ἱεροσόλυμα[12], διεκρίνοντο πρὸς αὐτὸν [g][t]οἱ ἐκ περι-
τομῆς, λέγοντες, "Ὅτι [u]πρὸς ἄνδρας ἀκροβυστίαν 3
ἔχοντας **εἰσῆλθες**[13], καὶ [x]**συνέφαγες**[14] αὐτοῖς." Ἀρ- 4
ξάμενος δὲ ὁ[15] Πέτρος [y]ἐξετίθετο αὐτοῖς [z]καθεξῆς
λέγων, [a]"Ἐγὼ ἤμην ἐν πόλει [b]Ἰόππῃ προσευ- 5
χόμενος, καὶ εἶδον ἐν ἐκστάσει [c]ὅραμα, καταβαῖνον
σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς
καθιεμένην ἐκ τοῦ οὐρανοῦ, καὶ ἦλθεν **ἄχρις**[16] ἐμοῦ.
εἰς ἣν ἀτενίσας κατενόουν, καὶ εἶδον τὰ τετρά- 6
ποδα τῆς γῆς καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ
πετεινὰ τοῦ οὐρανοῦ. ἤκουσα δὲ[17] φωνῆς λεγούσης 7
μοι, 'Ἀναστάς, Πέτρε, θῦσον καὶ φάγε.' εἶπον δέ, 8
[d]'Μηδαμῶς, Κύριε· ὅτι **πᾶν**[18] κοινὸν ἢ ἀκάθαρτον οὐδέ-
ποτε εἰσῆλθεν εἰς τὸ στόμα μου.' ἀπεκρίθη δέ **μοι**[19] 9

[a] cap. 17. 31; 24. 25. Vid. Joan. 5. 22. [b] 1 Tim. 4. 1. 1 Pet. 4. 5. Cf. 1 Thess. 4. 16. [c] cap. 26. 22. [d] Vid. cap. 2. 38. [e] cap. 11. 17; 13. 39; 15. 9. Rom. 9. 33; 10. 11. Gal. 3. 22. [f] cap. 11. 15; 15. 8. [g] ver. 23. cap. 11. 2. [h] cap. 2. 38. [i] Cf. cap. 2. 17. [k] cap. 19. 6. Vid. Marc. 16. 17. [l] Vid. cap. 3. 12. [m] cap. 8. 36. [n] cap. 11. 17; 15. 8. Cf. cap. 8. 16. [o] cap. 2. 4. [p] Cf. 1 Cor. 1. 14—17. [q] cap. 2. 38 (var. lect.); cap. 8. 16; 19. 5. [r] Vid. cap. 9. 30. [s] Luc. 2. 4. [t] Gal. 2. 12. Col. 4. 11. Tit. 1. 10. [u] Cf. cap. 10. 28. [x] Vid. Luc. 15. 2. Cf. Marc. 2. 16. [y] cap. 18. 26; 28. 23. [z] cap. 18. 23. Luc. 1. 3. [a] ver. 5—14, cap. 10. 9—32. [b] ver. 13. Vid. cap. 9. 36. [c] Vid. cap. 9. 10. [d] Vid. cap. 10. 14.

[1] ἔπεσε (*sic*) L. [2] οἱ LWH (*non marg.*). [3] συνῆλθαν TTrWH. [4] πνεύματος τοῦ ἁγίου LTr *marg.* WH. [5] —ὁ LTTrWH. [6] δύναται κωλῦσαι LTTrWH. [7] ὡς LTTrWHR. [8] δὲ TTrWHR. [9] αὐτοῖς T. [10] ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ βαπτισθῆναι LTTrWHR. [11] ὅτε δὲ LTTrWHR. [12] Ἱερουσαλήμ LTTr, Ἰερουσαλήμ WH. [13] εἰσῆλθες *transferunt* LTTrWH *in locum post* Ὅτι (εἰσῆλθεν Tr *text.* WH *text.*, εἰσῆλθες Tr *marg.* WH *marg.*). [14] συνέφαγεν Tr (*non marg.*) WH (*non marg.*). [15] —ὁ LTTrWH. [16] ἄχρι LTTrWH. [17] + καὶ LTTrWHR. [18] —πᾶν LTTrWHR. [19] —μοι LTTrWHR.

φωνὴ ἐκ δευτέρου[1] ἐκ τοῦ οὐρανοῦ, [a]‘Ἃ ὁ Θεὸς ἐκαθά-
10 ρισε[2], σὺ μὴ κοίνου.’ τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ
11 πάλιν ἀνεσπάσθη[3] ἅπαντα εἰς τὸν οὐρανόν. καὶ ἰδού,
ἐξαυτῆς τρεῖς ἄνδρες ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ
12 ἤμην[4], ἀπεσταλμένοι ἀπὸ [b]Καισαρείας[5] πρός με. εἶπε
δέ μοι τὸ πνεῦμα[6] συνελθεῖν αὐτοῖς, [c]μηδὲν διακρινό-
μενον[7]· ἦλθον δὲ σὺν ἐμοὶ καὶ [d]οἱ ἓξ ἀδελφοὶ οὗτοι,
13 καὶ εἰσήλθομεν εἰς τὸν οἶκον τοῦ ἀνδρός, ἀπήγγειλέ
τε[8] ἡμῖν πῶς εἶδε [e]τὸν ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ
σταθέντα καὶ εἰπόντα αὐτῷ[9], [f]‘Ἀπόστειλον εἰς Ἰόπ-
πην ἄνδρας[10], καὶ μετάπεμψαι Σίμωνα τὸν ἐπικαλού-
14 μενον Πέτρον, [g]ὃς λαλήσει ῥήματα πρός σε, ἐν οἷς
15 σωθήσῃ σὺ καὶ [h]πᾶς ὁ οἶκός σου.’ ἐν δὲ τῷ ἄρξασθαί
με λαλεῖν, [i]ἐπέπεσε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπ’ αὐτούς,
16 [k]ὥσπερ καὶ ἐφ’ ἡμᾶς ἐν ἀρχῇ. ἐμνήσθην δὲ τοῦ ῥή-
ματος[11] Κυρίου, ὡς ἔλεγεν, ‘Ἰωάννης[12] μὲν ἐβάπτισεν
ὕδατι, [l]ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ.’
17 Εἰ οὖν [m]τὴν ἴσην δωρεὰν [n]ἔδωκεν αὐτοῖς ὁ Θεὸς ὡς καὶ
ἡμῖν, [o]πιστεύσασιν ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστόν,
18 ἐγὼ δὲ[13] τίς ἤμην [p]δυνατὸς κωλῦσαι τὸν Θεόν;” Ἀκού-
σαντες δὲ ταῦτα [q]ἡσύχασαν, καὶ [q]ἐδόξαζον[14] τὸν Θεόν,
λέγοντες, “Ἄραγε[15] καὶ τοῖς ἔθνεσιν ὁ Θεὸς [r]τὴν
μετάνοιαν ἔδωκεν εἰς ζωήν[16].”
19 ΟΙ μὲν οὖν [s]διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς
γενομένης ἐπὶ Στεφάνῳ[17], διῆλθον ἕως [t]Φοινίκης καὶ
[u]Κύπρου καὶ [x]Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον
20 εἰ μὴ μόνον Ἰουδαίοις. ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες
[u]Κύπριοι καὶ [y]Κυρηναῖοι, οἵτινες εἰσελθόντες[18] εἰς Ἀν-
τιόχειαν, ἐλάλουν[19] πρὸς τοὺς [z]Ἑλληνιστὰς[20] [a]εὐαγγε-
21 λιζόμενοι τὸν Κύριον Ἰησοῦν. καὶ [b]ἦν χεὶρ Κυρίου
μετ’ αὐτῶν· πολύς τε ἀριθμὸς[21] πιστεύσας [c]ἐπέστρεψεν

[a] Cf. Marc. 7. 19.
[b] Vid. cap. 8. 40.
[c] cap. 15. 9.
[d] Cf. cap. 10. 23, 45.
[e] Vid. cap. 8. 26.
[f] ver. 5.
[g] cap. 10. 6 (var. lect.), 22.
[h] cap. 10. 2; 16. 15, 31—34; 18. 8.
[i] cap. 10. 44.
[k] Vid. cap. 2. 4.
[l] Vid. cap. 1. 5. Cf. cap. 19. 2.
[m] Vid. cap. 2. 38.
[n] Vid. cap. 10. 47.
[o] Vid. cap. 10. 48. Cf. Eph. 1. 13.
[p] Cf. cap. 5. 39.
[q] cap. 21. 20 (var. lect.). Vid. Matt. 9. 8.
[r] Cf. 2 Cor. 7. 10.
[s] Vid. cap. 8. 1.
[t] cap. 15. 3; 21. 2.
[u] ver. 20. Vid. cap. 4. 36.
[x] ver. 22, 26, 27. Vid. cap. 13. 1.
[y] Vid. cap. 2. 10.
[z] Vid. cap. 6. 1.
[a] Vid. cap. 5. 42.
[b] Luc. 1. 66.
[c] cap. 9. 35, (42).

[1] ἐκ δευτέρου φωνὴ Tr *marg.* WH (*non marg.*). [2] ἐκαθέρισεν Tr. [3] ἀνεσπάσθη πάλιν LTTrWH. [4] ἦμεν LTTr (*non marg.*) WH (*non marg.*) R. [5] Καισαρίας TWH. [6] τὸ πνεῦμά μοι LTTrWH. [7] διακρίναντα LTTrWHR. [8] δὲ LTTrWHR. [9] — αὐτῷ LTTrWHR. [10] — ἄνδρας LTTrWHR. [11] + τοῦ LTTrWH. [12] Ἰωάνης TrWH. [13] — δὲ LTTrWHR. [14] ἐδόξασαν LTTrWHR. [15] Ἄρα LTTrWHR. [16] εἰς ζωὴν ἔδωκεν LTTrWHR. [17] Στεφάνου LTr *marg.* [18] ἐλθόντες LTTrWHR. [19] + καὶ LTTrWHR. [20] Ἕλληνας LTTrR (*non marg.*: WH *marg.* Ap.). [21] + ὁ LTTrWHR.

ἐπὶ τὸν Κύριον. Ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς 22
ἐκκλησίας τῆς[1] ἐν Ἱεροσολύμοις[2] περὶ αὐτῶν· καὶ
ἐξαπέστειλαν [a]Βαρνάβαν **διελθεῖν**[3] ἕως [b]Ἀντιοχείας.
ὃς παραγενόμενος καὶ ἰδὼν [c]τὴν χάριν[4] τοῦ Θεοῦ 23
ἐχάρη, καὶ [d]παρεκάλει πάντας [e]τῇ προθέσει τῆς καρ-
δίας [f]προσμένειν[5] τῷ Κυρίῳ· ὅτι ἦν ἀνὴρ [g]ἀγαθὸς καὶ 24
[h]πλήρης Πνεύματος Ἁγίου καὶ [h]πίστεως. καὶ [i]προσε-
τέθη ὄχλος [k]ἱκανὸς τῷ Κυρίῳ. Ἐξῆλθε δὲ εἰς [l]Ταρσὸν 25
σαν. ἔπειτα ὤφθη [u]Ἰακώβῳ, εἶτα[11] [x]τοῖς ἀποστόλοις 7
πᾶσιν. ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, 8
[y]ὤφθη κἀμοί. ἐγὼ γάρ εἰμι [z]ὁ ἐλάχιστος τῶν ἀπο- 9
στόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος,
[a]διότι ἐδίωξα [b]τὴν ἐκκλησίαν τοῦ Θεοῦ. χάριτι δὲ 10
Θεοῦ εἰμὶ ὅ εἰμι, καὶ [c]ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ
κενὴ ἐγενήθη, ἀλλὰ [d]περισσότερον αὐτῶν πάντων
ἐκοπίασα· [e]οὐκ ἐγὼ δέ, ἀλλ'[12] ἡ χάρις τοῦ Θεοῦ ἡ[13]
σὺν ἐμοί. εἴτε οὖν ἐγώ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσο- 11
μεν, καὶ οὕτως ἐπιστεύσατε. Εἰ δὲ Χριστὸς κηρύσ- 12
σεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται[14], πῶς λέγουσί τινες ἐν
ὑμῖν[15] [f]ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; εἰ δὲ ἀνά- 13
στασις νεκρῶν οὐκ ἔστιν, [g]οὐδὲ Χριστὸς ἐγήγερται·
εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα[16] [h]τὸ κήρυγμα 14
ἡμῶν, κενὴ δὲ[17] καὶ ἡ πίστις ὑμῶν[18]. εὑρισκόμεθα δὲ 15
καὶ ψευδομάρτυρες τοῦ Θεοῦ, ὅτι ἐμαρτυρήσαμεν
κατὰ τοῦ Θεοῦ [i]ὅτι ἤγειρε τὸν Χριστόν, ὃν οὐκ ἤγει-
ρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται· εἰ γὰρ νεκροὶ 16
οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται· [g]εἰ δὲ Χρισ- 17

[1] μὴ κωλύετε (+ [ἐν] LTr *marg.*) γλώσσαις LTTrWHR. [2] + δὲ LTTrWHR. [3] εὐαγγελισάμην L, *forsan errore.* [4] *Deest*, *in* TTr.R *marg.* [5] εἰκῇ ELWH. [6] ὑμῶν B. [7] ἡμέρᾳ τῇ τρίτῃ LTTrWHR. [8] ἔπειτα TTr *marg.* WH *marg.* [9] πλείονες LTTrWH. [10] —καὶ LTTrWHR. [11] ἔπειτα L *marg.* TTr *marg.* WH *marg.* [12] ἀλλὰ LTTrWH. [13] —ἡ LTTrWH (*non marg.*) R. [14] ἐγήγερται ἐκ νεκρῶν T *errore.* [15] (ν) ἐν ὑμῖν τινὲς LTTrWHR. [16] + καὶ T[LTr *marg.*]WH *marg.* [17] —δὲ LTTrWHR. [18] ἡμῶν WH (*non marg.*) R *marg.*

[a] Cf. ver. 31—33. [b] Vid. Rom. 13. 13. [c] Col. 2. 5. [d] cap. 12. 3. 2 Cor. 8. 1. Gal. 1. 11. Cf. Phil. 1. 22. [e] Rom. 5. 2. [f] Vid. cap. 1. 18. [g] cap. 11. 2. [h] Gal. 3. 4. Cf. ver. 14, 17. [i] Vid. Rom. 13. 4. [k] Vid. cap. 11. 23. [l] Joan. 1. 29. Gal. 1. 4. Heb. 5. 1, 3. [m] Vid. Matt. 26. 24. [n] Joan. 20. 9. [o] Vid. Act. 1. 3. [p] Vid. cap. 1. 12. Luc. 24. 34. [q] Cf. Marc. 16. 14. [r] Cf. Matt. 28. 17. Act. 10. 41. [s] Vid. Joan. 21. 22. [t] ver. 18, 20, 51. Vid. cap. 7. 39. Matt. 27. 52. [u] Vid. Act. 12. 17. [x] Luc. 24. 50. [y] cap. 9. 1. Cf. Act. 9. 3. Vid. Act. 22. 14. [z] Eph. 3. 8. Cf. 2 Cor. 12. 11. 1 Tim. 1. 13—16. [a] Vid. Act. 8. 3. [b] Vid. cap. 10. 32. [c] Vid. Rom. 12. 3. [d] 2 Cor. 11. 23; 12. 11. Col. 1. 29. [e] Cf. 2 Cor. 3. 5. Phil. 2. 13. [f] Act. 23. 8. 2 Tim. 2. 18. [g] 1 Thess. 4. 14. [h] Vid. cap. 1. 21. [i] Vid. Act. 2. 21.

τὸς οὐκ ἐγήγερται, [a]ματαία ἡ πίστις ὑμῶν[1]· [b]ἔτι
18 ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἄρα καὶ οἱ [c]κοιμηθέν-
19 τες ἐν Χριστῷ, ἀπώλοντο. εἰ [d]ἐν τῇ ζωῇ ταύτῃ
ἠλπικότες ἐσμὲν ἐν Χριστῷ[2] μόνον, ἐλεεινότεροι πάν-
20 των ἀνθρώπων ἐσμέν. Νυνὶ δὲ [e]Χριστὸς ἐγήγερται
ἐκ νεκρῶν, [f]ἀπαρχὴ τῶν [c]κεκοιμημένων **ἐγένετο**[3].
21 ἐπειδὴ γὰρ [g]δι' ἀνθρώπου ὁ[4] θάνατος, καὶ [h]δι' ἀνθρώ-
22 που ἀνάστασις νεκρῶν. [g]ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ
πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ
23 πάντες ζωοποιηθήσονται. ἕκαστος δὲ ἐν τῷ ἰδίῳ
τάγματι· [f]ἀπαρχὴ Χριστός, [i]ἔπειτα οἱ[5] Χριστοῦ ἐν
24 [k]τῇ παρουσίᾳ αὐτοῦ· εἶτα τὸ τέλος, ὅταν **παραδῷ**[6]
[l]τὴν βασιλείαν [m]τῷ Θεῷ καὶ πατρί, ὅταν καταργήσῃ
25 πᾶσαν [n]ἀρχὴν καὶ πᾶσαν [n]ἐξουσίαν καὶ δύναμιν· δεῖ
γὰρ αὐτὸν βασιλεύειν, **ἄχρις**[7] οὗ [o]**ἂν**[8] θῇ πάντας
26 τοὺς ἐχθροὺς[9] ὑπὸ τοὺς πόδας αὐτοῦ. ἔσχατος
27 ἐχθρὸς [p]καταργεῖται ὁ θάνατος. [q]'Πάντα' γὰρ 'ὑπέ-
ταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ·' ὅταν δὲ εἴπῃ **ὅτι**[10]
'πάντα ὑποτέτακται' (δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαν-
28 τος αὐτῷ τὰ πάντα),[11] [q]ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ
πάντα, τότε **καὶ**[12] αὐτὸς ὁ υἱὸς ὑποταγήσεται τῷ
ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς [r]**τὰ**[13] πάντα
29 ἐν πᾶσιν[14]. Ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι[15]
ὑπὲρ τῶν νεκρῶν, εἰ [s]ὅλως νεκροὶ οὐκ ἐγείρονται;
30 τί καὶ βαπτίζονται ὑπὲρ **τῶν νεκρῶν**[16]; τί καὶ ἡμεῖς
31 [t]κινδυνεύομεν πᾶσαν ὥραν; [u]καθ' ἡμέραν [x]ἀποθνήσκω,
νὴ τὴν **ἡμετέραν**[17] [y]καύχησιν[18], ἣν ἔχω ἐν Χριστῷ
32 Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. εἰ [z]κατὰ ἄνθρωπον [a]ἐθηριο-
μάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος,[19] εἰ νεκροὶ οὐκ
ἐγείρονται;[19] [b]φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀπο-
33 θνήσκομεν. [c]μὴ πλανᾶσθε· [d]'φθείρουσιν ἤθη **χρῆσθ'**[20]

[a] ver. 2.
[b] Cf. Rom. 4. 25.
[c] ver. 6, 20, 51. Cf. 1 Thess. 4. 14.
[d] Cf. cap. 4. 9.
[e] Cf. 1 Pet. 1. 3.
[f] ver. 23. Vid. Act. 26. 23.
[g] Rom. 5. 12.
[h] Cf. Joan. 11. 25.
[i] Vid. Luc. 14. 14. Cf. 1 Thess. 4. 16.
[k] Vid. Matt. 24. 3.
[l] Dan. 7. 14, 27.
[m] Eph. 5. 20. Jac. 1. 27.
[n] Vid. Luc. 20. 20. Rom. 8. 38.
[o] Cf. Ps. 110. 1. Matt. 22. 44.
[p] 2 Tim. 1. 10. Cf. Rev. 20. 14; 21. 4.
[q] Ps. 8. 6. Eph. 1. 22. Heb. 2. 8. Vid. Matt. 11. 27 & 28. 18.
[r] Phil. 3. 21. Vid. cap. 12. 6.
[s] Vid. Matt. 5. 34.
[t] Cf. 2 Cor. 11. 26.
[u] Luc. 9. 23.
[x] Cf. Rom. 8. 36. 2 Cor. 4. 10, 11.
[y] 1 Thess. 2. 19.
[z] Vid. Rom. 3. 5.
[a] Vid. Act. 18. 19. Cf. 2 Cor. 1. 8.
[b] Esa. 22. 13. Luc. 12. 19. Cf. Esa. 56. 12.
[c] Jac. 1. 16.
[d] Cf. cap. 5. 6.

[1] + [ἐστίν] LWH. [2] ἐν Χριστῷ ἠλπικότες ἐσμὲν LTTrWHR. [3] —ἐγένετο LTTrWHR. [4] —ὁ LTTrWHR. [5] + τοῦ LTTrWHR. [6] παραδιδοῖ LTTrR (*at* παραδιδῷ L *marg.* Tr *marg.* WH). [7] ἄχρι TWH. [8] —ἂν LTTrWHR. [9] + [αὐτοῦ] L. [10] [ὅτι] L, —ὅτι WH *marg.* [11] . *pro* , WH.R *text.* (*non marg.*). [12] —καὶ [L]Tr[WH]. [13] —τὰ LTrWHR. [14] πᾶσι SE. [15] οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν; εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, LTWHR, *at* οἱ βαπτιζόμενοι. ὑπὲρ τῶν νεκρῶν εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται· Tr. [16] αὐτῶν LTTrWHR. [17] ὑμετέραν ELTTrWHR. [18] + , ἀδελφοί LTTrWHR. [19] ; εἰ νεκροὶ οὐκ ἐγείρονται, LTTrWHR (*non marg.*). [20] *Sic* SB, *at* χρήσθ' L, χρηστὰ TTrWH.

ὁμιλίαι κακαί.' [a]ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτά- 34
νετε· [b]ἀγνωσίαν γὰρ Θεοῦ τινὲς ἔχουσι· [c]πρὸς ἐντρο-
πὴν ὑμῖν **λέγω**[1].
[d]**'Αλλ'**[2] ἐρεῖ τις, [e]"Πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ 35
δὲ σώματι ἔρχονται;" [f]**ἄφρον**[3], σὺ ὃ σπείρεις, οὐ 36
ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ· καὶ ὃ σπείρεις, οὐ τὸ 37
σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν [g]κόκ-
κον, [h]εἰ τύχοι, σίτου ἤ τινος τῶν λοιπῶν· ὁ δὲ Θεὸς 38
αὐτῷ **δίδωσι**[4] σῶμα [i]καθὼς ἠθέλησε, καὶ ἑκάστῳ τῶν
σπερμάτων **τὸ**[5] ἴδιον σῶμα. οὐ πᾶσα σὰρξ, ἡ αὐτὴ 39
σάρξ· ἀλλὰ ἄλλη μὲν **σὰρξ**[6] ἀνθρώπων, ἄλλη δὲ
σὰρξ κτηνῶν, ἄλλη δὲ[7] **ἰχθύων, ἄλλη δὲ πτηνῶν**[8].
καὶ σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια· **ἀλλ'**[9] 40
ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν
ἐπιγείων. ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, 41
καὶ ἄλλη δόξα ἀστέρων· [k]ἀστὴρ γὰρ ἀστέρος διαφέ-
ρει ἐν δόξῃ. [k]οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. 42
σπείρεται ἐν [l]φθορᾷ, ἐγείρεται ἐν [m]ἀφθαρσίᾳ· σπεί- 43
ρεται ἐν ἀτιμίᾳ, ἐγείρεται [n]ἐν δόξῃ· σπείρεται ἐν
ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· σπείρεται σῶμα 44
[o]ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν. [10]ἔστι σῶμα
ψυχικόν, **καὶ ἔστι**[11] **σῶμα**[12] πνευματικόν. οὕτω καὶ 45
γέγραπται, [p]"Ἐγένετο ὁ πρῶτος **ἄνθρωπος**[13] Ἀδὰμ εἰς
ψυχὴν ζῶσαν·' [q]ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα [r]ζωο-
ποιοῦν. ἀλλ' οὐ πρῶτον τὸ πνευματικόν, ἀλλὰ τὸ 46
ψυχικόν, ἔπειτα τὸ πνευματικόν. [s]ὁ πρῶτος ἄνθρω- 47
πος ἐκ γῆς, χοϊκός· [t]ὁ δεύτερος ἄνθρωπος, **ὁ Κύριος**[14]
ἐξ οὐρανοῦ. οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί· 48
καὶ οἷος ὁ ἐπουράνιος, [u]τοιοῦτοι καὶ οἱ ἐπουράνιοι·
καὶ [x]καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, **φορέ-** 49
σομεν[15] καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.
Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι [y]σὰρξ καὶ αἷμα [z]βασι- 50

[a] Joel 1. 5 (Septuagint.). Rom. 13. 11. Cf. 1 Thess. 5. 6, 8.
[b] Cf. 1 Thess. 4. 5.
[c] cap. 6. 5. Cf. cap. 4. 14.
[d] Rom. 9. 19.
[e] Cf. Ezek. 37. 3.
[f] Luc. 11. 40; 12. 20.
[g] Joan. 12. 24.
[h] cap. 14. 10. Cf. cap. 16. 6.
[i] cap. 12. 11.
[k] Dan. 12. 3. Cf. Matt. 13. 43.
[l] ver. 50. Rom. 8. 21. Gal. 6. 8. Col. 2. 22. 2 Pet. 1. 4; 2. 12, 19.
[m] ver. 53, 54. Vid. Rom. 2. 7.
[n] Phil. 3. 21. Col. 3. 4.
[o] Vid. Jac. 3. 15.
[p] Gen. 2. 7.
[q] Cf. Rom. 5. 14. Cf. Rom. 8. 2, 10.
[r] Joan. 5. 21. Cf. Joan. 6. 33, 39, 40, 53, 57.
[s] Joan. 3. 31. Cf. Gen. 3. 19.
[t] Vid. Joan. 3. 13.
[u] Cf. ver. 51, 52. Phil. 3. 20, 21.
[x] Gen. 5. 3.
[y] Vid. Matt. 16. 17. Cf. Joan. 3. 3.
[z] Vid. cap. 6. 10.

[1] λαλῶ L (*non marg.*) TTrWHR. [2] ἀλλὰ TTrWH. [3] ἄφρων LTTrWHR. [4] δίδωσιν αὐτῷ LTTrWHR. [5] —τὸ LTTrWHR. [6] —σὰρξ LTTrWHR. [7] + σὰρξ TTr[L]WHR. [8] πτηνῶν, ἄλλη δὲ ἰχθύων LTTrWHR. [9] ἀλλὰ LTTrWH. [10] + εἰ LTTrWHR. [11] ἔστιν καὶ LTTrWHR. [12] —σῶμα LTTrWHR. [13] [ἄνθρωπος] L. [14] —, ὁ Κύριος LTTrWHR. [15] φορέσωμεν LTTrWH (*non marg.*) R *marg.*

λείαν Θεοῦ κληρονομῆσαι οὐ **δύνανται**[1], οὐδὲ [a] ἡ φθορὰ
51 τὴν [a] ἀφθαρσίαν **κληρονομεῖ**[2]. ἰδοὺ [b] μυστήριον ὑμῖν
λέγω· [c] Πάντες **μὲν**[3] οὐ [d] **κοιμηθησόμεθα**[4]· πάντες δὲ
52 [e] ἀλλαγησόμεθα, ἐν ἀτόμῳ, ἐν **ῥιπῇ**[5] ὀφθαλμοῦ, ἐν τῇ
ἐσχάτῃ σάλπιγγι· [f] σαλπίσει γάρ, καὶ [g] οἱ νεκροὶ **ἐγερ-**
53 **θήσονται**[6] ἄφθαρτοι, καὶ ἡμεῖς [e] ἀλλαγησόμεθα. δεῖ
γὰρ [h] τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι [a] ἀφθαρσίαν, καὶ
54 [h] τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. ὅταν δὲ **τὸ**
φθαρτὸν τοῦτο ἐνδύσηται [a] **ἀφθαρσίαν, καὶ**[7] τὸ θνητὸν
τοῦτο ἐνδύσηται[8] ἀθανασίαν, τότε γενήσεται ὁ λόγος
ὁ γεγραμμένος, [i] 'Κατεπόθη ὁ θάνατος [k] εἰς νῖκος.'
55 [l] 'Ποῦ σου, θάνατε, τὸ **κέντρον**[9]; ποῦ σου, **ᾅδη**[10], τὸ
56 **νῖκος**[9];' Τὸ δὲ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία· [m] ἡ
57 δὲ δύναμις τῆς ἁμαρτίας, ὁ νόμος· [n] τῷ δὲ Θεῷ χάρις
[o] τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
58 Χριστοῦ. [p] Ὥστε, ἀδελφοί μου ἀγαπητοί, [q] ἑδραῖοι
γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν [r] τῷ ἔργῳ
τοῦ Κυρίου πάντοτε, εἰδότες ὅτι [s] ὁ κόπος ὑμῶν οὐκ
ἔστι κενὸς [t] ἐν Κυρίῳ.

16 ΠΕΡΙ δὲ τῆς [u] λογίας τῆς εἰς [x] τοὺς ἁγίους, ὥσ-
περ διέταξα ταῖς ἐκκλησίαις [y] τῆς Γαλατίας, οὕτω
2 καὶ ὑμεῖς ποιήσατε. [z] κατὰ μίαν **σαββάτων**[11] ἕκαστος
ὑμῶν παρ' ἑαυτῷ τιθέτω, θησαυρίζων [a] ὅ τι **ἂν**[12] **εὐοδῶ-**
ται[13]· [b] ἵνα μή, ὅταν ἔλθω, τότε [u] λογίαι γίνωνται.
3 ὅταν δὲ παραγένωμαι, [c] οὓς **ἐὰν**[14] [d] δοκιμάσητε, δι' ἐπι-
στολῶν[15] τούτους πέμψω ἀπενεγκεῖν [e] τὴν χάριν ὑμῶν
4 εἰς Ἱερουσαλήμ[16]· ἐὰν δὲ **ᾖ ἄξιον**[17] τοῦ κἀμὲ πορεύ-
5 εσθαι, σὺν ἐμοὶ πορεύσονται. [f] Ἐλεύσομαι δὲ πρὸς
ὑμᾶς, ὅταν [g] Μακεδονίαν διέλθω· Μακεδονίαν γὰρ
6 διέρχομαι· πρὸς ὑμᾶς δὲ [h] τυχὸν **παραμενῶ**[18], ἢ **καὶ**[19]
παραχειμάσω, ἵνα ὑμεῖς με [i] προπέμψητε οὗ ἐὰν
7 πορεύωμαι. [k] οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν·
ἐλπίζω **δὲ**[20] χρόνον τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς, [l] ἐὰν ὁ

[1] δύναται TTr (*non marg.*) WH. [2] κληρονομήσει L. [3] —μὲν TTr[L]WHR. [4] κοιμηθησόμεθα, οὐ LTr *marg.* [5] ῥοπῇ L *marg.* [6] ἀναστήσονται L. [7] —τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν, καὶ WH (*non marg.*) R *marg.* [8] + [τὴν] WH. [9] κέντρον *et* νῖκος *transferunt* L (*non marg.*) TTrWHR. [10] θάνατε LTTrWHR. [11] σαββάτου LTTrWHR. [12] ἐὰν TrWH. [13] εὐοδωθῇ WH *marg.* [14] ἂν LTr. [15] δοκιμάσητε δι' ἐπιστολῶν, WH.R (*non marg.*), *at* δοκιμάσητε, R *marg.*, ἐπιστολῶν, SBE. [16] Ἰερουσαλήμ WH. [17] ἄξιον ᾖ LTrWHR. [18] καταμενῶ WH. [19] —καὶ WH (*non marg.*). [20] γὰρ LTTrWHR.

[a] ver. 42. [b] Vid. cap. 13. 2. [c] 1 Thess. 4. 15, 17. [d] ver. 6, 18, 20. Vid. cap. 7. 39. [e] ver. 49, 53. [f] Vid. Matt. 24. 31. [g] Cf. ver. 23. Luc. 20. 36. Joan. 5. 29. [h] Cf. 2 Cor. 5. 2, 4. [i] Esa. 25. 8. Cf. Heb. 2. 14, 15. Rev. 20. 14; 21. 4. [k] Matt. 12. 20. [l] Ose. 13. 14. [m] Cf. Rom. 7. 8. [n] Cf. Rom. 7. 25 (var. lect.). [o] Rom. 8. 37. Cf. 1 Joan. 5. 4. [p] 2 Pet. 3. 14. [q] Vid. cap. 7. 37. [r] Jer. 48. 10. Joan. 6. 29. cap. 16. 10. [s] cap. 3. 8. [t] Vid. cap. 7. 39. [u] ver. 2. Cf. Rom. 15. 25, 26. Vid. Act. 24. 17. [x] Rom. 12. 13. [y] Vid. Act. 16. 6. [z] Act. 20. 7. [a] Vid. Rom. 1. 10. Cf. 2 Cor. 8. 3, 11. [b] 2 Cor. 9. 3. [c] Cf. 2 Cor. 8. 18, 19. [d] Rom. 2. 18. [e] 2 Cor. 8. 4, 6, 19; 9. 8? [f] Act. 19. 21. Cf. cap. 4. 19. [g] Vid. Act. 16. 9. [h] Vid. cap. 15. 37. [i] ver. 11. Vid. Act. 15. 3. [k] Cf. 2 Cor. 1. 15, 16. [l] Vid. Act. 18. 21.

Κύριος ἐπιτρέπῃ[1]. ἐπιμενῶ δὲ ἐν [a]Ἐφέσῳ ἕως τῆς 8
[b]Πεντηκοστῆς· [c]θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ 9
ἐνεργής, καὶ [d]ἀντικείμενοι πολλοί.
[e]Ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα ἀφόβως γέ- 10
νηται πρὸς ὑμᾶς· [f]τὸ γὰρ ἔργον Κυρίου[g] ἐργάζεται[2] ὡς
καὶ ἐγώ[3]. [h]μή τις οὖν αὐτὸν ἐξουθενήσῃ· [i]προπέμψατε 11
δὲ αὐτὸν [k]ἐν εἰρήνῃ, ἵνα ἔλθῃ πρός με[4]· ἐκδέχομαι γὰρ
αὐτὸν μετὰ τῶν ἀδελφῶν. Περὶ δὲ [l]Ἀπολλὼ τοῦ 12
ἀδελφοῦ, πολλὰ παρεκάλεσα αὐτὸν ἵνα ἔλθῃ πρὸς
ὑμᾶς μετὰ τῶν ἀδελφῶν· καὶ πάντως οὐκ ἦν [m]θέλημα
ἵνα νῦν ἔλθῃ, ἐλεύσεται δὲ ὅταν εὐκαιρήσῃ. [n]Γρηγο- 13
ρεῖτε, [o]στήκετε ἐν τῇ πίστει, [p]ἀνδρίζεσθε,[5] [q]κραταιοῦ-
σθε. [r]πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω. 14
Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί· οἴδατε [s]τὴν οἰκίαν 15
Στεφανᾶ, [t]ὅτι ἐστὶν ἀπαρχὴ τῆς [u]Ἀχαΐας[6], καὶ εἰς
[x]διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς· [y]ἵνα καὶ ὑμεῖς 16
ὑποτάσσησθε τοῖς τοιούτοις, καὶ παντὶ τῷ συνερ-
γοῦντι καὶ κοπιῶντι. Χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ 17
Στεφανᾶ καὶ Φουρτουνάτου[7] καὶ Ἀχαϊκοῦ, ὅτι [z]τὸ
ὑμῶν[8] ὑστέρημα οὗτοι[9] ἀνεπλήρωσαν· [a]ἀνέπαυσαν 18
γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν. [b]ἐπιγινώσκετε οὖν
τοὺς τοιούτους. Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς 19
[c]Ἀσίας· ἀσπάζονται[10] ὑμᾶς [d]ἐν Κυρίῳ πολλὰ [e]Ἀκύλας
καὶ [e]Πρίσκιλλα[11], σὺν [f]τῇ κατ᾽ οἶκον αὐτῶν ἐκκλησίᾳ·
ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες. [g]ἀσπάσασθε 20
ἀλλήλους ἐν φιλήματι ἁγίῳ.
[h]Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου· [i]εἴ τις οὐ φιλεῖ 21, 22
τὸν Κύριον Ἰησοῦν Χριστόν[12], ἤτω [k]ἀνάθεμα. [l]μαρὰν[13]
ἀθά. ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ[14] μεθ᾽ ὑμῶν. [m]ἡ 23, 24
ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. ἀμήν.[15]

Πρὸς Κορινθίους πρώτη ἐγράφη ἀπὸ Φιλίππων διὰ Στεφανᾶ, καὶ Φουρτουνάτου, καὶ Ἀχαϊκοῦ, καὶ Τιμοθέου.[16]

[1] ἐπιτρέψῃ LTTrWHR. [2] ἐγάζεται S *errore*. [3] ἐγώ WH, κἀγώ LTTrWH *marg.* [4] ἐμέ LTr. [5] + [καὶ] L. [6] Ἀχαίας WH. [7] Φορτουνάτου LTTrWHR. [8] ὑμέτερον LTTrWH (*non marg.*). [9] αὐτοὶ LTr *marg.* [10] ἀσπάζεται L *marg.* TTr *marg.* WHR. [11] Πρίσκα TTrWHR. [12] — Ἰησοῦν Χριστόν LTTrWHR. [13] Μαρὰν WHR. [14] — Χριστοῦ TTrWH. [15] — ἀμήν. TTr[L]WH. [16] + Ἐν στίχοις ω̅ S, *deest subscriptio in* LTTrWH.

a Vid. Act. 18. 19.
b Vid. Act. 2. 1. Cf. Act. 20. 16.
c Vid. Act. 14. 27.
d Act. 19. 9.
e Cf. cap. 4. 17. 2 Cor. 1. 1. Vid. Act. 16. 1.
f cap. 15. 58.
g Rom. 16. 21. Phil. 2. 22.
h 1 Tim. 4. 12.
i ver. 6.
k Vid. Act. 15. 33.
l Vid. Act. 18. 18, 19. Cf. cap. 1. 12; 3. 4.
m Rom. 2. 18?
n Vid. Matt. 24. 42.
o Cf. cap. 15. 1. Gal. 5. 1. Phil. 1. 27; 4. 1. 1 Thess. 3. 8. 2 Thess. 2. 15.
p 1 Sam. 4. 9. 2 Sam. 10. 12. Esa. 46. 8.
q Eph. 3. 16.
r cap. 14. 1.
s cap. 1. 16.
t Cf. Rom. 16. 5.
u Vid. Act. 18. 12.
x Rom. 15. 31.
y Cf. 1 Thess. 5. 12. Heb. 13. 17.
z Phil. 2. 30. Cf. 2 Cor. 11. 9. Philem. 13.
a Vid. 2 Cor. 7. 13.
b Phil. 2. 29. 1 Thess. 5. 12.
c Vid. Act. 2. 9.
d Vid. cap. 7. 39.
e Vid. Act. 18. 2.
f Rom. 16. 5.
g Vid. Rom. 16. 16. h Col. 4. 18. 2 Thess. 3. 17. Cf. Rom. 16. 22. Gal. 6. 11. Philem. 19. i Cf. Eph. 6. 24. k Vid. Rom. 9. 3. l Phil. 4. 5. Jud. 14.
m Vid. Rom. 16. 20.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ

ΚΟΡΙΝΘΙΟΥΣ

ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ[1].

Α'. 1 ΠΑΥΛΟΣ [a]ἀπόστολος Ἰησοῦ Χριστοῦ[2], [b]διὰ θελή-
ματος Θεοῦ, καὶ [c]Τιμόθεος ὁ ἀδελφός, [d]τῇ ἐκκλησίᾳ
τοῦ Θεοῦ τῇ οὔσῃ ἐν [e]Κορίνθῳ, σὺν τοῖς ἁγίοις πᾶσι
2 τοῖς οὖσιν ἐν ὅλῃ τῇ [f]Ἀχαΐᾳ[3]. [g]χάρις ὑμῖν καὶ [g]εἰρήνη
ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.
3 [h]Εὐλογητὸς ὁ [i]Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς
4 πάσης [k]παρακλήσεως, [l]ὁ παρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ
τῇ θλίψει ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν
τοὺς ἐν πάσῃ θλίψει, διὰ τῆς [l]παρακλήσεως ἧς
5 παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ· ὅτι [m]καθὼς πε-
ρισσεύει τὰ παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὕτω
διὰ[4] Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν.
6 **εἴτε δὲ θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ
σωτηρίας, [n]τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτῶν
παθημάτων ὧν καὶ ἡμεῖς πάσχομεν· [o]εἴτε παρακαλού-
μεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ [p]σωτηρίας· καὶ ἡ
7 ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ὑμῶν[5]·** εἰδότες ὅτι **ὥσπερ**[6]
[q]κοινωνοί ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς παρα-
8 κλήσεως. [r]Οὐ γὰρ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἀδελφοί,
[s]**ὑπὲρ**[7] τῆς θλίψεως ἡμῶν τῆς γενομένης **ἡμῖν**[8] ἐν τῇ
[t]Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν [u]**ἐβαρήθημεν ὑπὲρ δύναμιν**[9],
9 ὥστε [x]ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν· **ἀλλὰ**[10] [y]αὐτοὶ
ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα
[z]μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' [a]ἐπὶ τῷ Θεῷ

[1] *Sic* BE: *at* Ἡ πρὸς τοὺς Κορινθίους δευτέρα S, Πρὸς Κορινθίους Β' *apud* LTTrWH. [2] Χριστοῦ Ἰησοῦ TTrWHR. [3] Ἀχαΐᾳ WH. [4] + τοῦ LTTrWHR. [5] *καὶ ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ὑμῶν· εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας*, LTr, *at* TTr *marg.* WH *text.* R *sic legunt post* καὶ σωτηρίας *prim.*, *εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως (—καὶ σωτηρίας* *secund.*) *τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτῶν παθημάτων ὧν καὶ ἡμεῖς πάσχομεν· καὶ ἡ ἐλ. κ.τ.λ.* *Totum ver.* 6 *sic exhibet* WH *marg.* *εἴτε δὲ θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτῶν παθημάτων ὧν καὶ ἡμεῖς πάσχομεν, καὶ ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ὑμῶν· εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας·* [6] *ὡς* LTTrWHR. [7] *περὶ* LTTrWH *marg.* R. [8] —*ἡμῖν* LTTrWHR. [9] *ὑπὲρ δύναμιν ἐβαρήθημεν* LTTrWHR. [10] *ἀλλ'* L.

[a] Eph. 1. 1. Col. 1. 1. 1 Tim. 1. 1. 2 Tim. 1. 1. Tit. 1. 1. Cf. Rom. 1. 1. Gal. 1. 1. Phil. 1. 1.
[b] Vid. 1 Cor. 1. 1.
[c] ver. 19. Vid. Act. 16. 1. Cf. 1 Cor. 16. 10.
[d] 1 Cor. 1. 2. Vid. Act. 20. 28.
[e] ver. 23. Vid. Act. 18. 1.
[f] Vid. Act. 18. 12.
[g] Vid. Rom. 1. 7.
[h] Eph. 1. 3. 1 Pet. 1. 3.
[i] 1 Pet. 1. 3. Vid. Rom. 15. 6.
[k] Vid. Act. 4. 36.
[l] cap. 7. 4, 6, 7, 13. Cf. Esa. 66. 13.
[m] Cf. cap. 4. 10. Phil. 3. 10. Col. 1. 24.
[n] Vid. Jac. 5. 16.
[o] Cf. cap. 4. 15. Eph. 3. 13.
[p] 2 Tim. 2. 10.
[q] Cf. Rom. 8. 17.
[r] Vid. Rom. 11. 25.
[s] Vid. 1 Cor. 15. 32. Cf. Act. 19. 23.
[t] Vid. Act. 2. 9.
[u] cap. 5. 4.
[x] cap. 4. 8.
[y] Rom. 8. 36.
[z] Luc. 18. 9.
[a] Ps. 2. 12; 25. 2; 26. 1. Jer. 17. 7; 39. 18. Zeph. 3. 2.

[a] τῷ ἐγείροντι τοὺς νεκρούς· ὃς ἐκ τηλικούτου θανάτου 10
[b] ἐρρύσατο[1] ἡμᾶς καὶ ῥύεται[2], [c] εἰς ὃν ἠλπίκαμεν ὅτι[3,4]
καὶ ἔτι[5] ῥύσεται, συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ 11
ἡμῶν [d] τῇ δεήσει, ἵνα ἐκ πολλῶν [e] προσώπων τὸ εἰς
ἡμᾶς χάρισμα [f] διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν.
Ἡ γὰρ [g] καύχησις ἡμῶν αὕτη ἐστί, τὸ μαρτύριον 12
[h] τῆς συνειδήσεως ἡμῶν, ὅτι ἐν ἁπλότητι[6] καὶ [i] εἰλι-
κρινείᾳ[7,8] Θεοῦ,[9] οὐκ [k] ἐν σοφίᾳ σαρκικῇ, ἀλλ' ἐν χάριτι
Θεοῦ, ἀνεστράφημεν ἐν τῷ κόσμῳ, περισσοτέρως δὲ
πρὸς ὑμᾶς. οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ'[10] ἢ 13
ἃ ἀναγινώσκετε, ἢ καὶ ἐπιγινώσκετε, ἐλπίζω δὲ ὅτι
καὶ[11] [l] ἕως τέλους ἐπιγνώσεσθε, καθὼς καὶ ἐπέγνωτε 14
ἡμᾶς [m] ἀπὸ μέρους, ὅτι [n] καύχημα ὑμῶν ἐσμέν, καθάπερ
καὶ ὑμεῖς ἡμῶν [l] ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου[12] Ἰησοῦ.
Καὶ ταύτῃ τῇ πεποιθήσει [o] ἐβουλόμην πρὸς ὑμᾶς 15 Β'.
ἐλθεῖν πρότερον[13], ἵνα [p] δευτέραν [q] χάριν[14] ἔχητε[15]· καὶ δι' 16
ὑμῶν διελθεῖν[16] εἰς [r] Μακεδονίαν, καὶ πάλιν ἀπὸ Μακε-
δονίας ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ὑφ' ὑμῶν [s] προπεμφθῆ-
ναι εἰς τὴν Ἰουδαίαν. τοῦτο οὖν βουλευόμενος[17], μή 17
τι ἄρα τῇ ἐλαφρίᾳ ἐχρησάμην; ἢ ἃ βουλεύομαι,
[t] κατὰ σάρκα βουλεύομαι, ἵνα ᾖ παρ' ἐμοὶ [u] τὸ ναὶ ναί,
καὶ τὸ οὒ οὔ; [x] πιστὸς δὲ ὁ Θεός, ὅτι ὁ λόγος ἡμῶν ὁ 18
πρὸς ὑμᾶς οὐκ ἐγένετο[18] ναὶ καὶ οὔ· [y] ὁ γὰρ τοῦ Θεοῦ[19] 19
υἱὸς Ἰησοῦς Χριστὸς[20] ὁ ἐν ὑμῖν δι' ἡμῶν κηρυχθείς,
δι' ἐμοῦ καὶ [z] Σιλουανοῦ καὶ [a] Τιμοθέου, οὐκ ἐγένετο
[u] ναὶ καὶ οὔ, ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονεν· ὅσαι γὰρ 20
ἐπαγγελίαι Θεοῦ, [b] ἐν αὐτῷ [u] τὸ ναί, καὶ ἐν αὐτῷ[21] [c] τὸ
ἀμήν, τῷ Θεῷ πρὸς δόξαν δι' ἡμῶν. ὁ δὲ [l] βεβαιῶν 21
ἡμᾶς σὺν ὑμῖν εἰς Χριστόν, καὶ [d] χρίσας ἡμᾶς, Θεός·
ὁ[22] καὶ [e] σφραγισάμενος ἡμᾶς, καὶ [f] δοὺς τὸν [fg] ἀρραβῶνα[23] 22
[h] τοῦ πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν.

[a] Vid. cap. 4. 14. [b] Act. 12. 11. Rom. 15. 31. [c] 1 Tim. 4. 10. [d] Cf. Act. 12. 5. Rom. 15. 30. Phil. 1. 19. Philem. 22. [e] Vid. cap. 2. 10. [f] cap. 4. 15; 9. 11, 12. [g] cap. 7. 4. [h] Cf. Act. 23. 1. 1 Thess. 2. 10. [i] 1 Cor. 5. 8. cap. 2. 17. [k] 1 Cor. 2. 1, 4, 13. [l] 1 Cor. 1. 8. [m] cap. 2. 5. Vid. Rom. 11. 25. [n] 1 Cor. 9. 15. [o] Rom. 15. 28. 1 Cor. 16. 7. Cf. Act. 19. 21. [p] Act. 18. 1—18. [q] Rom. 1. 11. [r] Act. 16. 9. [s] Vid. Act. 15. 3. [t] cap. 5. 16; 10. 2, 3; 11. 18. [u] Jac. 5. 12. [x] Vid. 1 Cor. 1. 9. [y] Vid. Matt. 14. 33. [z] 1 Thess. 1. 1. 2 Thess. 1. 1. 1 Pet. 5. 12. Vid. Act. 15. 22. [a] ver. 1. [b] Heb. 13. 1. [c] Cf. 1 Cor. 14. 16. [d] 1 Joan. 2. 20, 27. [e] Vid. Joan. 3. 33. [f] cap. 5. 5. [g] Eph. 1. 14. [h] Rom. 8. 16.

1 ἐρύσατο Tr WH. 2 καὶ ῥύσεται TTr[L]WHR. 3 —ὅτι [L (*non marg.*) TrWH]R *marg.* 4 · καὶ R *marg.* 5 —ἔτι L *marg.* 6 ἁγιότητι LTTrWHR. 7 εἰλικρινίᾳ TWH. 8 + τοῦ LTTrWH. 9 + [καὶ] WH. 10 [ἀλλ'] L. 11 —καὶ LTTrWHR. 12 + ἡμῶν T[L]WHR. 13 πρότερον πρὸς ὑμᾶς ἐλθεῖν LTTrWHR. 14 χαρὰν Tr *marg.* WH (*non marg.*) R *marg.* 15 σχῆτε TTr WHR. 16 ἀπελθεῖν L (*non marg.*). 17 βουλόμενος LTTrWHR. 18 ἔστιν LTTrWHR. 19 τοῦ θεοῦ γὰρ LTTrWHR. 20 Χριστὸς Ἰησοῦς TTr *marg.* WH. 21 · διὸ καὶ δι' αὐτοῦ LTTrWHR. 22 θεός, [ὁ] WH, —ὁ R. 23 ἀραβῶνα LT.

23 [a]Ἐγὼ δὲ μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν
ἐμὴν ψυχήν, ὅτι [b]φειδόμενος ὑμῶν [c]οὐκέτι ἦλθον εἰς
24 [d]Κόρινθον· οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως,
ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν, [e]τῇ γὰρ πίστει
2 ἑστήκατε. ἔκρινα δὲ[1] ἐμαυτῷ τοῦτο, [c]τὸ μὴ πάλιν
2 ἐλθεῖν ἐν λύπῃ πρὸς ὑμᾶς[2]. [f]εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς,
καὶ τίς ἐστιν[3] ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος
3 ἐξ ἐμοῦ; καὶ ἔγραψα ὑμῖν[4] τοῦτο αὐτό, ἵνα μὴ [c]ἐλθὼν
λύπην ἔχω[5] ἀφ' ὧν ἔδει με χαίρειν· [g]πεποιθὼς ἐπὶ
πάντας ὑμᾶς, [h]ὅτι ἡ ἐμὴ χαρὰ πάντων ὑμῶν ἐστίν.
4 ἐκ γὰρ πολλῆς θλίψεως καὶ [i]συνοχῆς καρδίας ἔγραψα
ὑμῖν διὰ πολλῶν δακρύων, [k]οὐχ ἵνα λυπηθῆτε, ἀλλὰ
τὴν ἀγάπην ἵνα γνῶτε ἣν ἔχω περισσοτέρως εἰς
ὑμᾶς.
5 Εἰ δέ [l]τις λελύπηκεν, [m]οὐκ ἐμὲ λελύπηκεν, ἀλλ'[6]
6 [n]ἀπὸ μέρους, ἵνα μὴ ἐπιβαρῶ[7] πάντας ὑμᾶς. ἱκανὸν
τῷ τοιούτῳ [o]ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ [p]τῶν πλειόνων·
7 ὥστε τοὐναντίον μᾶλλον[8] ὑμᾶς [q]χαρίσασθαι καὶ πα-
ρακαλέσαι, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ
8 ὁ τοιοῦτος. διὸ παρακαλῶ ὑμᾶς [r]κυρῶσαι εἰς αὐτὸν
9 ἀγάπην. εἰς τοῦτο γὰρ καὶ ἔγραψα, ἵνα γνῶ τὴν
10 [s]δοκιμὴν ὑμῶν, [t]εἰ[9] εἰς πάντα ὑπήκοοί ἐστε. ᾧ δέ τι
χαρίζεσθε, καὶ ἐγώ[10]· καὶ γὰρ ἐγὼ εἴ τι κεχάρισμαι,
11 ᾧ κεχάρισμαι[11], δι' ὑμᾶς ἐν [u]προσώπῳ Χριστοῦ, ἵνα
μὴ [x]πλεονεκτηθῶμεν ὑπὸ [y]τοῦ Σατανᾶ· οὐ γὰρ αὐτοῦ
[z]τὰ νοήματα ἀγνοοῦμεν.
Γ'. 12 Ἐλθὼν δὲ εἰς [a]τὴν Τρωάδα[12] εἰς τὸ εὐαγγέλιον τοῦ
13 Χριστοῦ, καὶ [b]θύρας μοι ἀνεῳγμένης ἐν Κυρίῳ, οὐκ
ἔσχηκα [c]ἄνεσιν τῷ πνεύματί μου, τῷ μὴ εὑρεῖν με
[d]Τίτον τὸν ἀδελφόν μου· ἀλλὰ [e]ἀποταξάμενος αὐτοῖς,
14 ἐξῆλθον εἰς [f]Μακεδονίαν. [g]Τῷ δὲ Θεῷ χάρις τῷ πάν-
τοτε [h]θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ, καὶ [i]τὴν
ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν [k]ἐν

[a] Rom. 1. 9. Cf. cap. 11. 10, 31. Gal. 1. 20.
[b] 1 Cor. 7. 28.
[c] cap. 2. 1, 3; 13. 2, 10. 1 Cor. 4. 21.
[d] ver. 1.
[e] Rom. 11. 20.
[f] Cf. cap. 7. 8.
[g] cap. 8. 22. 2 Thess. 3. 4. Philem. 21. Cf. cap. 7. 16.
[h] Cf. Joan. 15. 11.
[i] Luc. 21. 25.
[k] cap. 7. 8, 9, 12.
[l] 1 Cor. 5. 1, 2.
[m] Cf. Gal. 4. 12.
[n] Vid. cap. 1. 14.
[o] 1 Cor. 5. 4. Cf. cap. 7. 11.
[p] 1 Cor. 9. 19.
[q] Eph. 4. 32. Cf. Gal. 6. 1.
[r] Gal. 3. 15.
[s] Vid. Rom. 5. 4.
[t] cap. 7. 15; 10. 6.
[u] Prov. 8. 30 (Septuagint.). cap. 1. 11; 4. 6.
[x] cap. 7. 2; 12. 17, 18. 1 Thess. 4. 6. Cf. Luc. 22. 31.
[y] Vid. 1 Cor. 5. 5.
[z] cap. 3. 13; 4. 4; 10. 5; 11. 3. Phil. 4. 7.
[a] Act. 16. 8.
[b] Vid. Act. 14. 27.
[c] cap. 7. 5.
[d] cap. 7. 6, 13, 14; 8. 6, 16, 23; 12. 18. Gal. 2. 1, 3. 2 Tim. 4. 10. Tit. 1. 4.

[1] γὰρ Tr *marg.* WH (*non marg.*) R *marg.* [2] ἐν λύπῃ πρὸς ὑμᾶς ἐλθεῖν LTTrWHR. [3] —ἐστιν LTTrWHR. [4] —ὑμῖν LTTrWHR. [5] σχῶ TTrWHR. [6] ἀλλὰ LTTrWH. [7] , BETTr, *at* (ἵνα μὴ ἐπιβαρῶ) LR. [8] [μᾶλλον] Tr (—μᾶλλον Tr *marg.* WH (*non marg.*) R *marg.*). [9] ἦ WH *marg.* R *marg.* [10] κἀγώ LTTrWH. [11] ὃ κεχάρισμαι, εἴ τι κεχάρισμαι LTTrWHR. [12] Τρῳάδα LTWH.

[e] Vid. Marc. 6. 46. [f] Vid. Act. 16. 9. [g] cap. 8. 16; 9. 15. Cf. Rom. 6. 17. [h] Col. 2. 15. [i] Eph. 5. 2. Phil. 4. 18. Cf. Cant. 1. 3. [k] 1 Thess. 1. 8.

παντὶ τόπῳ. ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ ἐν 15
τοῖς [ab]σωζομένοις καὶ ἐν τοῖς [ac]ἀπολλυμένοις· οἷς μέν, 16
[d]ὀσμὴ[1] θανάτου εἰς θάνατον· οἷς δέ, ὀσμὴ[1] ζωῆς
εἰς ζωήν. [e]καὶ πρὸς ταῦτα τίς ἱκανός; οὐ γάρ ἐσμεν 17
ὡς οἱ πολλοί, [fg]καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ,
ἀλλ'[2] ὡς ἐξ [h]εἰλικρινείας[3], ἀλλ' ὡς ἐκ Θεοῦ, [g]**κατενώπιον**
τοῦ[4] Θεοῦ, ἐν Χριστῷ λαλοῦμεν.
[i]Ἀρχόμεθα [i]πάλιν ἑαυτοὺς [k]**συνιστάνειν**[5]; εἰ[6] μὴ χρῄ- 3
ζομεν, ὥς[7] [l]τινες, [m8]**συστατικῶν** ἐπιστολῶν πρὸς ὑμᾶς, ἢ
ἐξ ὑμῶν **συστατικῶν**[9]; [n]ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστέ, 2
[11]**ἐγγεγραμμένη** ἐν ταῖς καρδίαις ἡμῶν, [o]γινωσκομένη
καὶ [o]ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων· φανερού- 3
μενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ [p]διακονηθεῖσα ὑφ' ἡ-
μῶν,[10,11]**ἐγγεγραμμένη** οὐ μέλανι, ἀλλὰ [q]πνεύματι [r]Θεοῦ
ζῶντος, οὐκ ἐν [s]πλαξὶ λιθίναις, **ἀλλ'**[12] ἐν [t]πλαξὶ **καρδίας**[13]
[u]σαρκίναις. [x]Πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ 4
Χριστοῦ πρὸς τὸν Θεόν·[14] [a]οὐχ ὅτι **ἱκανοί ἐσμεν ἀφ'** 5
ἑαυτῶν λογίσασθαί τι[15], ὡς ἐξ **ἑαυτῶν**[16], ἀλλ' [y]ἡ ἱκανό-
της ἡμῶν ἐκ τοῦ Θεοῦ· [z]ὃς καὶ [z]ἱκάνωσεν ἡμᾶς [p]διακό- 6
νους [a]καινῆς διαθήκης, οὐ [b]γράμματος, ἀλλὰ [c]πνεύμα-
τος· τὸ γὰρ γράμμα **ἀποκτείνει**[17], [c]τὸ δὲ πνεῦμα
ζωοποιεῖ. Εἰ δὲ [d]ἡ διακονία τοῦ θανάτου ἐν **γράμμα-** 7 Δ'.
σιν[18], ἐντετυπωμένη **ἐν**[19] [s]λίθοις, ἐγενήθη [e]ἐν δόξῃ,
ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς
τὸ πρόσωπον **Μωσέως**[20], διὰ τὴν δόξαν τοῦ προσώπου
αὐτοῦ, [f]τὴν καταργουμένην· πῶς οὐχὶ μᾶλλον ἡ δια- 8
κονία τοῦ πνεύματος ἔσται [e]ἐν δόξῃ; εἰ γὰρ [d]**ἡ διακο-** 9
νία[21] τῆς κατακρίσεως δόξα, πολλῷ μᾶλλον περισ-
σεύει [d]ἡ [g]διακονία τῆς δικαιοσύνης [e]**ἐν**[22] δόξῃ. καὶ γὰρ 10
οὐδὲ[23] δεδόξασται [e]τὸ δεδοξασμένον [h]ἐν τούτῳ τῷ μέ-
ρει, **ἕνεκεν**[24] τῆς ὑπερβαλλούσης δόξης. εἰ γὰρ τὸ 11

[a] Vid. 1 Cor. 1. 18. [b] Vid. Luc. 13. 23. [c] cap. 4. 3. [d] Cf. Joan. 9. 39. [e] cap. 3. 5, 6. [f] Esa. 1. 22 (Septuagint.). Cf. 1 Thess. 2. 3, 5. [g] cap. 4. 2. [h] cap. 1. 12. 1 Cor. 5. 8. [i] cap. 5. 12. [k] Rom. 16. 1. cap. 4. 2; 6. 4; 7. 11; 10. 12, 18; 12. 11. [l] cap. 11. 4. [m] Cf. Act. 18. 27. 1 Cor. 16. 3. [n] Cf. 1 Cor. 9. 2. [o] Act. 8. 30. [p] ver. 6. 1 Cor. 3. 5. [q] Vid. Rom. 7. 14. [r] Vid. Matt. 16. 16. [s] ver. 7. Ex. 24. 12; 31. 18; 32. 16; 34. 1. Deut. 4. 13; 5. 22; 9. 10, 11; 10. 1. [t] Prov. 3. 3; 7. 3. Jer. 17. 1. [u] Ezek. 11. 19; 36. 26. [x] Cf. Eph. 3. 12. [y] Cf. 1 Cor. 15. 10. [z] Col. 1. 12. [a] Vid. Luc. 22. 20. [b] Rom. 2. 27. [c] Joan. 6. 63. [d] ver. 9. Cf. Rom. 4. 15. [e] ver. 10, 13. Ex. 34. 29—35. Cf. Heb. 12. 18—21. [f] ver. 11. 1 Cor. 13. 8, 10. [g] cap. 11. 15. [h] cap. 9. 3.

[1] + ἐκ LTTrWHR. [2] ἀλλὰ Tr. [3] εἰλικρινίας TWH. [4] κατέναντι (—τοῦ) LTTrWHR. [5] συνιστᾶν LTr. [6] ἢ BLTTrWHR. [7] + [πέρ] L. [8] συν- Tr. [9] —συστατικῶν LTTrWHR. [10] + καὶ WH *marg.* [11] ἐν- TWH. [12] ἀλλὰ BE. [13] καρδίαις LTTrWHR. [14] θεόν, WH *marg.* [15] λογίζεσθαί (λογίσασθαί Tr *marg.*) τι ἀφ' ἑαυτῶν LTr *marg.*, *at* ἀφ' ἑαυτῶν ἱκανοί ἐσμεν (, WH *marg.* R) λογίσασθαί τι TTrWHR. [16] αὐτῶν LTr, αὑτῶν WH. [17] ἀποκταίνει L *forsan errore*, ἀποκτέννει TTr. [18] γράμματι L (*non marg.*) Tr (*non marg.*). [19] —ἐν LTTrWHR. [20] Μωυσέως LTTrWH. [21] τῇ διακονίᾳ L (*non marg.*) TTr (*non marg.*) WH *marg.* R *marg.* [22] —ἐν LTTrWHR. [23] οὐ LTTrWHR. [24] εἵνεκεν L (*non marg.*) TTrWH.

[a] καταργούμενον, διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον,
12 ἐν δόξῃ. Ἔχοντες οὖν τοιαύτην ἐλπίδα, πολλῇ
13 [b] παρρησίᾳ χρώμεθα· καὶ οὐ καθάπερ [c] **Μωσῆς**[1] ἐτίθει
κάλυμμα ἐπὶ τὸ πρόσωπον **ἑαυτοῦ**[2], [d] πρὸς τὸ μὴ
ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταρ-
14 γουμένου· **ἀλλ'**[3] [e] ἐπωρώθη τὰ [f] νοήματα αὐτῶν. ἄχρι
γὰρ τῆς σήμερον[4] τὸ αὐτὸ κάλυμμα ἐπὶ [g] τῇ ἀναγνώ-
σει [h] τῆς παλαιᾶς διαθήκης μένει[5], μὴ ἀνακαλυπτό-
15 μενον[6], **ὅ τι**[7] ἐν Χριστῷ καταργεῖται· ἀλλ' ἕως σή-
μερον, ἡνίκα [g] **ἀναγινώσκεται**[8] **Μωσῆς**[1], κάλυμμα ἐπὶ
16 τὴν καρδίαν αὐτῶν κεῖται· [i] ἡνίκα **δ' ἂν**[9] ἐπιστρέψῃ
17 πρὸς Κύριον, [k] περιαιρεῖται τὸ κάλυμμα. Ὁ δὲ Κύ-
ριος τὸ πνεῦμά ἐστιν· οὗ δὲ [q] τὸ πνεῦμα Κυρίου,
18 **ἐκεῖ**[10] [l] ἐλευθερία. ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ
προσώπῳ [m] τὴν δόξαν Κυρίου [n] κατοπτριζόμενοι, τὴν
αὐτὴν εἰκόνα [o] μεταμορφούμεθα [p] ἀπὸ δόξης εἰς δόξαν,
Ε'. 4 **καθάπερ**[11] [q] ἀπὸ Κυρίου πνεύματος. Διὰ τοῦτο ἔχον-
τες τὴν [r] διακονίαν ταύτην, καθὼς [s] ἠλεήθημεν, οὐκ
2 [t] **ἐκκακοῦμεν**[12], **ἀλλ'**[13] ἀπειπάμεθα [u] τὰ κρυπτὰ τῆς αἰσχύ-
νης, μὴ περιπατοῦντες ἐν [x] πανουργίᾳ μηδὲ [y] δολοῦντες
τὸν λόγον τοῦ Θεοῦ, ἀλλὰ [z] τῇ φανερώσει [a] τῆς ἀλη-
θείας [b] **συνιστῶντες**[14] ἑαυτοὺς πρὸς πᾶσαν [c] συνείδησιν
3 ἀνθρώπων, [d] ἐνώπιον τοῦ Θεοῦ. Εἰ δὲ καὶ [e] ἔστι κεκα-
λυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς [f] ἀπολλυμένοις
4 ἐστὶ κεκαλυμμένον· ἐν οἷς [g] ὁ θεὸς τοῦ αἰῶνος τούτου
ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, [h] εἰς τὸ μὴ **αὐ-
γάσαι**[15] **αὐτοῖς**[16] [i] τὸν φωτισμὸν τοῦ εὐαγγελίου **τῆς**[17]
5 δόξης τοῦ Χριστοῦ, ὅς ἐστιν [k] εἰκὼν τοῦ Θεοῦ. οὐ
γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ **Χριστὸν Ἰησοῦν**[18]
6 Κύριον· ἑαυτοὺς δέ, δούλους ὑμῶν διὰ **Ἰησοῦν**[19]. ὅτι
ὁ Θεὸς [l] ὁ εἰπὼν[20] [m] ἐκ σκότους φῶς **λάμψαι**[21], ὃς ἔλαμ-
ψεν ἐν ταῖς καρδίαις ἡμῶν, [i] πρὸς φωτισμὸν τῆς

[1] Μωυσῆς LTTrWH. [2] *αὐτοῦ* LTrWHR. [3] *ἀλλὰ* TrWH. [4] + *ἡμέρας* LTTrWHR. [5] *μένει μὴ* WH. [6] (*μένει, ἀνακαλυπτόμενον*) *ὅτι* R *marg.* [7] *ὅτι* LTTrWHR. [8] *ἂν ἀναγινώσκηται* LTTrWHR. [9] *δὲ ἐὰν* TWH (*non marg.*), *δὲ ἂν* Tr. [10] —*ἐκεῖ* LTTrWHR. [11] *καθώσπερ* WH *marg.* [12] *ἐγκακοῦμεν* LTTrWHR. [13] *ἀλλὰ* LTTrWH. [14] *συνιστάντες* LTTr, *συνιστάνοντες* WH. [15] *καταυγάσαι* L *marg.* Tr *marg.* [16] —*αὐτοῖς* LTTrWHR. [17] *τὸν* E. [18] Ἰησοῦν Χριστὸν LTr *marg.* WH *marg.* [19] Ἰησοῦ L *marg.* WH *marg.* R *marg.* [20] *ὁ εἰπὼν* (· T, , R) Ἐκ *σκότους* LTrWHR. [21] *λάμψει* L (*non marg.*) TTrWHR.

[a] ver. 7. [b] cap. 7. 4. Vid. Act. 4. 13. [c] Ex. 34. 30, 33. [d] ver. 7. [e] Vid. Marc. 6. 52. [f] cap. 4. 4. Vid. cap. 2. 11. [g] Cf. Act. 15. 21. [h] Cf. ver. 6. [i] Cf. Rom. 11. 23. [k] Ex. 34. 34. Cf. Esa. 25. 7. [l] Gal. 5. 1, 13. Vid. Joan. 8. 32. [m] Cf. cap. 4. 4, 6. Joan. 17. 24. 1 Tim. 1. 11. [n] Cf. 1 Cor. 13. 12. [o] Rom. 8. 29. 1 Joan. 3. 2. [p] Cf. Ps. 84. 7. [q] ver. 17. [r] Vid. Act. 1. 17. [s] Vid. 1 Cor. 7. 25. [t] ver. 16. Vid. Luc. 18. 1. [u] Vid. Rom. 6. 21. [x] Vid. Luc. 20. 23. [y] 1 Thess. 2. 3. Cf. cap. 2. 17. 1 Pet. 2. 2. [z] cap. 5. 11; 11. 6. [a] cap. 6. 7; 7. 14. [b] Vid. cap. 3. 1. [c] Cf. Act. 23. 1. [d] cap. 2. 17. [e] Cf. cap. 3. 14. [f] cap. 2. 15. [g] Vid. Joan. 12. 31. [h] ch. 3. 14. Vid. Joan. 8. 12. [i] Col. 1. 15. Cf. Phil. 2. 6. Heb. 1. 3. [k] 1 Cor. 9. 19. [l] Gen. 1. 3. [m] Cf. 2 Pet. 1. 19.

γνώσεως τῆς δόξης τοῦ Θεοῦ[1] ἐν [a]προσώπῳ Ἰησοῦ[2]
Χριστοῦ.
Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον [b]ἐν ὀστρακίνοις 7 ϛ´.
σκεύεσιν, ἵνα [c]ἡ ὑπερβολὴ τῆς δυνάμεως [d]ᾖ τοῦ Θεοῦ,
καὶ μὴ ἐξ ἡμῶν· ἐν παντὶ [e]θλιβόμενοι, ἀλλ' οὐ [f]στε- 8
νοχωρούμενοι· [g]ἀπορούμενοι, ἀλλ' οὐκ [h]ἐξαπορούμενοι·
[i]διωκόμενοι, ἀλλ' οὐκ [k]ἐγκαταλειπόμενοι· [l]καταβαλ- 9
λόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι· [m]πάντοτε τὴν νέκρω- 10
σιν τοῦ Κυρίου[3] Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες,
ἵνα καὶ [n]ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι[4] ἡμῶν φανε-
ρωθῇ. ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες [o]εἰς θάνατον παρα- 11
διδόμεθα διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ
φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν. Ὥστε ὁ μὲν[5] 12
θάνατος ἐν ἡμῖν ἐνεργεῖται, ἡ δὲ ζωὴ ἐν ὑμῖν· ἔχον- 13
τες δὲ [p]τὸ αὐτὸ πνεῦμα [q]τῆς πίστεως, κατὰ τὸ γε-
γραμμένον, [r]"Ἐπίστευσα, διὸ[6] ἐλάλησα," καὶ ἡμεῖς
πιστεύομεν, διὸ καὶ λαλοῦμεν· εἰδότες ὅτι [s]ὁ ἐγείρας 14
τὸν Κύριον[7] Ἰησοῦν, καὶ ἡμᾶς διὰ[8] Ἰησοῦ ἐγερεῖ,
καὶ παραστήσει σὺν ὑμῖν. τὰ γὰρ πάντα δι' ὑμᾶς, 15
ἵνα [t]ἡ χάρις πλεονάσασα, [t]διὰ τῶν πλειόνων[9] [t]τὴν εὐ-
χαριστίαν [u]περισσεύσῃ εἰς τὴν δόξαν τοῦ Θεοῦ. Διὸ 16
[x]οὐκ ἐκκακοῦμεν[10]· ἀλλ' εἰ καὶ [y]ὁ ἔξω ἡμῶν ἄνθρωπος
διαφθείρεται, ἀλλ' [y]ὁ ἔσωθεν[11] [z]ἀνακαινοῦται ἡμέρᾳ
καὶ ἡμέρᾳ. [a]τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως 17
ἡμῶν[12] [b]καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος
δόξης κατεργάζεται ἡμῖν, [c]μὴ σκοπούντων ἡμῶν τὰ 18
βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ γὰρ βλε-
πόμενα, [d]πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια.
Οἴδαμεν γάρ, ὅτι ἐὰν [e]ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ 5
[f]σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ Θεοῦ ἔχομεν, οἰκίαν
[g]ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς. καὶ γὰρ ἐν 2
τούτῳ [h]στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρα-
νοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες· εἴ γε[13] καὶ [i]ἐνδυσά- 3
μενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα. καὶ γὰρ οἱ ὄντες ἐν 4

[a] Vid. cap. 2. 10. [b] 2 Tim. 2. 20. Cf. cap. 4. 7. Job 4. 19; 10. 9; 13. 12; 33. 6. Lam. 4. 2. [c] cap. 1. 8; 12. 7. [d] Judic. 7. 2. [e] cap. 1. 6; 7. 5. Cf. Ps. 129. 2. [f] cap. 6. 12. Cf. Rom. 2. 9. [g] Joan. 13. 22. Gal. 4. 20. [h] cap. 1. 8. [i] Cf. 1 Cor. 4. 12. [k] Heb. 13. 5. Cf. Deut. 4. 31. [l] Ps. 37. 24. Prov. 24. 16. Mic. 7. 8. [m] Cf. cap. 1. 5. Rom. 6. 5. [n] Rom. 5. 10. [o] Cf. 1 Cor. 15. 31. [p] 1 Cor. 12. 9. [q] 2 Pet. 1. 1. [r] Ps. 116. 10. [s] Vid. Act. 2. 24. cap. 1. 9. [t] Cf. cap. 1. 6, 11. [u] Rom. 8. 7. [x] ver. 1. [y] Vid. Rom. 7. 22. [z] Rom. 12. 2. Cf. Esa. 40. 30, 31. [a] Rom. 8. 18. Cf. Esa. 54. 7. 1 Pet. 1. 6. [b] Rom. 7. 13. [c] Rom. 8. 24. Heb. 11. 1. [d] Vid. Matt. 13. 21. [e] Cf. cap. 4. 7. [f] ver. 4. 2 Pet. 1. 13, 14. Cf. Esa. 38. 12. [g] Marc. 14. 58. [h] ver. 4. Rom. 8. 23. [i] 1 Cor. 15. 54.

[1] αὐτοῦ L. [2] —Ἰησοῦ LTTrWH. [3] —Κυρίου LTTrWHR. [4] τοῖς σώμασιν T. [5] —μὲν LTTrWHR. [6] + καὶ T. [7] —Κύριον [TrWH]R *marg.* [8] σὺν LTTrWHR. [9] πλειόνων, R. [10] ἐγκακοῦμεν LTTrWHR. [11] ἔσω ἡμῶν LTTrWHR. [12] [ἡμῶν] Tr *marg.*, —WH (*non marg.*). [13] περ LTrWH *marg.*

[a]τῷ σκήνει [b]στενάζομεν [c]βαρούμενοι·[1] ἐπειδὴ[2] οὐ θέλο-
μεν ἐκδύσασθαι, ἀλλ'[3] [b]ἐπενδύσασθαι, ἵνα [d]καταποθῇ
5 τὸ θνητὸν ὑπὸ τῆς ζωῆς. ὁ δὲ κατεργασάμενος ἡμᾶς
εἰς αὐτὸ τοῦτο, Θεός, ὁ καὶ[4] [e]δοὺς ἡμῖν τὸν ἀρραβῶνα[5]
6 τοῦ πνεύματος. θαρροῦντες οὖν πάντοτε, καὶ εἰδότες
ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι, ἐκδημοῦμεν ἀπὸ τοῦ
7 Κυρίου· [f]διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ [g]διὰ
8 εἴδους·[6] θαρροῦμεν δέ, καὶ [h]εὐδοκοῦμεν μᾶλλον ἐκδη-
μῆσαι ἐκ τοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς τὸν
Κύριον.
9 Διὸ καὶ [i]φιλοτιμούμεθα, εἴτε ἐνδημοῦντες, εἴτε
10 ἐκδημοῦντες, [k]εὐάρεστοι αὐτῷ εἶναι. τοὺς γὰρ πάντας
ἡμᾶς [l]φανερωθῆναι δεῖ ἔμπροσθεν [m]τοῦ βήματος τοῦ
Χριστοῦ, [l]ἵνα κομίσηται ἕκαστος τὰ διὰ[7] τοῦ σώμα-
11 τος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθόν, εἴτε κακόν[8]. εἰ-
δότες οὖν [n]τὸν φόβον τοῦ Κυρίου, ἀνθρώπους [o]πείθο-
μεν, Θεῷ δὲ [p]πεφανερώμεθα· ἐλπίζω δὲ καὶ ἐν ταῖς
Ζʹ. 12 συνειδήσεσιν ὑμῶν πεφανερῶσθαι. οὐ γὰρ[9] πάλιν
ἑαυτοὺς [q]συνιστάνομεν ὑμῖν, ἀλλὰ [r]ἀφορμὴν διδόντες
ὑμῖν [s]καυχήματος ὑπὲρ ἡμῶν[10], ἵνα ἔχητε πρὸς τοὺς
13 ἐν [t]προσώπῳ καυχωμένους, καὶ οὐ[11] καρδίᾳ. εἴτε γὰρ
14 [u]ἐξέστημεν, Θεῷ· εἴτε [x]σωφρονοῦμεν, ὑμῖν. Ἡ γὰρ
15 ἀγάπη τοῦ Χριστοῦ [y]συνέχει ἡμᾶς, κρίναντας τοῦτο,
ὅτι [z]εἰ[12] εἷς ὑπὲρ πάντων ἀπέθανεν,[13] ἄρα [z]οἱ πάντες
ἀπέθανον· καὶ ὑπὲρ πάντων ἀπέθανεν, [a]ἵνα οἱ ζῶντες
μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθα-
16 νόντι καὶ ἐγερθέντι. ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα
οἴδαμεν [b]κατὰ σάρκα· εἰ δὲ[14] καὶ ἐγνώκαμεν [b]κατὰ
σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκ ἔτι[15] γινώσκομεν.
17 ὥστε εἴ τις [c]ἐν Χριστῷ, [d]καινὴ κτίσις· [e]τὰ ἀρχαῖα
18 παρῆλθεν, [d]ἰδοὺ γέγονε καινὰ τὰ πάντα[16]. Τὰ δὲ
πάντα ἐκ τοῦ Θεοῦ, [f]τοῦ καταλλάξαντος ἡμᾶς ἑαυτῷ
διὰ Ἰησοῦ[17] Χριστοῦ, καὶ δόντος ἡμῖν [g]τὴν διακονίαν

[a] ver. 1. [b] ver. 2. [c] cap. 1. 8. [d] 1 Cor. 15. 54. [e] cap. 1. 22. Cf. Rom. 8. 23. [f] Joan. 20. 29. [g] Cf. 1 Cor. 13. 12. [h] Cf. Phil. 1. 23. [i] Vid. Rom. 15. 20. [k] Vid. Rom. 14. 18. [l] Vid. Matt. 16. 27. Cf. Matt. 25. 32. Gal. 6. 7. [m] Rom. 14. 10 (var. lect.). [n] Job 31. 23. Heb. 10. 31. Jud. 23. [o] Act. 18. 4. [p] Vid. cap. 4. 2. [q] cap. 3. 1. [r] Vid. Rom. 7. 8. [s] Vid. Phil. 1. 26. [t] cap. 10. 7. [u] Marc. 3. 21. [x] Vid. Marc. 5. 15. [y] Vid. Luc. 12. 50. [z] Cf. Rom. 5. 15. [a] Rom. 14. 7. Cf. Rom. 6. 11, 12. Vid. Joan. 12. 32. [b] Vid. cap. 1. 17. [c] Vid. Rom. 16. 7. [d] Gal. 6. 15. Cf. Joan. 3. 3. Rom. 6. 4. [e] Esa. 43. 18, 19; 65. 17. Rev. 21. 5. [f] Col. 1. 20. [g] cap. 3. 6.

1 βαρούμενοι, R *marg.* 2 ἐφ' ᾧ BELTTrWHR ?. 3 ἀλλὰ Tr. 4 —καὶ LTTrWHR. 5 ἀραβῶνα T. 6 εἴδους,— WH, *at* (διὰ πίστεως...εἴδους), R. 7 ἴδια L *marg.* Tr *marg.* 8 φαῦλον TTr (*non marg.*) WHR. 9 —γὰρ LT (*ita vult*) TrWHR. 10 ὑμῶν L *marg.* Tr *marg.* 11 μὴ ἐν LTTrWHR. 12 —εἰ LTTrWHR. 13 ἀπέθανεν· WH. 14 —δὲ LTTrWHR. 15 οὐκέτι LTTrWHR. 16 —τὰ πάντα LTTrWHR. 17 —Ἰησοῦ LTTrWHR.

[a]τῆς καταλλαγῆς· ὡς ὅτι Θεὸς ἦν ἐν Χριστῷ [b]κόσμον 19
[a]καταλλάσσων ἑαυτῷ, [c]μὴ λογιζόμενος αὐτοῖς τὰ πα-
ραπτώματα αὐτῶν, καὶ θέμενος[1] ἐν ἡμῖν τὸν λόγον
[a]τῆς καταλλαγῆς. Ὑπὲρ Χριστοῦ οὖν [d]πρεσβεύομεν, 20
[e]ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν· δεόμεθα ὑπὲρ
Χριστοῦ, [a]καταλλάγητε τῷ Θεῷ· [f]τὸν γὰρ[2] μὴ γνόν- 21
τα ἁμαρτίαν, [g]ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα
ἡμεῖς γινώμεθα[3] [h]δικαιοσύνη Θεοῦ ἐν αὐτῷ. [i]συνερ- 6
γοῦντες δὲ καὶ [k]παρακαλοῦμεν [l]μὴ εἰς κενὸν [k]τὴν χάριν
τοῦ Θεοῦ δέξασθαι ὑμᾶς· λέγει γάρ, [m]'Καιρῷ δεκτῷ 2
ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά
σοι·' [n]ἰδοὺ νῦν καιρὸς [o]εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα
σωτηρίας· [p]μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, 3
[q]ἵνα μὴ μωμηθῇ ἡ διακονία· ἀλλ' ἐν παντὶ [r]συνισ- 4
τῶντες[4] ἑαυτοὺς ὡς Θεοῦ διάκονοι, [r][s]ἐν ὑπομονῇ πολλῇ,
ἐν θλίψεσιν, [t]ἐν ἀνάγκαις, [t]ἐν στενοχωρίαις, ἐν [u]πλη- 5
γαῖς, ἐν [u]φυλακαῖς, ἐν [x]ἀκαταστασίαις, ἐν [y]κόποις, ἐν
[y]ἀγρυπνίαις, ἐν [z]νηστείαις, ἐν [a]ἁγνότητι, ἐν γνώσει, ἐν 6
[b]μακροθυμίᾳ, ἐν [c]χρηστότητι, [d]ἐν Πνεύματι Ἁγίῳ, ἐν
[e]ἀγάπῃ ἀνυποκρίτῳ, ἐν [f]λόγῳ ἀληθείας, ἐν [g]δυνάμει 7
Θεοῦ· διὰ [h]τῶν ὅπλων τῆς δικαιοσύνης [i]τῶν δεξιῶν
καὶ ἀριστερῶν, διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφη- 8
μίας καὶ εὐφημίας· ὡς [k]πλάνοι, καὶ ἀληθεῖς· ὡς 9
ἀγνοούμενοι, καὶ [l]ἐπιγινωσκόμενοι· ὡς ἀποθνήσκον-
τες, καὶ ἰδοὺ ζῶμεν· [m]ὡς παιδευόμενοι, καὶ μὴ θα-
νατούμενοι· [n]ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες· [o]ὡς 10
πτωχοί, πολλοὺς δὲ πλουτίζοντες· ὡς μηδὲν ἔχοντες,
καὶ πάντα [p]κατέχοντες.

Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι, [q]ἡ 11
καρδία ἡμῶν [r]πεπλάτυνται· οὐ [s]στενοχωρεῖσθε ἐν 12
ἡμῖν, [s]στενοχωρεῖσθε δὲ ἐν [t]τοῖς σπλάγχνοις ὑμῶν.
[u]τὴν δὲ αὐτὴν ἀντιμισθίαν, [x]ὡς τέκνοις λέγω, πλατύν- 13
θητε καὶ ὑμεῖς. [y]Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπί- 14
στοις· [z]τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; [a]τίς

[1] θήμενος E. [2] —γὰρ LTTrWHR. [3] γενώμεθα LTTrWHR.
[4] συνιστάντες LTTr, συνιστάνοντες WH.

[a] Rom. 5. 10, 11. [b] Gal. 6. 14. 2 Pet. 2. 5. [c] Ps. 32. 2. Rom. 4. 8. [d] Eph. 6. 20. Cf. Mal. 2. 7. [e] cap. 6. 1. [f] Cf. 1 Pet. 2. 22. [g] Rom. 8. 3. Gal. 3. 13. [h] Vid. 1 Cor. 1. 30. [i] Cf. Act. 14. 27. 1 Cor. 3. 9. [k] Vid. Act. 11. 23. [l] 1 Thess. 3. 5. Cf. Heb. 12. 15. [m] Esa. 49. 8. [n] Ps. 32. 6; 69. 13. Esa. 55. 6. Heb. 3. 13. [o] Vid. Rom. 15. 16. Cf. Luc. 4. 19. [p] Cf. 1 Cor. 8. 13. [q] Cf. 1 Cor. 9. 12. [r] Vid. cap. 3. 1. [s] cap. 12. 12. Cf. Act. 9. 16. [t] cap. 12. 10. [u] Act. 16. 23. [x] cap. 12. 20. Vid. Luc. 21. 9. [y] cap. 11. 27. [z] Vid. Luc. 2. 37. [a] cap. 11. 3 (var. lect.). [b] Vid. 1 Cor. 13. 4. [c] Gal. 5. 22. Col. 3. 12. [d] 1 Thess. 1. 5. [e] Rom. 12. 9. [f] Vid. cap. 4. 2. [g] 1 Cor. 2. 5. [h] cap. 10. 4. [i] Cf. Eph. 6. 16, 17. [k] Matt. 27. 63. Cf. 1 Thess. 2. 3. [l] Cf. cap. 11. 6. [m] Ps. 118. 18. [n] Cf. Joan. 16. 22. cap. 7. 4. [o] cap. 8. 9. Cf. Prov. 13. 7. Matt. 5. 12. Act. 3. 6. [p] 1 Cor. 7. 30. [q] cap. 7. 3. [r] Ps. 119. 32. [s] cap. 4. 8. Cf. cap. 7. 2. [t] cap. 7. 15. Col. 3. 12. [u] Cf. Gal. 4. 12. [x] Vid. 1 Cor. 4. 14. [y] Deut. 7. 3. Josh. 23. 12. Ezra 9. 2. Neh. 13. 25. Cf. 1 Cor. 7. 39; 10. 21. [z] Eph. 5. 7, 11. 1 Joan. 1. 6. [a] Cf. Act. 26. 18.

15 δὲ[1] κοινωνία [a]φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις
Χριστῷ[2] πρὸς [b]Βελίαρ[3]; ἢ τίς μερὶς πιστῷ[4] μετὰ ἀπί-
16 στου; τίς δὲ [5]συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων;
[c]ὑμεῖς[6] γὰρ ναὸς [d]Θεοῦ ἐστὲ[7] ζῶντος, καθὼς εἶπεν ὁ
Θεός, [e]"Ὅτι [f]ἐνοικήσω ἐν αὐτοῖς, καὶ [g][8]ἐμπεριπατήσω·
[e]καὶ [h]ἔσομαι [f]αὐτῶν Θεός, καὶ αὐτοὶ ἔσονταί μοι[9] λαός.
17 διὸ [i]ἐξέλθετε[10] ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε, λέγει
Κύριος, [i]καὶ ἀκαθάρτου μὴ ἅπτεσθε. κἀγὼ εἰσδέξ-
18 ομαι ὑμᾶς, καὶ [k]ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ [k]ὑμεῖς
ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος
7 [l]παντοκράτωρ.' Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας,
ἀγαπητοί, [i][m]καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μο-
λυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιω-
σύνην [n]ἐν φόβῳ Θεοῦ.
Η'. 2 [o]Χωρήσατε ἡμᾶς· οὐδένα [p]ἠδικήσαμεν, οὐδένα ἐφ-
3 θείραμεν, οὐδένα [q]ἐπλεονεκτήσαμεν. οὐ πρὸς κατά-
κρισιν[11] λέγω· προείρηκα γὰρ ὅτι [r]ἐν ταῖς καρδίαις
4 ἡμῶν ἐστὲ εἰς τὸ συναποθανεῖν καὶ [12]συζῆν. [s]πολλή
μοι παρρησία πρὸς ὑμᾶς, πολλή μοι [t]καύχησις ὑπὲρ
ὑμῶν· πεπλήρωμαι [u]τῇ παρακλήσει, [x]ὑπερπερισσεύο-
5 μαι τῇ χαρᾷ ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν. Καὶ γὰρ
ἐλθόντων ἡμῶν εἰς Μακεδονίαν, [y]οὐδεμίαν ἔσχηκεν
ἄνεσιν[13] ἡ σὰρξ ἡμῶν, ἀλλ' ἐν παντὶ [z]θλιβόμενοι[14]·
6 [a]ἔξωθεν μάχαι, ἔσωθεν φόβοι. ἀλλ' [u]ὁ παρακαλῶν
[b]τοὺς ταπεινοὺς παρεκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐν τῇ
7 παρουσίᾳ [c]Τίτου· οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ,
ἀλλὰ καὶ ἐν [u]τῇ παρακλήσει ᾗ παρεκλήθη ἐφ' ὑμῖν,
ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν [d]ἐπιπόθησιν, τὸν ὑμῶν
ὀδυρμόν, τὸν ὑμῶν ζῆλον ὑπὲρ ἐμοῦ, ὥστε με μᾶλ-
8 λον χαρῆναι. Ὅτι [e]εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπι-
στολῇ, οὐ [f]μεταμέλομαι, [g]εἰ καὶ μετεμελόμην· [15]βλέπω
γὰρ [16]ὅτι ἡ ἐπιστολὴ ἐκείνη, εἰ καὶ [h]πρὸς ὥραν, ἐλύπη-

[1] ἢ τίς LTTrWHR. [2] Χριστοῦ LTTrWHR. [3] Βελίαλ BELR (non marg.). [4] πιστοῦ WH marg. [5] συν- TWH. [6] ἡμεῖς L (non marg.) TTr (non marg.) WHR. [7] ἐσμὲν L (non marg.) TTr (non marg.) WHR. [8] ἐν- TWH. [9] μου LTTr WHR. [10] ἐξέλθατε LTTrWH. [11] πρὸς κατάκρισιν οὐ LTTr WHR. [12] συν- LTTrWH. [13] ἔσχεν ἄνεσιν LTr (non marg.), ἄνεσιν ἔσχηκεν L marg. [14] θλιβόμενοι—ἔξωθεν...φόβοι—. WH. [15] (βλέπω...ὑμᾶς,) WH. [16] —γὰρ Tr[LTr marg.]WH.R marg.

[a] Vid. Joan. 8. 12. [b] Deut. 13. 13. Cf. 1 Cor. 10. 21. [c] Vid. 1 Cor. 3. 16. [d] Vid. Matt. 16. 16. [e] Lev. 26. 12. [f] Ex. 25. 8; 29. 45. Cf. Joan. 14. 23. [g] Rev. 2. 1. [h] Ex. 6. 7. Jer. 7. 23; 11. 4; 24. 7; 30. 22; 31. 33; 32. 38. Ezek. 11. 20; 14. 11; 36. 28; 37. 27. Zech. 8. 8; 13. 9. [i] Esa. 52. 1. Cf. cap. 7. 1. Rev. 18. 4. [k] 1 Joan. 3. 1. Cf. Ex. 4. 22. Esa. 43. 6. Jer. 31. 9. Ose. 1. 10. Rev. 21. 7. [l] Rev. 1. 8; 4. 8; 11. 17; 15. 3; 16. 7, 14; 19. 6, 15; 21. 22. [m] Act. 15. 9. Cf. 1 Cor. 3. 17. 1 Pet. 1. 15. [n] Rom. 11. 20. 1 Pet. 1. 17. [o] Cf. cap. 6. 12, 13. [p] Cf. Act. 20. 33. cap. 11. 20. [q] Vid. cap. 2. 11. Cf. 1 Thess. 2. 5. [r] cap. 6. 11. Phil. 1. 7. [s] cap. 3. 12. Vid. Act. 4. 13. [t] ver. 14. cap. 1. 12; 8. 24; 9. 2. [u] ver. 6, 7, 13. cap. 1. 4. Cf. cap. 6. 10.

[x] Phil. 2. 17. Col. 1. 24. Cf. Matt. 5. 12. [y] cap. 2. 13. [z] cap. 4. 8. [a] Cf. Deut. 32. 25. [b] Jac. 4. 6. [c] ver. 13, 14. Vid. cap. 2. 13. [d] ver. 11. [e] Cf. 1 Cor. 5. 2. cap. 2. 2. [f] ver. 10. Vid. Matt. 21. 29. [g] cap. 2. 4. [h] Gal. 2. 5. Cf. 1 Thess. 2. 17.

σεν ὑμᾶς·[15] νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ᾽ ὅτι 9
[a]ἐλυπήθητε εἰς μετάνοιαν· ἐλυπήθητε γὰρ κατὰ Θεόν,
ἵνα ἐν μηδενὶ [b]ζημιωθῆτε ἐξ ἡμῶν. [c]ἡ γὰρ κατὰ Θεὸν 10
λύπη μετάνοιαν εἰς σωτηρίαν [d]ἀμεταμέλητον κατερ-
γάζεται[1]· [e]ἡ δὲ τοῦ κόσμου λύπη θάνατον κατεργά-
ζεται. ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ Θεὸν λυπη- 11
θῆναι ὑμᾶς[2], πόσην κατειργάσατο[3] [4]ὑμῖν [f]σπουδήν,
ἀλλὰ [g]ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ [h]φόβον,
ἀλλὰ [i]ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλ᾽[5] [k]ἐκδίκησιν; ἐν
παντὶ [l]συνεστήσατε ἑαυτοὺς [m]ἁγνοὺς εἶναι ἐν[6] [n]τῷ
πράγματι. ἄρα [o]εἰ καὶ ἔγραψα ὑμῖν, οὐχ εἵνεκεν[7] 12
[p]τοῦ ἀδικήσαντος,[8] οὐδὲ εἵνεκεν[7] [p]τοῦ ἀδικηθέντος·
ἀλλ᾽[9] εἵνεκεν[7] τοῦ φανερωθῆναι [f]τὴν σπουδὴν ὑμῶν[10]
τὴν ὑπὲρ ἡμῶν[11] πρὸς ὑμᾶς ἐνώπιον τοῦ Θεοῦ. Διὰ 13
τοῦτο [q]παρακεκλήμεθα[12] ἐπὶ[13] τῇ παρακλήσει ὑμῶν[14]·
περισσοτέρως δὲ[15] μᾶλλον ἐχάρημεν ἐπὶ τῇ χαρᾷ
[r]Τίτου, ὅτι [s]ἀναπέπαυται τὸ πνεῦμα αὐτοῦ ἀπὸ πάν-
των ὑμῶν· ὅτι εἴ τι αὐτῷ ὑπὲρ ὑμῶν [t]κεκαύχημαι, 14
οὐ κατῃσχύνθην· ἀλλ᾽ ὡς πάντα [u]ἐν ἀληθείᾳ ἐλαλή-
σαμεν ὑμῖν[16], οὕτω καὶ [t]ἡ καύχησις ἡμῶν[17] ἡ[18] ἐπὶ
[r]Τίτου, ἀλήθεια ἐγενήθη· καὶ [x]τὰ σπλάγχνα αὐτοῦ 15
περισσοτέρως εἰς ὑμᾶς ἐστίν, ἀναμιμνησκομένου [y]τὴν
πάντων ὑμῶν ὑπακοήν, ὡς μετὰ [z]φόβου καὶ τρόμου
ἐδέξασθε αὐτόν. χαίρω[19] ὅτι ἐν παντὶ [a]θαρρῶ ἐν 16
ὑμῖν.

[b]ΓΝΩΡΙΖΟΜΕΝ δὲ ὑμῖν, ἀδελφοί, [c]τὴν χάριν τοῦ 8 Θ′.
Θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς [d]Μακε-
δονίας· ὅτι ἐν πολλῇ [e]δοκιμῇ θλίψεως ἡ περισσεία 2
τῆς χαρᾶς αὐτῶν καὶ [f]ἡ κατὰ βάθους πτωχεία αὐτῶν
ἐπερίσσευσεν [g]εἰς τὸν πλοῦτον[20] [h]τῆς ἁπλότητος αὐτῶν·
ὅτι [i]κατὰ δύναμιν, μαρτυρῶ, καὶ ὑπὲρ[21] δύναμιν [k]αὐθαί- 3
ρετοι, μετὰ πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν, 4

[a] Ps. 38. 18. 1 Cor. 5. 2.
[b] Vid. Luc. 9. 25.
[c] Cf. 2 Sam. 12. 13. Act. 11. 18.
[d] ver. 8. Rom. 11. 29.
[e] Cf. Prov. 17. 22.
[f] ver. 12. Vid. Rom. 12. 8.
[g] Act. 22. 1; 25. 16. 1 Cor. 9. 3. Phil. 1. 7, 16. 2 Tim. 4. 16. 1 Pet. 3. 15.
[h] ver. 15.
[i] ver. 7.
[k] Cf. cap. 2. 6.
[l] Vid. cap. 3. 1.
[m] Jac. 3. 17.
[n] 1 Thess. 4. 6.
[o] ver. 8, 9. cap. 2. 4.
[p] 1 Cor. 5. 1, 2.
[q] ver. 4.
[r] ver. 6.
[s] Rom. 15. 32. 1 Cor. 16. 18. Philem. 7, 20.
[t] ver. 4.
[u] Vid. cap. 4. 2.
[x] cap. 6. 12.
[y] cap. 2. 9; 10. 6.
[z] 1 Cor. 2. 3.
[a] Cf. cap. 2. 3.
[b] Vid. 1 Cor. 15. 1.
[c] ver. 4. cap. 9. 14. Vid. Act. 24. 17.
[d] Vid. Act. 16. 9.
[e] cap. 9. 13. Vid. Rom. 5. 4.
[f] Marc. 12. 44.
[g] Vid. Rom. 2. 4.
[h] cap. 9. 11, 13. Rom. 12. 8.
[i] ver. 11. Cf. 1 Cor. 16. 2.
[k] ver. 17.

[1] ἐργάζεται LTTrWHR. [2] —ὑμᾶς LTTrWHR. [3] κατήργασατο T. [4] + [ἐν] L. [5] ἀλλὰ LTTrWH. [6] —ἐν TTr[L]WHR. [7] ἕνεκεν LTTrWH. [8] + [ἀλλ᾽] WH. [9] ἀλλὰ Tr. [10] ἡμῶν BEL *marg.* [11] ὑμῶν BE. [12] παρακεκλήμεθα. WH, παρακεκλήμεθα· R. [13] + δὲ LTTrWHR. [14] ἡμῶν LTTrWHR. [15] —δὲ LTTrWHR: ἡμῶν περισσοτέρως *jungunt* WHR. [16] πάντοτε ὑμῖν ἐν ἀληθείᾳ ἐλαλήσαμεν L *marg.* [17] ὑμῶν L. [18] —ἡ T[Tr]WH (*non marg.*). [19] + οὖν BE. [20] τὸ πλοῦτος LTTrWHR. [21] παρὰ LTTrWHR.

[a]τὴν χάριν καὶ τὴν κοινωνίαν τῆς [b]διακονίας τῆς εἰς
5 τοὺς ἁγίους[1] **δέξασθαι ἡμᾶς**[2]· καὶ οὐ καθὼς ἠλπίσα-
μεν, **ἀλλ'**[3] ἑαυτοὺς ἔδωκαν πρῶτον τῷ Κυρίῳ, καὶ
6 ἡμῖν [c]διὰ θελήματος Θεοῦ· εἰς [d]τὸ παρακαλέσαι ἡμᾶς
[e]Τίτον, ἵνα καθὼς [f]προενήρξατο, οὕτω καὶ ἐπιτελέσῃ
7 εἰς ὑμᾶς καὶ [a]τὴν χάριν ταύτην. Ἀλλ' ὥσπερ [g]ἐν
παντὶ περισσεύετε, πίστει, καὶ [g]λόγῳ, καὶ [gh]γνώσει,
καὶ πάσῃ [i]σπουδῇ, καὶ [k]τῇ **ἐξ ὑμῶν ἐν ἡμῖν**[4] ἀγάπῃ,
8 ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι [l]περισσεύητε. [m]οὐ κατ'
ἐπιταγὴν λέγω, ἀλλὰ διὰ τῆς ἑτέρων [i]σπουδῆς καὶ
9 τὸ τῆς **ὑμετέρας**[5] [k]ἀγάπης γνήσιον δοκιμάζων· γινώσ-
κετε γὰρ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-
στοῦ[6], [n]ὅτι δι' ὑμᾶς [n]ἐπτώχευσε, πλούσιος ὤν, ἵνα
10 ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε. καὶ [o]γνώμην
ἐν τούτῳ δίδωμι· [p]τοῦτο γὰρ ὑμῖν συμφέρει, οἵτινες
οὐ μόνον τὸ ποιῆσαι, ἀλλὰ καὶ τὸ θέλειν [f]προενήρ-
11 ξασθε [q]ἀπὸ πέρυσι· νυνὶ δὲ καὶ τὸ ποιῆσαι ἐπιτε-
λέσατε, ὅπως καθάπερ [r]ἡ προθυμία τοῦ θέλειν, οὕτω
12 καὶ τὸ ἐπιτελέσαι ἐκ τοῦ ἔχειν. Εἰ γὰρ [r]ἡ προθυμία
πρόκειται, [s]καθὸ **ἐὰν**[7] ἔχῃ **τις**[8], [t]εὐπρόσδεκτος, οὐ καθὸ
13 οὐκ ἔχει. οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν **δὲ**[9] θλί-
ψις[10]·[11] ἀλλ' ἐξ ἰσότητος, ἐν τῷ νῦν καιρῷ τὸ ὑμῶν
14 περίσσευμα εἰς τὸ ἐκείνων [u]ὑστέρημα, ἵνα καὶ τὸ
ἐκείνων περίσσευμα γένηται εἰς τὸ ὑμῶν ὑστέρημα·
15 ὅπως γένηται ἰσότης, καθὼς γέγραπται, [x]‘Ὁ τὸ πολύ,
οὐκ ἐπλεόνασε· καὶ ὁ τὸ ὀλίγον, οὐκ ἠλαττόνησε.’
16 [y]Χάρις δὲ τῷ Θεῷ [z]τῷ διδόντι τὴν αὐτὴν [i]σπουδὴν
17 ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ [e]Τίτου· ὅτι [d]τὴν μὲν παρά-
κλησιν ἐδέξατο, [i]σπουδαιότερος δὲ ὑπάρχων, [a]αὐθαί-
18 ρετος ἐξῆλθε πρὸς ὑμᾶς. Συνεπέμψαμεν δὲ **μετ'**
αὐτοῦ [b]**τὸν ἀδελφόν**[12], οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ
19 διὰ [c]πασῶν τῶν ἐκκλησιῶν[13]· [d]οὐ μόνον δέ, ἀλλὰ καὶ
[e]χειροτονηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν [f]συνέκδημος ἡμῶν,
σὺν[14] [a]τῇ χάριτι ταύτῃ [b]τῇ διακονουμένῃ ὑφ' ἡμῶν,

[1] ἁγίους,— WH. [2] —δέξασθαι ἡμᾶς LTTrWHR. [3] ἀλλὰ TTr. [4] ἐξ ἡμῶν ἐν ὑμῖν BWH (*non marg.*) R *marg.* [5] ἡμετέρας E. [6] [Χριστοῦ] WH. [7] ἂν T. [8] —τις LTTrWHR. [9] —δὲ LTTrWHR. [10] θλῖψις LTr. [11] θλίψις,...ἰσότητος· WH *marg.* [12] τὸν ἀδελφὸν μετ' αὐτοῦ TR. [13] ἐκκλησιῶν,— WH. [14] ἐν LTrWHR.

[a] ver. 1, 6, 9, 19. Vid. 1 Cor. 16. 3.
[b] ver. 19, 20. Vid. Act. 6. 1.
[c] Vid. 1 Cor. 1. 1.
[d] ver. 17. cap. 12. 18.
[e] ver. 16, 23. Vid. cap. 2. 13.
[f] ver. 10.
[g] 1 Cor. 1. 5.
[h] Vid. 1 Cor. 12. 8.
[i] ver. 8, 16. Vid. Rom. 12. 8. Cf. ver. 17.
[k] ver. 8, 24.
[l] cap. 9. 8.
[m] 1 Cor. 7. 6.
[n] cap. 6. 10. Cf. Matt. 20. 28.
[o] 1 Cor. 7. 25.
[p] Deut. 15. 7, 8. Prov. 19. 17; 28. 27. 1 Tim. 6. 18, 19. Heb. 13. 16.
[q] cap. 9. 2.
[r] ver. 12, 19. cap. 9. 2. Act. 17. 11.
[s] Cf. Marc. 12. 43, 44. Luc. 21. 3. cap. 9. 7.
[t] Vid. Rom. 15. 16.
[u] cap. 9. 12. Cf. Act. 4. 34.
[x] Ex. 16. 18.
[y] cap. 2. 14.
[z] Rev. 17. 17.
[a] ver. 3.
[b] cap. 12. 18. Cf. ver. 22. 1 Cor. 16. 3.
[c] 1 Cor. 7. 17.
[d] Vid. Rom. 5. 3.
[e] Act. 14. 23.
[f] Act. 19. 29.

[a] cap. 4. 15. [b] ver. 11. [c] 2 Thess. 3. 6. [d] ver. 4. [e] Vid. Rom. 12. 17. [f] Cf. ver. 18. cap. 9. 5. [g] cap. 2. 3. [h] ver. 6, 13. [i] Philem. 17. [k] Rom. 16. 3. [l] Vid. Joan. 13. 16. [m] ver. 7, 8. [n] cap. 9. 2, 3. Vid. cap. 7. 4. [o] ver. 4. Vid. Act. 6. 1. [p] Vid. Rom. 12. 13. ver. 12. Cf. Act. 24. 17. 1 Thess. 4. 9, 10. [q] Vid. cap. 8. 11. [r] Vid. Act. 18. 12. [s] cap. 8. 10. [t] Phil. 1. 26. [u] cap. 8. 10. [x] 1 Cor. 16. 2. [y] Cf. Act. 20. 4. [z] cap. 11. 17. [a] Heb. 3. 14; 11. 1. [b] cap. 8. 18, 22, 23. [c] ver. 6. Gen. 33. 11. Judic. 1. 15. 1 Sam. 25. 27; 30. 26. 2 Reg. 5. 15. [d] Phil. 4. 17. [e] cap. 12. 17, 18. [f] Prov. 11. 24, 25. Gal. 6. 7, 9. Cf. Mal. 3. 10. [g] Prov. 22. 8, 9. [h] Deut. 15, 10. Cf. cap. 8. 12. [i] Rom. 12. 8. [k] 1 Cor. ... 3. ... 10. 2. [l] ver. 17.

[a]πρὸς τὴν **αὐτοῦ**[1] τοῦ Κυρίου δόξαν, καὶ [b]προθυμίαν
ὑμῶν[2,3]· [c]στελλόμενοι τοῦτο, μή τις ἡμᾶς μωμήσηται 20
ἐν τῇ ἁδρότητι[4] ταύτῃ [d]τῇ διακονουμένῃ ὑφ' ἡμῶν·
[e]**προνοούμενοι**[5] καλὰ οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ 21
καὶ ἐνώπιον ἀνθρώπων. Συνεπέμψαμεν δὲ αὐτοῖς 22
[f]τὸν ἀδελφὸν ἡμῶν, ὃν ἐδοκιμάσαμεν ἐν πολλοῖς
πολλάκις σπουδαῖον ὄντα, νυνὶ δὲ πολὺ σπουδαιό-
τερον, [g]πεποιθήσει πολλῇ τῇ εἰς ὑμᾶς. εἴτε ὑπὲρ 23
[h]Τίτου, [i]κοινωνὸς ἐμὸς καὶ εἰς ὑμᾶς [k]συνεργός· εἴτε
ἀδελφοὶ ἡμῶν, [l]ἀπόστολοι ἐκκλησιῶν, δόξα Χριστοῦ.
τὸς εἴδους πονηροῦ ἀπέχεσθε. [e]Αὐτὸς δὲ [f]ὁ Θεὸς 23 Ζʹ.
τῆς εἰρήνης [g]ἁγιάσαι ὑμᾶς [h]ὁλοτελεῖς· καὶ ὁλόκληρον
ὑμῶν [i]τὸ πνεῦμα καὶ [i]ἡ ψυχὴ καὶ τὸ σῶμα [k]ἀμέμπτως
ἐν τῇ [l]παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
τηρηθείη. πιστὸς [m]ὁ καλῶν ὑμᾶς, [n]ὃς καὶ ποιήσει. 24
[o]Ἀδελφοί, προσεύχεσθε[3] περὶ ἡμῶν. [p]ἀσπάσασθε 25, 26
τοὺς ἀδελφοὺς πάντας ἐν φιλήματι ἁγίῳ. [q]ὁρκίζω[4] 27
ὑμᾶς τὸν Κύριον, [r]ἀναγνωσθῆναι τὴν ἐπιστολὴν πᾶσι
τοῖς ἁγίοις[5] ἀδελφοῖς· [s]ἡ χάρις τοῦ Κυρίου ἡμῶν 28
Ἰησοῦ Χριστοῦ μεθʼ ὑμῶν. ἀμήν.[6]

Πρὸς Θεσσαλονικεῖς πρώτη ἐγράφη ἀπὸ Ἀθηνῶν.[7]

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ

ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ

ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ[8].

---

[t]ΠΑΥΛΟΣ καὶ [u]Σιλουανὸς καὶ Τιμόθεος, τῇ ἐκκλη- 1
σίᾳ [x]Θεσσαλονικέων ἐν Θεῷ πατρὶ ἡμῶν καὶ Κυρίῳ
Ἰησοῦ Χριστῷ· [y]χάρις ὑμῖν καὶ [y]εἰρήνη ἀπὸ Θεοῦ 2
πατρὸς ἡμῶν[9] καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.
[z]Εὐχαριστεῖν ὀφείλομεν τῷ Θεῷ [a]πάντοτε περὶ 3 Αʹ.
ὑμῶν, ἀδελφοί, καθὼς ἄξιόν ἐστιν, ὅτι [b]ὑπεραυξάνει
ἡ πίστις ὑμῶν, καὶ [c]πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου
πάντων ὑμῶν εἰς ἀλλήλους· [d]ὥστε ἡμᾶς αὐτοὺς[10] ἐν 4
ὑμῖν καυχᾶσθαι[11] [e]ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ, ὑπὲρ

[a] Cf. 1 Cor. 14. 20. [b] Eph. 5. 10. 1 Joan. 4. 1. [c] Rom. 12. 9. Cf. Job 34. 4. [d] Cf. Phil. 4. 8. [e] Vid. cap. 3. 11. [f] Vid. Rom. 15. 33. [g] Ex. 31. 13. Lev. 20. 8. Joan. 17. 17. [h] Jac. 1. 4. [i] Luc. 1. 46. Heb. 4. 12. [k] Luc. 1. 6. [l] Vid. cap. 2. 19. [m] cap. 2. 12. 1 Cor. 1. 9. [n] Cf. Phil. 1. 6. [o] 2 Thess. 3. 1. Heb. 13. 18. Cf. Eph. 6. 19. [p] Vid. Rom. 16. 16. [q] Vid. Marc. 5. 7. [r] Col. 4. 16. Cf. Rom. 16. 22. [s] Vid. Rom. 16. 20. [t] 1 Thess. 1. 1. [u] Vid. 2 Cor. 1. 19. [x] Vid. Act. 17. 1. [y] Vid. Rom. 1. 7. [z] cap. 2. 13. 1 Thess. 1. 2. [a] Eph. 5. 20. [b] 2 Cor. 10. 15. [c] 1 Thess. 3. 12. [d] Cf. 1 Thess. 2. 19. [e] 1 Cor. 7. 17. Cf. 1 Thess. 1. 8.

[1] ζβέννυτε T. [2] + δὲ LTTr[WH]R *marg.* [3] + [καὶ] LTr *marg.* [WH]R *marg.* [4] ἐνορκίζω LTTrWHR. [5] — ἁγίοις LTTrWH (*non marg.*) R (*non marg.*) ([ἁγίοις] Tr *marg.*). [6] — ἀμήν. LTTrWHR. [7] + Ἐν στίχοις ρϛγ S: *subscriptio deest in* LTWHR, Πρὸς Θεσσαλονικεῖς A Tr. [8] — Παύλου τοῦ ἀποστόλου S: *at* Πρὸς Θεσσαλονικεῖς B *tantum* LTTrWH. [9] — ἡμῶν [LTr] WHR. [10] αὐτοὺς ἡμᾶς TTrWH. [11] ἐγκαυχᾶσθαι (ἐν- TWH) LTTrWHR.

τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως [a]ἐν πᾶσι τοῖς διω-
5 γμοῖς ὑμῶν καὶ ταῖς θλίψεσιν αἷς ἀνέχεσθε[1], [b]ἔνδει-
γμα [c]τῆς δικαίας κρίσεως τοῦ Θεοῦ, εἰς τὸ [d]καταξιω-
θῆναι ὑμᾶς τῆς βασιλείας τοῦ Θεοῦ, ὑπὲρ ἧς καὶ
6 πάσχετε· [e]εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς
7 θλίβουσιν ὑμᾶς θλίψιν[2], καὶ [f]ὑμῖν τοῖς θλιβομένοις
[g]ἄνεσιν μεθ' ἡμῶν, [h]ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου
Ἰησοῦ ἀπ' οὐρανοῦ [i]μετ' ἀγγέλων δυνάμεως αὐτοῦ,
8 [k l]ἐν **πυρὶ φλογός**[3], [l]διδόντος ἐκδίκησιν [m]τοῖς μὴ εἰδόσι
Θεόν, καὶ [n]τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ τοῦ
9 Κυρίου ἡμῶν Ἰησοῦ **Χριστοῦ**[4]· οἵτινες δίκην τίσου-
σιν, [o]**ὄλεθρον**[5] αἰώνιον, ἀπὸ προσώπου τοῦ Κυρίου,
10 καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, [p i]ὅταν ἔλθῃ
[q]ἐνδοξασθῆναι [i]ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ [r]θαυμασθῆναι
ἐν πᾶσι τοῖς **πιστεύουσιν**[6], [s]ὅτι ἐπιστεύθη[7] [s]τὸ μαρτύ-
11 ριον ἡμῶν ἐφ' ὑμᾶς, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. εἰς ὃ καὶ
[t]προσευχόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα ὑμᾶς [d]ἀξιώσῃ
τῆς κλήσεως [u]ὁ Θεὸς ἡμῶν, καὶ [x]πληρώσῃ πᾶσαν
εὐδοκίαν [y]ἀγαθωσύνης καὶ [z]ἔργον πίστεως ἐν δυνά-
12 μει· ὅπως [q a]ἐνδοξασθῇ τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ **Χριστοῦ**[4] ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ, κατὰ
τὴν χάριν [u]τοῦ Θεοῦ ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χρισ-
τοῦ.

Β'. 2 ἘΡΩΤΩΜΕΝ δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ [b]τῆς παρου-
σίας τοῦ Κυρίου **ἡμῶν**[8] Ἰησοῦ Χριστοῦ, καὶ ἡμῶν
2 [c]ἐπισυναγωγῆς ἐπ' αὐτόν, εἰς τὸ μὴ ταχέως [d]σαλευ-
θῆναι ὑμᾶς ἀπὸ τοῦ νοός, **μήτε**[9] [e]θροεῖσθαι, μήτε
[f]διὰ πνεύματος, μήτε διὰ λόγου, [g]μήτε δι' ἐπιστολῆς
ὡς δι' ἡμῶν, [h]ὡς ὅτι [i]ἐνέστηκεν [k]ἡ ἡμέρα τοῦ **Χριστοῦ**[10].[11]
3 [l]Μή τις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον· ὅτι
[m]ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον, καὶ ἀποκαλυφθῇ
4 [n]ὁ ἄνθρωπος τῆς **ἁμαρτίας**[12], [o]ὁ υἱὸς τῆς ἀπωλείας, ὁ
ἀντικείμενος καὶ [p]ὑπεραιρόμενος ἐπὶ πάντα[13] [q]λεγόμε-
νον Θεὸν ἢ [r]σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ

[1] ἐνέχεσθε WH *marg.* [2] θλῖψιν LTr. [3] φλογὶ πυρὸς L (*non marg.*) Tr (*non marg.*). [4] —Χριστοῦ TTr[L]WHR. [5] ὀλέθριον L (*non marg.*). [6] πιστεύσασιν LTTrWHR. [7] ἐπιστεύθη WH, *at Ap.* † WH *marg.* [8] [ἡμῶν] WH. [9] μηδὲ LTTrWHR. [10] κυρίου LTTrWHR. [11] ,—WH *marg.* · R. [12] ἀνομίας TTr (*non marg.*) WH (*non marg.*) R *marg.* [13] πᾶν τὸ B.

[a] 1 Thess. 2. 14. Cf. Marc. 10. 30. 2 Tim. 2. 12. [b] Cf. Phil. 1. 28. [c] Cf. Rom. 2. 5. [d] Vid. Luc. 20. 35. Cf. ver. 11. [e] Ex. 23. 22. Joel 3. 4, 7. [f] Cf. Heb. 6. 10. [g] Cf. Rev. 6. 10, 11; 14. 13. [h] Vid. Luc. 17. 28. Cf. 1 Thess. 4. 16. [i] Vid. Matt. 16. 27. Cf. Jud. 14. [k] 1 Cor. 3. 13, 15. Heb. 10. 27; 12. 29. 2 Pet. 3. 7. Jud. 7. Rev. 14. 10; 19. 20; 20. 10, 14, 15; 21. 8. Cf. Mal. 4. 1. Matt. 25. 41. [l] Esa. 35. 4; 66. 15, 16. [m] Vid. Gal. 4. 8. [n] Cf. Rom. 2. 8. [o] Matt. 25. 46. Cf. Phil. 3. 19. 1 Thess. 5. 3. [p] Cf. 1 Thess. 1. 10. [q] Ps. 89. 7 (Septuagint.). Cf. Esa. 2. 10, 19, 21; 49. 3. Joan. 17. 10. ver. 12. [r] Ps. 68. 35 (Septuagint.). [s] 1 Cor. 1. 6. Cf. 1 Thess. 2. 1, 13. [t] Col. 1. 9. [u] 1 Thess. 2. 2. Vid. Phil. 1. 3. [x] ver. 3. [y] Rom. 15. 14. [z] 1 Thess. 1. 3. [a] Cf. Act. 13. 48. [b] ver. 8, 9. Vid. 1 Thess. 2. 19. [c] 1 Thess. 4. 15—17. [d] Act. 17. 13. [e] Matt. 24. 6. Marc. 13. 7. [f] Cf. 1 Joan. 4. 1. [g] ver. 15. [h] Cf. 1 Thess. 5. 2. [i] Vid. Matt. 24. 3. [k] 1 Cor. 1. 8. [l] Eph. 5. 6. [m] Cf. 1 Tim. 4. 1. [n] Cf. Dan. 7. 25; 8. 24, 25; 11. 36. Rev. 13. 5, 6. [o] Joan. 17. 12. [p] Dan. 11. 36. [q] 1 Cor. 8. 5. [r] Act. 17. 23.

Θεοῦ ὡς Θεὸν[1] καθίσαι, [a]ἀποδεικνύντα[2] ἑαυτὸν ὅτι ἐστὶ
Θεός. οὐ μνημονεύετε ὅτι ἔτι ὢν πρὸς ὑμᾶς, ταῦτα 5
ἔλεγον ὑμῖν; καὶ νῦν [b]τὸ κατέχον οἴδατε εἰς τὸ 6
ἀποκαλυφθῆναι αὐτὸν [c]ἐν τῷ ἑαυτοῦ[3] καιρῷ. τὸ γὰρ 7
[d]μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας, μόνον [b]ὁ
κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται· καὶ τότε ἀπο- 8
καλυφθήσεται [e]ὁ ἄνομος, [f]ὃν ὁ Κύριος[4] ἀναλώσει[5]
[g]τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει
τῇ [h]ἐπιφανείᾳ τῆς [i]παρουσίας αὐτοῦ· οὗ ἐστιν ἡ 9
[i]παρουσία κατ' [k]ἐνέργειαν τοῦ [l]Σατανᾶ ἐν πάσῃ δυνά-
μει καὶ [m]σημείοις καὶ [m]τέρασι [n]ψεύδους, καὶ ἐν πάσῃ 10
ἀπάτῃ τῆς[6] ἀδικίας ἐν[7] [o]τοῖς ἀπολλυμένοις, ἀνθ' ὧν
τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆ-
ναι αὐτούς· καὶ διὰ τοῦτο [p]πέμψει[8] αὐτοῖς ὁ Θεὸς 11
ἐνέργειαν πλάνης, εἰς τὸ πιστεῦσαι αὐτοὺς [q]τῷ ψεύδει·
ἵνα κριθῶσι πάντες[9] [r]οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, 12
[s]ἀλλ'[10] εὐδοκήσαντες ἐν[11] τῇ ἀδικίᾳ. [t]Ἡμεῖς δὲ ὀφεί- 13 Γ'.
λομεν εὐχαριστεῖν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, [u]ἀδελ-
φοὶ ἠγαπημένοι ὑπὸ Κυρίου, ὅτι εἵλετο[12] ὑμᾶς ὁ Θεὸς
[x]ἀπ' ἀρχῆς[13] εἰς σωτηρίαν ἐν [y]ἁγιασμῷ πνεύματος καὶ
[z]πίστει ἀληθείας, εἰς ὃ[14] ἐκάλεσεν ὑμᾶς[15] διὰ τοῦ εὐαγ- 14
γελίου ἡμῶν, εἰς [a]περιποίησιν [b]δόξης τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ. ἄρα οὖν, ἀδελφοί, [c]στήκετε, καὶ 15
κρατεῖτε [d]τὰς παραδόσεις ἃς ἐδιδάχθητε, εἴτε διὰ
λόγου εἴτε [e]δι' ἐπιστολῆς ἡμῶν. [f]αὐτὸς δὲ ὁ Κύριος 16
ἡμῶν Ἰησοῦς[16] Χριστός, καὶ [f]ὁ[17] Θεὸς καὶ[18] πατὴρ
ἡμῶν, [g]ὁ ἀγαπήσας ἡμᾶς καὶ δοὺς [h]παράκλησιν αἰω-
νίαν καὶ [i]ἐλπίδα ἀγαθὴν ἐν χάριτι, [k]παρακαλέσαι 17
ὑμῶν τὰς καρδίας, καὶ [l]στηρίξαι ὑμᾶς[19] ἐν παντὶ
λόγῳ καὶ [m]ἔργῳ[20] ἀγαθῷ.

[n]ΤΟ λοιπόν, [o]προσεύχεσθε, ἀδελφοί, περὶ ἡμῶν, 3 Δ'.
ἵνα [p]ὁ λόγος τοῦ Κυρίου [q]τρέχῃ καὶ δοξάζηται [r]καθὼς

[1] —ὡς Θεὸν LTTrWHR. [2] ἀποδειγνύοντα L *marg.* [3] αὐτοῦ TTrWHR. [4] + Ἰησοῦς LTTr[WH]R (*non marg.*). [5] ἀνελεῖ LTTrWH *text.* (ἀναλοῖ WH *marg.*) R (*non marg.*). [6] —τῆς LTTrWHR. [7] —ἐν LTTrWHR. [8] πέμπει LTTrWHR, πέμψῃ B. [9] (ν) ἅπαντες L *marg.* TTrWH *marg.* [10] ἀλλὰ TTrWH. [11] —ἐν TTr[L]WHR. [12] εἵλατο LTTrWH. [13] ἀπαρχὴν LWH *marg.* R *marg.* [14] + και T. [15] ἡμᾶς L. [16] + ὁ L. [17] —ὁ Tr (*non marg.*) [LWH]. [18] ὁ L (*non marg.*) TTrWHR. [19] —ὑμᾶς LTTrWHR. [20] ἔργῳ καὶ λόγῳ LTTrWHR.

[a] Cf. Esa. 14. 14. Ezek. 28. 2, 6, 9. [b] ver. 7. Luc. 4. 42. Rom. 1. 18. [c] Dan. 11. 29, 35. [d] Rev. 17. 5, 7. Vid. Rom. 16. 25. [e] Cf. 1 Tim. 4. 1. Joan. 2. 18; 4. 3. [f] Cf. Dan. 7. 10, 11. [g] Job 4. 9. Esa. 11. 4. Cf. Ps. 33. 6. [h] 1 Tim. 6. 14. 2 Tim. 1. 10; 4. 1, 8. Tit. 2. 13. [i] ver. 1. [k] Vid. Eph. 1. 19. [l] Vid. 1 Cor. 5. 5. [m] Vid. Joan. 4. 48. [n] Cf. Matt. 24. 24. [o] Vid. 1 Cor. 1. 18. [p] Cf. 1 Reg. 22. 23. Ezek. 14. 9. [q] 1 Tim. 4. 2. Cf. 1 Thess. 2. 3. Vid. Rom. 1. 25. [r] Rom. 2. 8. Vid. Marc. 16. 16. [s] Cf. Rom. 1. 32. [t] cap. 1. 3. [u] Vid. 1 Thess. 1. 4. [x] Cf. Eph. 1. 4. [y] Vid. 1 Thess. 4. 3. [z] Cf. 1 Pet. 1. 5. [a] Vid. Luc. 17. 33 (var. lect.). Cf. 1 Thess. 5. 9. [b] 1 Thess. 2. 12. Cf. Joan. 17. 22. [c] 1 Cor. 16. 13. [d] cap. 3. 6. Vid. 1 Cor. 11. 2. [e] ver. 2. [f] cap. 3. 16. Vid. 1 Thess. 3. 11. [g] Vid. Joan. 3. 16. Cf. Phil. 2. 1. [h] 1 Thess. 4. 18. Vid. Luc. 2. 25. [i] 1 Pet. 1. 3. [k] Vid. Col. 2. 2. [l] cap. 3. 3. Vid. 1 Pet. 5. 10. [m] Vid. Act. 9. 36. [n] Vid. Eph. 6. 10. [o] 1 Thess. 5. 25. [p] Cf. Eph. 6. 19. 1 Thess. 1. 7. [q] Ps. 147. 15. [r] Act. 17. 2, 3. 1 Thess. 1. 8.

2 καὶ πρὸς ὑμᾶς, καὶ ἵνα [a] ῥυσθῶμεν ἀπὸ [b] τῶν ἀτόπων
καὶ πονηρῶν ἀνθρώπων· οὐ γὰρ πάντων ἡ πίστις.
3 [c] πιστὸς δέ ἐστιν[1] ὁ **Κύριος**[2], ὃς [d] στηρίξει ὑμᾶς καὶ
4 φυλάξει ἀπὸ τοῦ [e] πονηροῦ. [f] πεποίθαμεν δὲ ἐν Κυρίῳ
ἐφ᾽ ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν **ὑμῖν**[3], **καὶ**[4] ποιεῖτε
5 καὶ ποιήσετε. ὁ δὲ Κύριος [g] **κατευθύναι** ὑμῶν τὰς
καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ εἰς[5] ὑπομονὴν
τοῦ Χριστοῦ.

Ε΄. 6 Παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοί, [h] ἐν ὀνόματι τοῦ
Κυρίου **ἡμῶν**[6] Ἰησοῦ Χριστοῦ, [i] στέλλεσθαι ὑμᾶς [k] ἀπὸ
παντὸς ἀδελφοῦ [l] ἀτάκτως περιπατοῦντος, καὶ μὴ
7 [m] κατὰ τὴν παράδοσιν ἣν **παρέλαβε**[7] παρ᾽ ἡμῶν. αὐτοὶ
γὰρ οἴδατε [n] πῶς δεῖ μιμεῖσθαι ἡμᾶς· ὅτι οὐκ [l] ἠτακ-
8 τήσαμεν ἐν ὑμῖν, [o] οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά
τινος, **ἀλλ᾽**[8] ἐν κόπῳ καὶ μόχθῳ, [p] **νύκτα καὶ ἡμέραν**[9]
[q] ἐργαζόμενοι, [r] πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν·
9 [s] οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ᾽ ἵνα ἑαυτοὺς [t] τύπον
10 δῶμεν ὑμῖν [n] εἰς τὸ μιμεῖσθαι ἡμᾶς. καὶ γὰρ ὅτε
ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν ὑμῖν, [u] ὅτι εἴ
11 τις οὐ θέλει [q] ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. ἀκούομεν
γάρ τινας [l] περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως, μηδὲν
12 ἐργαζομένους, ἀλλὰ [x] περιεργαζομένους. τοῖς δὲ τοι-
ούτοις παραγγέλλομεν, καὶ [y] παρακαλοῦμεν **διὰ τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ**[10], ἵνα μετὰ ἡσυχίας [q] ἐργα-
13 ζόμενοι, τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν. ὑμεῖς δέ, ἀδελ-
14 φοί, [z] μὴ **ἐκκακήσητε**[11] καλοποιοῦντες. εἰ δέ τις οὐχ
ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ [a] τῆς ἐπιστολῆς, τοῦτον
σημειοῦσθε, [b] **καὶ**[12] μὴ [b] **συναναμίγνυσθε**[13] αὐτῷ, ἵνα ἐν-
15 τραπῇ· [k] καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ [c] νουθετεῖτε
ϛ΄. 16 [d] ὡς ἀδελφόν. [e] αὐτὸς δὲ ὁ Κύριος τῆς εἰρήνης [f] δῴη
ὑμῖν τὴν εἰρήνην διὰ παντὸς[14] ἐν παντὶ **τρόπῳ**[15]. [g] ὁ
Κύριος μετὰ πάντων ὑμῶν. **ἀμήν**[16].

[1] ἐστι S. [2] θεός L. [3] —ὑμῖν TTrWHR. [4] —καὶ T[TrWH], *at* [ὑμῖν καὶ ἐποιήσατε καὶ] ποιεῖτε L. [5] + τὴν LTTrWHR. [6] —ἡμῶν [LTr *marg.*]WH (*non marg.*). [7] παρελάβετε LTr *text.* WH *text.* R *marg.*, παρελάβοσαν L *marg.* TTr *marg.* WH *marg.* R *text.* [8] ἀλλὰ Tr. [9] νυκτὸς καὶ ἡμέρας L (*non marg.*) TTrWHR. [10] ἐν κυρίῳ Ἰησοῦ Χριστῷ LTTrWHR. [11] ἐγκακήσητε LTTrR, ἐνκακήσητε WH. [12] — , καὶ LTrWHR, *at* · *pro* , καὶ T. [13] συναναμίγνυσθαι LTrWHR. [14] διαπαντὸς T. [15] τόπῳ L. [16] —ἀμήν LTTrWHR.

[a] Rom. 15. 30. [b] Cf. Deut. 32. 20. [c] 1 Cor. 1. 9. [d] cap. 2. 17. [e] Vid. Matt. 5. 37. Cf. Joan. 17. 15. [f] Vid. 2 Cor. 2. 3. [g] 1 Chr. 29. 18 (Septuagint.). Luc. 1. 79. 1 Thess. 3. 11. [h] 1 Cor. 5. 4. [i] 2 Cor. 8. 20. Cf. Matt. 18. 17. 2 Tim. 3. 5. Tit. 3. 10. [k] Cf. ver. 14, 15. [l] ver. 7, 11. 1 Thess. 5. 14. [m] Vid. cap. 2. 15. [n] ver. 9. Cf. Act. 20. 35. 1 Thess. 1. 6. [o] 1 Thess. 2. 9. Cf. Phil. 4. 15. Vid. Act. 18. 3. [p] (var. lect.) Vid. Marc. 5. 5. [q] Vid. 1 Thess. 4. 11. [r] 1 Thess. 2. 9. [s] Cf. 1 Cor. 9. 4. [t] Vid. 1 Pet. 5. 3. [u] Gen. 3. 19. [x] Cf. 1 Pet. 4. 15. [y] Vid. 1 Thess. 4. 18. [z] Gal. 6. 9. Vid. Luc. 18. 1. [a] Cf. Col. 4. 16. [b] 1 Cor. 5. 11. [c] Vid. 1 Thess. 5. 12. [d] Cf. 1 Cor. 4. 14. [d] Matt. 18. 15. [e] Vid. cap. 2. 16. [f] Vid. Eph. 6. 23. Cf. Num. 6. 26. [g] Ruth 2. 4.

[a]Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου, ὅ ἐστι ση- 17
μεῖον ἐν πάσῃ ἐπιστολῇ· οὕτω γράφω. [b]ἡ χάρις 18
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων
ὑμῶν. **ἀμήν**[1].

Πρὸς Θεσσαλονικεῖς δευτέρα ἐγράφη ἀπὸ Ἀθηνῶν.
Ἐν στίχοις ρϛ̄.[2]

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ

ΤΙΜΟΘΕΟΝ

ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ[3].

ΠΑΥΛΟΣ [c]ἀπόστολος **Ἰησοῦ Χριστοῦ**[4], [d]κατ' ἐπι- 1
ταγὴν [e]Θεοῦ σωτῆρος ἡμῶν, καὶ **Κυρίου**[5] **Ἰησοῦ Χρι-**
στοῦ[6] [f]τῆς ἐλπίδος ἡμῶν, [g]Τιμοθέῳ [h]γνησίῳ τέκνῳ ἐν 2
πίστει· [i]χάρις, ἔλεος, [i]εἰρήνη ἀπὸ Θεοῦ πατρὸς **ἡμῶν**[7]
καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

[k]Καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν [l]Ἐφέσῳ, πο- 3 Α'.
ρευόμενος εἰς [m]Μακεδονίαν, ἵνα παραγγείλῃς τισὶ μὴ
[n]ἑτεροδιδασκαλεῖν, μηδὲ προσέχειν [o]μύθοις καὶ [p]γενεα- 4
λογίαις ἀπεράντοις, αἵτινες [p]**ζητήσεις**[8] παρέχουσι μᾶλ-
λον ἢ [q]**οἰκονομίαν**[9] Θεοῦ τὴν ἐν πίστει[10]· [r]τὸ δὲ τέλος τῆς 5
παραγγελίας ἐστὶν [s]ἀγάπη [t]ἐκ καθαρᾶς καρδίας καὶ
[u]συνειδήσεως ἀγαθῆς καὶ [x]πίστεως [xy]ἀνυποκρίτου· ὧν 6
τινὲς [z]ἀστοχήσαντες, [a]ἐξετράπησαν εἰς [b]ματαιολογίαν,
[c]θέλοντες εἶναι [d]νομοδιδάσκαλοι, [e]μὴ νοοῦντες μήτε ἃ 7
λέγουσι, μήτε περὶ τίνων [f]διαβεβαιοῦνται· οἴδαμεν 8
δὲ ὅτι [g]καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ νομίμως **χρῆται**[11],
εἰδὼς τοῦτο, ὅτι [h]δικαίῳ νόμος οὐ κεῖται, [i]ἀνόμοις δὲ 9
καὶ [k]ἀνυποτάκτοις, [l]ἀσεβέσι καὶ [l]ἁμαρτωλοῖς, [m]ἀνοσίοις

[1] —ἀμήν TTrWHR. [2] *Deest subscriptio in* LTWHR, Πρὸς Θεσσαλονικεῖς B Tr. [3] —Παύλου τοῦ ἀποστόλου S: —τοῦ *et* ἡ B. Πρὸς Τιμόθεον A *tantum* LTTrWH, *hoc loco interpositâ ad Hebræos Epistolâ.* [4] Χριστοῦ Ἰησοῦ TTrWHR. [5] —Κυρίου LTTrWHR. [6] Χριστοῦ Ἰησοῦ LTTrWHR. [7] —ἡμῶν LTTrWHR. [8] ἐκζητήσεις TTrWHR. [9] οἰκοδομίαν BE. [10] (L, *at* πίστει,— WH. [11] χρήσηται L.

[a] Vid. 1 Cor. 16. 21. [b] Vid. Rom. 16. 20. [c] Vid. 2 Cor. 1. 1. [d] Tit. 1. 3. Cf. Rom. 16. 26. [e] cap. 2. 3. Vid. Luc. 1. 47. Cf. 2 Tim. 1. 9. [f] Col. 1. 27. [g] ver. 18. Vid. Act. 16. 1. [h] Tit. 1. 4. Vid. Phil. 4. 3. [i] Gal. 1. 3. Vid. Rom. 1. 7. [k] 2 Tim. 1. 18. Cf. Tit. 1. 5. [l] Vid. Act. 18. 19. [m] Act. 16. 9. [n] cap. 6. 3. Cf. Rom. 16. 17. Gal. 1. 6, 7. [o] cap. 4. 7. 2 Tim. 4. 4. Tit. 1. 14. 2 Pet. 1. 16. [p] Tit. 3. 9. [q] Vid. Eph. 3. 2. [r] Vid. Matt. 7. 12. [s] Vid. Joan. 13. 34. [t] 2 Tim. 2. 22. 1 Pet. 1. 22 (var. lect.). [u] ver. 19. Act. 23. 1. 1 Pet. 3. 16, 21. [x] 2 Tim. 1. 5. [y] Vid. Jac. 3. 17. [z] cap. 6. 21. 2 Tim. 2. 18. [a] cap. 5. 15. 2 Tim. 4. 4. [b] Tit. 1. 10. [c] Cf. Jac. 3. 1. [d] Vid. Luc. 5. 17. [e] Cf. Col. 2. 18. [f] Tit. 3. 8. [g] Rom. 7. 16. [h] Cf. Gal. 5. 23. [i] Act. 2. 23. [k] Tit. 1. 6, 10. [l] 1 Pet. 4. 18. [m] 2 Tim. 3. 2.

καὶ [a]βεβήλοις, **πατραλῴαις**[1] καὶ **μητραλῴαις**[2], ἀνδρο-
10 φόνοις, [b]πόρνοις, [c]ἀρσενοκοίταις, [d]ἀνδραποδισταῖς, [e]ψεύ-
σταις, [f]ἐπιόρκοις, καὶ εἴ τι ἕτερον [g]τῇ ὑγιαινούσῃ [h]δι-
11 δασκαλίᾳ ἀντίκειται, κατὰ [i]τὸ εὐαγγέλιον τῆς δόξης
Β'. 12 [k]τοῦ μακαρίου Θεοῦ, [l]ὃ ἐπιστεύθην ἐγώ. **καὶ**[3] χάριν
ἔχω τῷ [m]**ἐνδυναμώσαντί**[4] με Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ
ἡμῶν, ὅτι [n]πιστόν με ἡγήσατο, [o]θέμενος εἰς διακονίαν,
13 **τὸν**[5] πρότερον ὄντα[6] [p]βλάσφημον καὶ [q]διώκτην καὶ
[r]ὑβριστήν· **ἀλλ'**[7] [s]ἠλεήθην, ὅτι [t]ἀγνοῶν ἐποίησα ἐν
14 ἀπιστίᾳ· [u]ὑπερεπλεόνασε δὲ [x]ἡ χάρις τοῦ Κυρίου ἡμῶν
μετὰ [y]πίστεως καὶ [y]ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ.
15 [z]πιστὸς ὁ λόγος [z]καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χρι-
στὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον [a]ἁμαρτωλοὺς σῶ-
16 σαι, [x]ὧν πρῶτός εἰμι ἐγώ· ἀλλὰ διὰ τοῦτο [s]ἠλεήθην,
ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται **Ἰησοῦς Χριστὸς**[8] τὴν
πᾶσαν[9] μακροθυμίαν, πρὸς [b]ὑποτύπωσιν τῶν μελλόν-
17 των πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον. τῷ δὲ
βασιλεῖ [bb]τῶν αἰώνων, [cd]ἀφθάρτῳ, [ce]ἀοράτῳ, [cf]μόνῳ
σοφῷ[10] Θεῷ, [c]τιμὴ καὶ [g]δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Γ'. 18 ἀμήν.[11] ταύτην τὴν παραγγελίαν [h]παρατίθεμαί σοι,
τέκνον [i]Τιμόθεε, [k]κατὰ τὰς προαγούσας ἐπί σε προ-
φητείας, ἵνα [l]**στρατεύῃ**[12] ἐν αὐταῖς τὴν καλὴν στρα-
19 τείαν, ἔχων [m]πίστιν καὶ [m]ἀγαθὴν συνείδησιν, ἥν τινες
20 ἀπωσάμενοι, περὶ τὴν πίστιν [n]ἐναυάγησαν· ὧν ἐστὶν
[o]Ὑμέναιος καὶ [p]Ἀλέξανδρος, [q]οὓς παρέδωκα τῷ
Σατανᾷ, ἵνα παιδευθῶσι μὴ [r]βλασφημεῖν.
Δ'. 2 ΠΑΡΑΚΑΛΩ οὖν πρῶτον πάντων ποιεῖσθαι [st]δεή-
σεις, [t]προσευχάς, [u]ἐντεύξεις, [t]εὐχαριστίας, ὑπὲρ πάν-
2 των ἀνθρώπων, [x]ὑπὲρ βασιλέων καὶ πάντων τῶν ἐν
ὑπεροχῇ ὄντων, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διά-
3 γωμεν ἐν πάσῃ [y]εὐσεβείᾳ καὶ [z]σεμνότητι. τοῦτο **γὰρ**[13]
[a]καλὸν καὶ ἀπόδεκτον ἐνώπιον [b]τοῦ σωτῆρος ἡμῶν
4 Θεοῦ, [c]ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ [d]εἰς
5 [e]ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. [f]εἷς γὰρ Θεός, εἷς καὶ

[a] cap. 4. 7; 6. 20. 2 Tim. 2. 16. Heb. 12. 16.
[b] 1 Cor. 6. 9.
[c] Lev. 18. 22.
[d] Ex. 21. 16. Cf. Rev. 18. 13.
[e] Rev. 21. 8, 27; 22. 15.
[f] Vid. Matt. 5. 33.
[g] 2 Tim. 4. 3. Tit. 1. 9; 2. 1.
[h] Vid. cap. 4. 6.
[i] 2 Cor. 4. 4. Cf. 2 Cor. 3. 18.
[k] Tit. 1. 3. Vid. Gal. 2. 7.
[l] cap. 6. 15.
[m] Phil. 4. 13. 2 Tim. 4. 17.
[n] Vid. 1 Cor. 4. 2.
[o] 2 Cor. 3. 6.
[p] 2 Tim. 3. 2.
[q] Vid. Act. 8. 3.
[r] Rom. 1. 30.
[s] ver. 16. Vid. 1 Cor. 7. 25.
[t] Cf. Matt. 12. 32. Vid. Act. 3. 17.
[u] Rom. 5. 20.
[x] Cf. 1 Cor. 15. 10.
[y] 1 Thess. 1. 3. cap. 2. 15; 4. 12; 6. 11. 2 Tim. 1. 13; 2. 22; 3. 10. Tit. 2. 2.
[z] cap. 3. 1; 4. 9. 2 Tim. 2. 11. Tit. 3. 8. Cf. Tit. 1. 9.

[1] πατρολῴαις LTTrWH. [2] μητρολῴαις LTTrWH. [3] —καὶ LTTrWHR. [4] ἐνδυναμοῦντί WH *marg.* R *marg.* [5] τὸ LTTrWHR. [6] + με L. [7] ἀλλὰ LTTrWH. [8] Χριστὸς Ἰησοῦς LTrWH (*non marg.*). [9] ἅπασαν LTTrWHR. [10] —σοφῷ LTTrWHR. [11]) *pro* . L. [12] στρατεύσῃ TTr (*non marg.*) WH *marg.* [13] —γὰρ LTTrWHR ([γὰρ] Tr *marg.*).

[a] 1 Joan. 3. 5. Vid. Matt. 9. 13. [b] 2 Tim. 1. 13. [bb] Rev. 15. 3 (var. lect.). [c] cap. 6. 15, 16. [d] Rom. 1. 23. [e] Vid. Col. 1. 15. Cf. Joan. 1. 18. [f] Vid. Joan. 5. 44. [g] Vid. Rom. 11. 36. [h] 2 Tim. 2. 2. [i] ver. 1. [k] Cf. cap. 4. 14; 5. 24. [l] 2 Tim. 2. 3, 4. Vid. 1 Cor. 9. 7. [m] ver. 14. [n] cap. 6. 9. [o] 2 Tim. 2. 17. [p] 2 Tim. 4. 14. Act. 19. 33?. [q] cap. 5. 15. Vid. 1 Cor. 5. 5. [r] Vid. Act. 13. 45. [s] Eph. 6. 18. [t] Phil. 4. 6. [u] cap. 4. 5. [x] Ezra 6. 10. [y] ver. 10. Vid. cap. 3. 16. [z] cap. 3. 4; Tit. 2. 7. [a] cap. 5. 4 (var. lect.). [b] Vid. cap. 1. 1. Luc. 1. 47. [c] Ezek. 18. 23, 32. Joan. 3. 17. cap. 4. 10. Cf. Tit. 2. 11. [d] 2 Tim. 3. 7. [e] 2 Tim. 2. 25; 3. 7. Tit. 1. 1. Heb. 10. 26. [f] 1 Cor. 8. 4.

[a] μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰη-
σοῦς, [b] ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ [c] πάντων, τὸ 6
[d] μαρτύριον[1] [e] καιροῖς ἰδίοις, εἰς ὃ ἐτέθην ἐγὼ [f] κῆρυξ[2] 7
καὶ ἀπόστολος· [g] ἀλήθειαν λέγω ἐν Χριστῷ[3], οὐ ψεύ-
δομαι· [h] διδάσκαλος ἐθνῶν, ἐν πίστει καὶ [i] ἀληθείᾳ.
Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ 8
τόπῳ, [k] ἐπαίροντας [l] ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ
[m] διαλογισμοῦ[4]· ὡσαύτως καὶ[5] τὰς[6] [n] γυναῖκας ἐν κατα- 9
στολῇ κοσμίῳ[7], μετὰ αἰδοῦς καὶ [o] σωφροσύνης κοσμεῖν
ἑαυτάς, μὴ ἐν πλέγμασιν, ἢ[8] χρυσῷ[9], ἢ [p] μαργαρίταις,
ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ' ὃ πρέπει γυναιξὶν ἐπαγ- 10
γελλομέναις [q] θεοσέβειαν, δι' [r] ἔργων ἀγαθῶν. Γυνὴ 11 Ε'.
ἐν [s] ἡσυχίᾳ μανθανέτω [t] ἐν πάσῃ ὑποταγῇ. γυναικὶ δὲ 12
διδάσκειν[10] οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρός,
ἀλλ'[11] εἶναι ἐν ἡσυχίᾳ. [u] Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, 13
[x] εἶτα Εὔα[12]. καὶ Ἀδὰμ οὐκ ἠπατήθη· [y] ἡ δὲ γυνὴ 14
[z] ἀπατηθεῖσα[13] ἐν παραβάσει γέγονε· σωθήσεται δὲ 15
διὰ [a] τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν [b] πίστει καὶ [b] ἀγά-
πῃ καὶ [c] ἁγιασμῷ μετὰ [c] σωφροσύνης.[14]

[d] ΠΙΣΤΟΣ ὁ λόγος[14]· εἴ τις [e] ἐπισκοπῆς ὀρέγεται, 3 ϛ'.
καλοῦ ἔργου ἐπιθυμεῖ. [f] δεῖ οὖν τὸν ἐπίσκοπον [g] ἀνε- 2
πίληπτον[15] εἶναι, [h] μιᾶς γυναικὸς ἄνδρα, νηφάλεον[16],
[i] σώφρονα, κόσμιον, [k] φιλόξενον, [l] διδακτικόν· μὴ πάρ- 3
οινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ[17], ἀλλ'[18] [mn] ἐπιεικῆ,
[m] ἄμαχον, [o] ἀφιλάργυρον· τοῦ ἰδίου οἴκου καλῶς προϊ- 4
στάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης
[p] σεμνότητος· εἰ δέ τις [q] τοῦ ἰδίου οἴκου προστῆναι 5
οὐκ οἶδε, πῶς [r] ἐκκλησίας Θεοῦ ἐπιμελήσεται; μὴ 6
νεόφυτον, ἵνα μὴ [s] τυφωθεὶς εἰς κρίμα[19] ἐμπέσῃ τοῦ
διαβόλου. δεῖ δὲ αὐτὸν[20] καὶ μαρτυρίαν καλὴν ἔχειν 7
ἀπὸ [t] τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ καὶ
[u] παγίδα [x] τοῦ διαβόλου. [y] Διακόνους ὡσαύτως [z] σεμ- 8

1 —τὸ μαρτύριον L. 2 κήρυξ LWH. 3 —ἐν Χριστῷ LTTr WHR. 4 διαλογισμῶν WH (*non marg.*). 5 —καὶ LT (*ita vult*) [Tr] WHR. 6 —τὰς LTTrWHR. 7 κοσμίως WH *marg.* 8 καὶ LTTrWHR. 9 χρυσίῳ LWH (*non marg.*). R. 10 διδάσκειν δὲ γυναικὶ LTTrWHR. 11 ἀλλὰ LTr. 12 Εὖα S, Εὕα LT, Εὔα WH. 13 ἐξαπατηθεῖσα LTTrWHR. 14 σωφροσύνης· πιστὸς ὁ λόγος R *marg.* 15 ἀνεπίλημπτον LTTrWH. 16 νηφάλιον ELTTrWH, νηφάλαιον B. 17 —μὴ αἰσχροκερδῆ LTTr WHR. 18 ἀλλὰ LTTrWH. 19 κρῖμα SBELTr. 20 —αὐτὸν LTTrWHR.

a Vid. Gal. 3. 19, 20. Cf. Act. 4. 12. b Tit. 2. 14. Vid. Matt. 20. 28. c Vid. Joan. 12. 32. d 1 Cor. 1. 6. e cap. 6. 15. Tit. 1. 3. Vid. Marc. 1. 15. Cf. Gal. 4. 4. f 2 Tim. 1. 11. g Rom. 9. 1. h Vid. Act. 9. 15. i cap. 3. 15. Vid. Joan. 4. 21. k Ps. 63. 4; 119. 48. l Job 17. 9. Ps. 24. 4. m Vid. Phil. 2. 14. n Cf. 1 Pet. 3. 3, 4. o ver. 15. Tit. 2. 4, 5. p Rev. 17. 4; 18. 16. q Cf. ver. 2. r Vid. Act. 9. 36. s Cf. 1 Thess. 4. 11. Tit. 2. 5. t 1 Cor. 14. 34. u Gen. 1. 27; 2. 8. x Gen. 2. 18, 22. y Gen. 3. 6. z 2 Cor. 11. 3. a Cf. Gal. 4. 4. b Vid. cap. 1. 14. c Vid. 1 Thess. 4. 3. d Vid. cap. 1. 15. e Act. 1. 20. Vid. Act. 20. 28. f ver. 2—4. Tit. 1. 6—8. g cap. 5. 7; 6. 14. h ver. 12. Cf. cap. 5. 9. i Tit. 2. 2. k 1 Pet. 4. 9. l 2 Tim. 2. 24. m Tit. 3. 2. n Vid. Phil. 4. 4. o Heb. 13. 5. p Vid. cap. 2. 2. q ver. 12. Cf. Tit. 1. 6. r ver. 15. Act. 20. 28. s cap. 6. 4. 2 Tim. 3. 4. t Vid. Marc. 4. 11. u 2 Tim. 2. 26. x Cf. Esa. 14. 12. y ver. 12. Phil. 1. 1. z Phil. 4. 8.

νούς, μὴ διλόγους, [a]μὴ οἴνῳ πολλῷ προσέχοντας, μὴ
9 [b]αἰσχροκερδεῖς, ἔχοντας [c]τὸ μυστήριον τῆς πίστεως
10 [d]ἐν καθαρᾷ συνειδήσει. καὶ οὗτοι δὲ [e]δοκιμαζέσθω-
σαν πρῶτον, εἶτα διακονείτωσαν, [f]ἀνέγκλητοι ὄντες.
11 γυναῖκας ὡσαύτως [g]σεμνάς, [h]μὴ διαβόλους, [i]**νηφαλέους**[1],
12 πιστὰς ἐν πᾶσι. διάκονοι ἔστωσαν [i]μιᾶς γυναικὸς
ἄνδρες, τέκνων [k]καλῶς προϊστάμενοι καὶ τῶν ἰδίων
13 οἴκων. οἱ γὰρ καλῶς διακονήσαντες, βαθμὸν ἑαυ-
τοῖς καλὸν [l]περιποιοῦνται, καὶ πολλὴν [m]παρρησίαν
ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ.
14 Ταῦτά σοι γράφω, ἐλπίζων ἐλθεῖν **πρός σε**[2] **τάχιον**[3]·
15 ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ [n]ἐν οἴκῳ Θεοῦ
ἀναστρέφεσθαι, ἥτις ἐστὶν [o]ἐκκλησία [p]Θεοῦ ζῶντος,
Ζ'. 16 [q]στύλος[4] καὶ ἑδραίωμα [r]τῆς ἀληθείας. καὶ ὁμολογου-
μένως μέγα ἐστὶ τὸ τῆς [s]εὐσεβείας [c]μυστήριον· [t]**Θεὸς**[5]
ἐφανερώθη [u]ἐν σαρκί, [x]ἐδικαιώθη ἐν πνεύματι, [y]ὤφθη
ἀγγέλοις, [z]ἐκηρύχθη ἐν ἔθνεσιν, [a]ἐπιστεύθη ἐν κόσμῳ,
[b]**ἀνελήφθη**[6] ἐν δόξῃ.

4 [c]ΤΟ δὲ πνεῦμα ῥητῶς λέγει, ὅτι [d]ἐν ὑστέροις καιροῖς
[e]ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες [f]πνεύ-
2 μασι πλάνοις καὶ [s]διδασκαλίαις δαιμονίων ἐν [g]ὑποκρίσει
[h]ψευδολόγων, [i]**κεκαυτηριασμένων**[7] τὴν ἰδίαν συνείδησιν,
3 [k]κωλυόντων γαμεῖν, [l]ἀπέχεσθαι [m]βρωμάτων, ἃ [n]ὁ Θεὸς
ἔκτισεν εἰς **μετάληψιν**[8] [o]μετὰ εὐχαριστίας τοῖς πιστοῖς
4 καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν. ὅτι πᾶν κτίσμα Θεοῦ
[p]καλόν, καὶ οὐδὲν ἀπόβλητον, μετὰ εὐχαριστίας λαμ-
5 βανόμενον· ἁγιάζεται γὰρ [q]διὰ λόγου Θεοῦ καὶ [q]ἐν-
6 τεύξεως. [r]Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς, καλὸς
ἔσῃ διάκονος **Ἰησοῦ Χριστοῦ**[9], ἐντρεφόμενος τοῖς
λόγοις τῆς πίστεως, καὶ τῆς καλῆς [s]διδασκαλίας ᾗ
7 [t]**παρηκολούθηκας**[10].[11] Τοὺς δὲ [u]βεβήλους καὶ γραώδεις
[x]μύθους [y]παραιτοῦ· [z]γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέ-
Η'. 8 βειαν. [a]ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐσ-
τὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα [b]ὠφέλιμός
ἐστιν, [c]ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελ-

[a] Tit. 2. 3. Cf. cap. 5. 23.
[b] Tit. 1. 7. 1 Pet. 5. 2.
[c] ver. 16.
[d] cap. 1. 19. 2 Tim. 1. 3.
[e] Cf. cap. 5. 22.
[f] 1 Cor. 1. 8. Tit. 1. 6, 7.
[g] ver. 8.
[h] Tit. 2. 3. Cf. 2 Tim. 3. 3.
[i] Vid. ver. 2.
[k] Cf. ver. 4, 5.
[l] Vid. Act. 20. 28.
[m] Vid. Act. 4. 13.
[n] Cf. Eph. 2. 21, 22. 2 Tim. 2. 20. Heb. 3. 6. 1 Pet. 4. 17.
[o] ver. 5.
[p] cap. 4. 10. Vid. Matt. 16. 16.
[q] Prov. 9. 1.
[r] Vid. cap. 2. 7.
[s] cap. 2. 2, (10); 4. 7, 8; 6. 3, 5, 6, 11. 2 Tim. 3. 5. Tit. 1. 1. Cf. Act. 8. 12.
[t] 1 Joan. 1. 2.
[u] Vid. Joan. 1. 14.
[x] 1 Cor. 1. 30.
[y] Vid. Luc. 24. 51. Act. 1. 2.
[z] Gal. 2. 2.
[a] 2 Thess. 1. 10.
[b] Vid. Luc. 9. 51.
[c] Vid. Joan. 14. 17.
[d] Cf. 2 Thess. 2. 3, 8. 2 Tim. 3. 1. 2 Pet. 2. 1.
[e] Heb. 3. 12.

[1] νηφαλίους ELTTrWH, νηφαλαίους B. [2] [πρὸς σὲ] WH. [3] ἐν τάχει LTrWHR. [4] στῦλος LT. [5] ὃς LTTrWH (*Ap. marg.*) R *text.* (ὃ *marg. cum annotatione*). [6] ἀνελήμφθη LTTrWH. [7] κεκαυστηριασμένων TTrWH. [8] μετάλημψιν LTTrWH. [9] Χριστοῦ Ἰησοῦ LTTrWHR. [10] παρηκολούθησας L *marg.* WH *marg.* [11] παρηκολούθησας, τοὺς δὲ...παραιτοῦ. WH.

[f] Cf. 1 Joan. 4. 6. [g] Gal. 2. 13. [h] Cf. 2 Thess. 2. 11. [i] Eph. 4. 19. [k] Dan. 11. 37. Cf. Heb. 13. 4. [l] Vid. Luc. 1. 64 (constructio). [m] Rom. 14. 6. Col. 2. 16. [n] Gen. 1. 29; 9. 3. [o] Vid. Matt. 15. 36. [p] Gen. 1. 31. Vid. Act. 10. 15. [q] cap. 2. 1. [r] 2 Tim. 3. 14. [s] cap. 1. 10; ver. 1, 13, 16; 5. 17; 6. 1, 3. 2 Tim. 3. 10, 16; 4. 3. Tit. 1. 9; 2. 1, 7, 10. [t] 2 Tim. 3. 10. Vid. Marc. 16. 17. [u] Vid. cap. 1. 9. [x] Vid. cap. 1. 4. [y] cap. 5. 11. [z] 2 Pet. 2. 14. [a] Cf. Col. 2. 23. [b] Cf. cap. 6. 6. [c] Ps. 37. 4, 9—11; 84. 11; 85. 12; 112. 2, 3; 145. 19. Prov. 19. 23; 22. 4; 28. 10. Cf. Matt. 6. 33.

λούσης. [a]πιστὸς ὁ λόγος [a]καὶ πάσης ἀποδοχῆς ἄξιος. 9
[b]εἰς τοῦτο γὰρ καὶ[1] κοπιῶμεν καὶ ὀνειδιζόμεθα[2], ὅτι 10
[c]ἠλπίκαμεν[3] ἐπὶ [d]Θεῷ ζῶντι, [e]ὅς ἐστι σωτὴρ πάντων
ἀνθρώπων, μάλιστα πιστῶν. [f]Παράγγελλε ταῦτα 11 Θ'.
καὶ δίδασκε. [g]μηδείς σου [h]τῆς νεότητος καταφρονείτω, 12
ἀλλὰ [i]τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστρο-
φῇ, ἐν [k]ἀγάπῃ, ἐν πνεύματι[4], ἐν [k]πίστει, ἐν [l]ἁγνείᾳ[5].
ἕως ἔρχομαι, πρόσεχε τῇ ἀναγνώσει, τῇ [m]παρακλήσει, 13
[n]τῇ διδασκαλίᾳ. [o]μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ 14
ἐδόθη σοι [p]διὰ προφητείας [q]μετὰ ἐπιθέσεως τῶν χει-
ρῶν [r]τοῦ πρεσβυτερίου. ταῦτα μελέτα, ἐν τούτοις 15
ἴσθι· ἵνα σου [s]ἡ προκοπὴ φανερὰ ᾖ ἐν[6] πᾶσιν. ἔπεχε 16
σεαυτῷ καὶ [n]τῇ διδασκαλίᾳ· ἐπίμενε αὐτοῖς· τοῦτο
γὰρ ποιῶν, καὶ [t]σεαυτὸν σώσεις καὶ [u]τοὺς ἀκούοντάς
σου.

[x]ΠΡΕΣΒΥΤΕΡΩι μὴ ἐπιπλήξῃς, ἀλλὰ παρακάλει 5 Ι'.
ὡς πατέρα· [y]νεωτέρους, ὡς ἀδελφούς· πρεσβυτέρας, 2
ὡς μητέρας· νεωτέρας, ὡς ἀδελφάς, ἐν πάσῃ [l]ἁγνείᾳ[5].
Χήρας τίμα [z]τὰς ὄντως χήρας. εἰ δέ τις χήρα τέκνα 3 4 ΙΑ'.
ἢ ἔκγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον
εὐσεβεῖν, [a]καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις·
[b]τοῦτο γάρ ἐστι καλὸν καὶ[7] ἀποδεκτὸν[8] ἐνώπιον τοῦ
Θεοῦ. [z]ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη [c]ἤλπικεν ἐπὶ 5
τὸν[9] Θεὸν[10], καὶ [d]προσμένει ταῖς δεήσεσι καὶ ταῖς
προσευχαῖς [e]νυκτὸς καὶ ἡμέρας· ἡ δὲ [f]σπαταλῶσα, 6
[g]ζῶσα τέθνηκε. [h]καὶ ταῦτα παράγγελλε, ἵνα [h]ἀνεπί- 7
ληπτοι[11] ὦσιν. εἰ δέ τις [i]τῶν ἰδίων καὶ μάλιστα [k]τῶν[12] 8
οἰκείων οὐ προνοεῖ[13], [l]τὴν πίστιν ἤρνηται, καὶ ἔστιν
ἀπίστου χείρων. Χήρα καταλεγέσθω μὴ ἔλαττον 9
ἐτῶν ἑξήκοντα, [m]γεγονυῖα ἑνὸς[14] ἀνδρὸς γυνή, ἐν ἔργοις 10
καλοῖς [n]μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησεν, εἰ [m]ἐξενοδό-
χησεν, [o]εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις [p]ἐπήρ-
κεσεν, εἰ παντὶ [q]ἔργῳ ἀγαθῷ ἐπηκολούθησε. Νεωτέ- 11

[1] –καὶ LTTrWHR. [2] ἀγωνιζόμεθα LTTr (*non marg.*) WH (*non marg.*) R. [3] ἠλπίσαμεν WH *marg.* [4] –ἐν πνεύματι LTTrWHR. [5] ἁγνίᾳ WH. [6] –ἐν LTTrWHR. [7] ἐστιν (–καλὸν καὶ) LTTrWHR. [8] ἀπόδεκτον LTWH, *etiam* SBE *supra* ii. 3. [9] –τὸν T[LWH]R. [10] Κύριον (*pro* τὸν θεόν) WH *marg.* [11] ἀνεπίλημπτοι LTTrWH. [12] –τῶν LTTrWHR. [13] προνοεῖται TTr (*non marg.*) WH *marg.* [14] ἑξήκοντα γεγονυῖα, ἑνὸς LTWHR.

[a] Vid. cap. 1. 15. [b] Col. 1. 29. [c] 2 Cor. 1. 10. [d] Vid. cap. 3. 15. [e] cap. 2. 4. Vid. Joan. 4. 42. [f] cap. 5. 7; 6. 2. [g] Cf. 1 Cor. 16. 11. Cf. Tit. 2. 15. [h] Cf. 2 Tim. 2. 22. [i] Tit. 2. 7. Vid. 1 Pet. 5. 3. [k] Vid. cap. 1. 14. [l] cap. 5. 1. [m] Act. 4. 36. [n] Vid. ver. 6. [o] Cf. 2 Tim. 1. 6. Vid. 1 Thess. 5. 19. [p] Cf. cap. 1. 18. [q] cap. 5. 22. 2 Tim. 1. 6. Vid. Act. 6. 6. [r] Cf. Act. 20. 17, 28. Vid. Luc. 22. 66. [s] Phil. 1. 12, 25. [t] Ezek. 33. 9. [u] Cf. Jac. 5. 20. [x] Lev. 19. 32. [y] Tit. 2. 6. 1 Pet. 5. 5. [z] ver. 5, 16. [a] Vid. Eph. 6. 2. Cf. Matt. 15. 6. [b] cap. 2. 3. [c] 1 Pet. 3. 5. Cf. 1 Cor. 7. 34. [d] Luc. 2. 37. [e] Vid. Marc. 5. 5. [f] Jac. 5. 5. [g] Rev. 3. 1. [h] Vid. cap. 3. 2. [i] Vid. Act. 4. 23. [k] Gal. 6. 10. [l] Rev. 2. 13. Cf. 2 Pet. 2. 1. Rev. 3. 8. [m] cap. 3. 2. [n] Vid. Act. 6. 3. [o] Vid. Luc. 7. 44. Cf. Joan. 13. 14. [p] ver. 16. [q] Vid. Act. 9. 36. Cf. cap. 6. 18.

ρας δὲ χήρας [a]παραιτοῦ· ὅταν γὰρ [b]**καταστρηνιάσωσι**[1]
12 τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν, ἔχουσαι κρίμα[2], ὅτι
13 τὴν πρώτην πίστιν ἠθέτησαν· ἅμα δὲ καὶ ἀργαὶ
μανθάνουσι, [c]περιερχόμεναι τὰς οἰκίας, οὐ μόνον δὲ
ἀργαί, ἀλλὰ καὶ [d]φλύαροι καὶ [e]περίεργοι, λαλοῦσαι
14 τὰ μὴ δέοντα. [f]βούλομαι οὖν νεωτέρας γαμεῖν, τεκ-
νογονεῖν, [g]οἰκοδεσποτεῖν, μηδεμίαν [g][h]ἀφορμὴν διδόναι
15 τῷ ἀντικειμένῳ λοιδορίας χάριν. [i]ἤδη γάρ **τινες** [k]**ἐξε-**
16 **τράπησαν**[3] ὀπίσω τοῦ Σατανᾶ. Εἴ τις **πιστὸς** ἢ[4]
πιστὴ ἔχει χήρας, [l]**ἐπαρκείτω**[5] αὐταῖς, καὶ μὴ [m]βαρ-
είσθω ἡ ἐκκλησία, ἵνα [n]ταῖς ὄντως χήραις [l]ἐπαρκέσῃ.
IB'.17 Οἱ καλῶς [o]προεστῶτες [p]πρεσβύτεροι διπλῆς [q]τιμῆς
ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ
18 [r]διδασκαλίᾳ. λέγει γὰρ [s]ἡ γραφή, [t]‘**Βοῦν ἀλοῶντα**
οὐ φιμώσεις[6].’ καί, [u]‘Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ
19 αὐτοῦ.’ Κατὰ [o]πρεσβυτέρου κατηγορίαν μὴ παρα-
δέχου, [x]ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων.
20 [k]Τοὺς[7] ἁμαρτάνοντας [y]ἐνώπιον πάντων [z]ἔλεγχε, [a]ἵνα
21 καὶ οἱ λοιποὶ φόβον ἔχωσι. [b]Διαμαρτύρομαι [c]ἐνώ-
πιον τοῦ Θεοῦ καὶ **Κυρίου** Ἰησοῦ **Χριστοῦ**[8] καὶ τῶν
ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προ-
IΓ'.22 κρίματος, [d]μηδὲν ποιῶν κατὰ **πρόσκλισιν**[9]. [e]Χεῖρας
ταχέως μηδενὶ ἐπιτίθει, [f]μηδὲ κοινώνει [k]ἁμαρτίαις
23 ἀλλοτρίαις. [g]Σεαυτὸν ἁγνὸν τήρει. μηκέτι ὑδροπό-
τει, [h]**ἀλλ'**[10] οἴνῳ ὀλίγῳ χρῶ, [i]διὰ τὸν στόμαχόν σου[11]
IΔ'.24 καὶ τὰς πυκνάς σου ἀσθενείας. [k]Τινῶν ἀνθρώπων αἱ
ἁμαρτίαι [l]πρόδηλοί εἰσι, [m]προάγουσαι εἰς κρίσιν· τισὶ
25 δὲ καὶ ἐπακολουθοῦσιν. ὡσαύτως[12] καὶ τὰ **καλὰ**
ἔργα[13] [l]πρόδηλά **ἐστι**[14]· [n]καὶ τὰ ἄλλως ἔχοντα, κρυ-
βῆναι οὐ **δύναται**[15].
IE'. 6 [o]ὍΣΟΙ εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπό-
τας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, [g]ἵνα μὴ τὸ

[1] *καταστρηνιάσουσιν* L *marg.* [2] *κρῖμα* SBELTr. [3] *ἐξετράπησάν τινες* L (*non marg.*). [4] —*πιστὸς ἢ* LTTrWHR. [5] *ἐπαρκείσθω* L (*non marg.*) TTrWH *marg.* [6] *οὐ φιμώσεις βοῦν ἀλοῶντα* L. [7] + *δὲ* L[WH]. [8] *Χριστοῦ Ἰησοῦ* (—*Κυρίου*) LTTrWHR. [9] *πρόσκλησιν* LTr *marg.* [10] *ἀλλὰ* LTTrWH. [11] —*σου* LTTrWHR. [12] + *δὲ* L. [13] *ἔργα τὰ καλὰ* LTTrWHR. [14] —*ἐστι* LTTrWHR. [15] *δύνανται* LTTrWH.

[a] cap. 4. 7. [b] Rev. 18. 3, 7, 9. [c] Prov. 7. 12. [d] 3 Joan. 10. [e] Cf. 1 Pet. 4. 15. [f] Cf. 1 Cor. 7. 9. [g] cap. 6. 1. Tit. 2. 5, 8. [h] Vid. Rom. 7. 8. [i] Vid. cap. 1. 20. [k] Vid. cap. 1. 6. [l] ver. 10. [m] 1 Thess. 2. 6. [n] ver. 3, 5. [o] Rom. 12. 8. 1 Thess. 5. 12. Cf. 1 Cor. 12. 28. Phil. 2. 29, 30. [p] ver. 19. Tit. 1. 5. Vid. Act. 11. 30. [q] Act. 28. 10. [r] Vid. cap. 4. 6. [s] Vid. Rom. 9. 17. [t] Deut. 25. 4. 1 Cor. 9. 9. [u] Matt. 10. 10. Luc. 10. 7. Cf. Lev. 19. 13. Deut. 24. 15. [x] Vid. Matt. 18. 16. [y] Gal. 2. 14. [z] Eph. 5. 11. 2 Tim. 4. 2. Tit. 1. 13; 2. 15. [a] Deut. 13. 11. [b] Vid. Luc. 16. 28. [c] cap. 6. 13. 2 Tim. 2. 14; 4. 1. [d] Cf. 2 Cor. 5. 16. [e] Cf. cap. 3. 10; 4. 14. [f] 2 Joan. 11. [g] Jac. 1. 27.

[h] Cf. cap. 3. 8. [i] Ps. 104. 15. [k] ver. 20, 22. [l] ver. 25. Heb. 7. 14. [m] Cf. cap. 1. 18. [n] Ps. 37. 6. Prov. 10. 9. [o] Tit. 2. 9. Vid. 1 Pet. 2. 18.

[a]ὄνομα τοῦ Θεοῦ καὶ [b]ἡ διδασκαλία [c]βλασφημῆται.
οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας, μὴ καταφρονεί- 2
τωσαν, ὅτι [d]ἀδελφοί εἰσιν· ἀλλὰ μᾶλλον δουλευέ-
τωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοὶ[1] οἱ τῆς εὐερ-
γεσίας ἀντιλαμβανόμενοι. [e]ταῦτα δίδασκε καὶ παρα-
κάλει. Εἴ τις [f]ἑτεροδιδασκαλεῖ, καὶ μὴ **προσέρχεται**[2] 3 Ιϛʹ.
[g]ὑγιαίνουσι λόγοις τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ, καὶ τῇ κατ' [h]εὐσέβειαν [b]διδασκαλίᾳ, [i]τετύ- 4
φωται, [k]μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ [l]ζητή-
σεις καὶ [m]λογομαχίας, ἐξ ὧν γίνεται [n]φθόνος, [n]ἔρις,
[o]βλασφημίαι, ὑπόνοιαι πονηραί, **παραδιατριβαὶ**[3] [p]διεφ- 5
θαρμένων ἀνθρώπων τὸν νοῦν, καὶ ἀπεστερημένων
τῆς ἀληθείας, [q]νομιζόντων πορισμὸν εἶναι τὴν [h]εὐσέ-
βειαν. **ἀφίστασο ἀπὸ τῶν τοιούτων**[4]. [r]Ἔστι δὲ πορι- 6
σμὸς μέγας [h]ἡ εὐσέβεια [s]μετὰ αὐταρκείας. [t]οὐδὲν 7
γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, **δῆλον**[5] [t u]ὅτι οὐδὲ
ἐξενεγκεῖν τι δυνάμεθα· [x]ἔχοντες δὲ **διατροφὰς**[6] καὶ 8
σκεπάσματα, τούτοις [s]ἀρκεσθησόμεθα. [y]Οἱ δὲ βου- 9
λόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ
[z]παγίδα καὶ [a]ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλα-
βεράς, αἵτινες [b]βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλε-
θρον καὶ ἀπώλειαν. [c]ῥίζα γὰρ πάντων τῶν κακῶν 10
ἐστὶν ἡ φιλαργυρία· ἧς τινὲς ὀρεγόμενοι ἀπεπλανή-
θησαν ἀπὸ τῆς πίστεως, καὶ ἑαυτοὺς περιέπειραν
ὀδύναις πολλαῖς. Σὺ δέ, [d]ὦ ἄνθρωπε τοῦ[7] Θεοῦ, 11
ταῦτα [e]φεῦγε· [e f]δίωκε δὲ δικαιοσύνην, [h]εὐσέβειαν, [g]πί-
στιν, [g]ἀγάπην, ὑπομονήν, **πρᾳότητα**[8]. [h]ἀγωνίζου τὸν 12
καλὸν ἀγῶνα τῆς πίστεως· [i]ἐπιλαβοῦ τῆς αἰωνίου
ζωῆς, [k]εἰς ἣν **καὶ**[9] ἐκλήθης, καὶ ὡμολόγησας τὴν κα-
λὴν [l]ὁμολογίαν [m]ἐνώπιον πολλῶν μαρτύρων. Παρ- 13 ΙΖʹ.
αγγέλλω σοι[10] [i]ἐνώπιον **τοῦ**[11] Θεοῦ τοῦ **ζωοποιοῦντος**[12]
τὰ πάντα, καὶ **Χριστοῦ Ἰησοῦ**[13] [n]τοῦ μαρτυρήσαντος
ἐπὶ Ποντίου **Πιλάτου**[14] τὴν καλὴν ὁμολογίαν, τηρῆσαί 14
σε τὴν ἐντολὴν [o]ἄσπιλον, [p]**ἀνεπίληπτον**[15], μέχρι τῆς

[1] ἀγαπητοί, οἱ WH *marg.* [2] προσέχεται T. [3] διαπαρατριβαὶ LTTrWHR. [4] —ἀφίστασο ἀπὸ τῶν τοιούτων LTTrWHR. [5] —δῆλον LTTrWH (*Ap.* † *marg.*).R. [6] διατροφὴν WH *marg.* [7] —τοῦ LTTrWH (*non marg.*) R. [8] πραϋπάθειαν LTrR, πραϋπαθίαν TWH. [9] —καὶ LTTrWHR. [10] —σοι T. [11] —τοῦ T. [12] [q]ζωογονοῦντος LTTrWHR. [13] Ἰησοῦ χριστοῦ Tr *marg.* WH *marg.* [14] Πειλάτου TWH. [15] ἀνεπίλημπτον LTTrWH.

[a] Esa. 52. 5. Rom. 2. 24. [b] ver. 3. Vid. cap. 4. 6. [c] Jac. 2. 7. [d] Philem. 16. [e] cap. 4. 11. [f] cap. 1. 3. Cf. Rom. 16. 17. 1 Cor. 11. 16. [g] 2 Tim. 1. 13. Cf. cap. 1. 10. Tit. 2. 8. [h] ver. 5, 6, 11. Vid. cap. 3. 16. [i] cap. 3. 6. [k] Cf. 1 Cor. 8. 2. [l] cap. 1. 4. 2 Tim. 2. 23. Tit. 3. 9. [m] Cf. 2 Tim. 2. 14. [n] Vid. Rom. 1. 29. [o] Eph. 4. 31. [p] 2 Tim. 3. 8. Cf. Tit. 1. 15. [q] Cf. Luc. 12. 15. 2 Pet. 2. 3. [r] Cf. cap. 4. 8. [s] Vid. Phil. 4. 11. Cf. Ps. 37. 16. Prov. 15. 16; 16. 8. Heb. 13. 5. [t] Job 1. 21. Eccles. 5. 15. [u] Job 27. 19. Ps. 49. 17. [x] Gen. 28. 20. [y] Prov. 15. 27; 23. 4; 28. 20. ver. 17. Matt. 6. 19; 13. 22; 19. 24. [z] cap. 3. 7. [a] Vid. Luc. 21. 34. [b] Cf. cap. 1. 19.

[c] 1 Cor. 5. 10. 2 Tim. 3. 2. [d] Deut. 33. 1. Cf. 2 Tim. 3. 17. [e] 2 Tim. 2. 22. [f] Prov. 15. 9; 21. 21. [g] Vid. cap. 1. 14. [h] 2 Tim. 4. 7. Vid. Phil. 1. 30. Cf. 1 Cor. 9. 25. [i] ver. 19. Cf. Phil. 3. 12. [k] Cf. 1 Pet. 5. 10. [l] Vid. 2 Cor. 9. 13. [m] cap. 5. 21. [n] Matt. 27. 11. Joan. 18. 37. Cf. Rev. 1. 5; 3. 14. [o] Vid. Jac. 1. 27. [p] Vid. cap. 3. 2. [q] Luc. 17. 33.

15 [a]ἐπιφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἣν
[b]καιροῖς ἰδίοις δείξει ὁ [c]μακάριος καὶ μόνος δυνάστης,
[d]ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυρι-
16 ευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, [e]φῶς οἰκῶν ἀπρόσ-
ιτον, [f]ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται,
[g]ᾧ [d]τιμὴ καὶ κράτος αἰώνιον. ἀμήν.
ΙΗ'. 17 Τοῖς πλουσίοις [h]ἐν τῷ νῦν αἰῶνι παράγγελλε, μὴ
[i]ὑψηλοφρονεῖν[1], [k]μηδὲ ἠλπικέναι[2] ἐπὶ πλούτου ἀδηλό-
τητι, ἀλλ' ἐν[3] τῷ[4] Θεῷ τῷ ζῶντι[5], [l]τῷ παρέχοντι
18 ἡμῖν[6] πλουσίως πάντα[7] εἰς ἀπόλαυσιν· [m]ἀγαθοεργεῖν,
πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, [n]κοι-
19 νωνικούς, [o]ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν
εἰς τὸ μέλλον, ἵνα [p]ἐπιλάβωνται τῆς αἰωνίου[8] ζωῆς.
20 [y]Ὦ [q]Τιμόθεε, [r]τὴν παρακαταθήκην[9] φύλαξον, [s]ἐκτρεπό-
μενος [t]τὰς [u]βεβήλους κενοφωνίας καὶ ἀντιθέσεις τῆς
21 ψευδωνύμου γνώσεως· ἥν τινες ἐπαγγελλόμενοι,
περὶ τὴν πίστιν [x]ἠστόχησαν. [y]Ἡ χάρις μετὰ σοῦ[10].
ἀμήν[11].

Πρὸς Τιμόθεον πρώτη ἐγράφη ἀπὸ Λαοδικείας, ἥτις ἐστὶ μητρόπολις Φρυγίας τῆς Πακατιανῆς.[12]

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ

ΤΙΜΟΘΕΟΝ

ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ[13].

---

1 ΠΑΥΛΟΣ [z]ἀπόστολος Ἰησοῦ Χριστοῦ[14] [a]διὰ θελή-
ματος Θεοῦ [b]κατ' ἐπαγγελίαν [b]ζωῆς τῆς ἐν Χριστῷ
2 Ἰησοῦ, [q]Τιμοθέῳ [c]ἀγαπητῷ τέκνῳ· [d]χάρις, ἔλεος, [d]εἰ-

[a] Vid. 2 Thess. 2. 8. [b] Vid. cap. 2. 6. [c] cap. 1. 11. [d] cap. 1. 17. Rev. 17. 14; 19. 16. [e] Cf. Job 37. 23. [f] Vid. Joan. 1. 18. [g] Cf. 1 Pet. 4. 11. [h] 2 Tim. 4. 10. Tit. 2. 12. [i] Vid. Rom. 11. 20. [k] Marc. 10. 24. Cf. Prov. 23. 5. Vid. ver. 9. [l] Act. 14. 17. [m] Gal. 6. 6. Cf. cap. 5. 10. Vid. 2 Cor. 8. 10. [n] Vid. Rom. 12. 13. [o] Cf. Matt. 6. 20. Luc. 12. 21. [p] ver. 12. [q] Vid. Act. 16. 1. [r] (var. lect.) 2 Tim. 1. 12, 14 (var. lect.). Cf. cap. 1. 18. [s] Cf. Col. 2. 8. [t] 2 Tim. 2. 16. [u] Vid. cap. 1. 9. [x] Vid. cap. 1. 6. [y] Vid. Col. 4. 18. [z] Vid. 2 Cor. 1. 1. [a] Vid. 1 Cor. 1. 1. [b] Gal. 3. 29. Cf. Heb. 9. 15. [c] 1 Cor. 4. 17. Cf. cap. 2. 1. [d] 1 Tim. 1. 2. Vid. Rom. 1. 7.

[1] ὑψηλὰ φρονεῖν TWH *marg.* [2] ἠλπικένει L *errore.* [3] ἐπὶ LTTrWHR. [4] —τῷ TTrWH (*non marg.*) R. [5] —τῷ ζῶντι LTTrWHR. [6] + τὰ L. [7] πάντα πλουσίως LTTrWHR. [8] ὄντως LTTrWHR. [9] παραθήκην LTTrWHR. [10] μεθ' ὑμῶν LTTr (*non marg.*) WHR. [11] —ἀμήν LTTrWHR. [12] + Ἐν στίχοις σλ S: *deest subscriptio in* LTWHR, ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α Tr. [13] —Παύλου τοῦ ἀποστόλου S: Πρὸς Τιμόθεον Β *tantum* LTTrWH. [14] Χριστοῦ Ἰησοῦ TTrWHR.

16 καὶ Ἑρμογένης[1]. Δῴη ἔλεος ὁ Κύριος [a]τῷ Ὀνησι-
φόρου οἴκῳ· ὅτι πολλάκις [b]με ἀνέψυξε, καὶ [c]τὴν
17 ἅλυσίν μου [d]οὐκ ἐπῃσχύνθη[2], ἀλλὰ γενόμενος ἐν
18 Ῥώμῃ, [e]σπουδαιότερον[3] ἐζήτησέ με καὶ εὗρε· δῴη
αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου [f]ἐν ἐκείνῃ
τῇ ἡμέρᾳ. καὶ [g]ὅσα ἐν Ἐφέσῳ [h]διηκόνησε, [i]βέλτιον
σὺ γινώσκεις.

2 ΣΥ οὖν, [k]τέκνον μου, [l]ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ
2 ἐν Χριστῷ Ἰησοῦ· καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ
πολλῶν μαρτύρων, ταῦτα [m]παράθου πιστοῖς ἀνθρώ-
Γ'. 3 ποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. σὺ
οὖν [n]κακοπάθησον[4], [mo]ὡς καλὸς στρατιώτης Ἰησοῦ Χρισ-
4 τοῦ[5]. [m]οὐδεὶς [n]στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ
βίου πραγματείαις[6], ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ.
5 [p]ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ [q]στεφανοῦται ἐὰν μὴ νομί-
6 μως ἀθλήσῃ. [r]τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν
7 καρπῶν μεταλαμβάνειν. νόει ἃ[7] λέγω· δῴη[8] γάρ
8 σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν
Χριστὸν [s]ἐγηγερμένον ἐκ νεκρῶν, [t]ἐκ σπέρματος
9 Δαβὶδ[9], [u]κατὰ τὸ εὐαγγέλιόν μου· ἐν ᾧ κακοπαθῶ
μέχρι δεσμῶν, ὡς κακοῦργος· [x]ἀλλ'[10] ὁ λόγος τοῦ
10 Θεοῦ οὐ δέδεται. [y]διὰ τοῦτο πάντα ὑπομένω διὰ
[z]τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ [a]σωτηρίας τύχωσι τῆς
Δ'. 11 ἐν Χριστῷ Ἰησοῦ, [b]μετὰ δόξης αἰωνίου. [c]Πιστὸς
12 ὁ λόγος· [d]εἰ[11] γὰρ συναπεθάνομεν, καὶ [12]συζήσομεν· [e]εἰ
ὑπομένομεν, καὶ [ef][12]συμβασιλεύσομεν· εἰ [g]ἀρνούμεθα[13],
13 κἀκεῖνος ἀρνήσεται ἡμᾶς· εἰ [h]ἀπιστοῦμεν, [i]ἐκεῖνος
πιστὸς μένει· [k]ἀρνήσασθαι[14] ἑαυτὸν οὐ δύναται.
14 Ταῦτα [l]ὑπομίμνησκε, [m]διαμαρτυρόμενος ἐνώπιον τοῦ
Κυρίου[15] μὴ [n]λογομαχεῖν[16] [o]εἰς[17] οὐδὲν χρήσιμον, ἐπὶ [p]κα-
15 ταστροφῇ τῶν ἀκουόντων. σπούδασον σεαυτὸν [q]δόκι-
μον παραστῆσαι τῷ Θεῷ, ἐργάτην ἀνεπαίσχυντον,

[1] Ἑρμογένης T. [2] ἐπαισχύνθη LTTrWH. [3] σπουδαίως LTTrWHR. [4] συγκακοπάθησον (συνκ. TWH) LTTrWHR. [5] Χριστοῦ Ἰησοῦ LTTrWHR. [6] πραγματίαις TWH. [7] ὃ LTTrWHR. [8] δώσει LTTrWHR. [9] Δαυείδ LTTrWH. [10] ἀλλὰ LTTrWH. [11] Εἰ R (*non marg.*). [12] συν- T (TrWH *ver.* 11). [13] ἀρνησόμεθα LTTrWHR. [14] + γὰρ LTTrWHR. [15] θεοῦ L *marg.* TTr (*non marg.*) WH (*non marg.*) R *marg.* [16] . μὴ λογομάχει L. [17] ἐπ' LTTrWHR.

[a] cap. 4. 19. [b] Matt. 25. 36. [c] ver. 8. [d] Cf. Act. 21. 33. [e] Vid. Luc. 7. 4. [f] ver. 12. [g] 1 Tim. 1. 3. [h] Heb. 6. 10. [i] Cf. Act. 25. 10. [k] cap. 1. 2. [l] Vid. Eph. 6. 10. [m] 1 Tim. 1. 18. [n] ver. 9. cap. 1. 8; 4. 5. [o] Vid. 1 Cor. 9. 7. [p] 1 Cor. 9. 25. [q] cap. 4. 8. [r] Cf. 1 Cor. 9. 10. Heb. 6. 7. [s] 1 Cor. 15. 20. [t] Matt. 1. 1. [u] Rom. 2. 16. Cf. 1 Cor. 15. 1. [x] Cf. Phil. 1. 13. Cf. cap. 4. 17. [y] Cf. 2 Cor. 12. 15. Cf. Col. 1. 24. [z] Vid. Luc. 18. 7. [a] 2 Cor. 1. 6. [b] 1 Pet. 5. 10. [c] Vid. 1 Tim. 1. 15. [d] Rom. 6. 8. 1 Thess. 5. 10. [e] Cf. Matt. 5. 10. Rom. 8. 17. Cf. 2 Thess. 1. 4. [f] Luc. 22. 29. Rev. 1. 9; 22. 5. [g] Matt. 10. 33. [h] Vid. Marc. 16. 16. Cf. Rom. 3. 3. [i] 1 Cor. 1. 9. [k] Num. 23. 19. Cf. Tit. 1. 2. [l] Tit. 3. 1. 2 Pet. 1. 12. [m] 1 Tim. 5. 21. cap. 4. 1. Vid. Luc. 16. 28. [n] Cf. 1 Tim. 6. 4. [o] Cf. Tit. 3. 9. [p] 2 Pet. 2. 6. [q] Jac. 1. 12.

ρήνη ἀπὸ Θεοῦ πατρὸς καὶ Χριστοῦ Ἰησοῦ[1] τοῦ Κυ-
ρίου ἡμῶν.
[a]Χάριν ἔχω τῷ Θεῷ, [b]ᾧ λατρεύω ἀπὸ προγόνων [c]ἐν 3 Α'.
καθαρᾷ συνειδήσει, [d]ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ
σοῦ μνείαν ἐν ταῖς δεήσεσί μου[2] [e]νυκτὸς καὶ ἡμέρας,
[f]ἐπιποθῶν σε ἰδεῖν, [g]μεμνημένος σου τῶν δακρύων, 4
ἵνα χαρᾶς πληρωθῶ·[3] ὑπόμνησιν λαμβάνων[4] τῆς ἐν 5
σοὶ [h]ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν
[i]τῇ μάμμῃ σου Λωΐδι[5] καὶ τῇ μητρί σου Εὐνείκῃ[6],
πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί. Δι' ἣν αἰτίαν ἀναμιμ- 6
νήσκω σε [k]ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ, ὅ
ἐστιν ἐν σοὶ [l]διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου· [m]οὐ 7
γὰρ ἔδωκεν ἡμῖν ὁ Θεὸς [n]πνεῦμα δειλίας, ἀλλὰ [o]δυνά-
μεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ. [p]μὴ οὖν ἐπαι- 8
σχυνθῇς [q]τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν, μηδὲ ἐμὲ
[r]τὸν δέσμιον αὐτοῦ· ἀλλὰ [s][7]συγκακοπάθησον τῷ εὐ-
αγγελίῳ κατὰ δύναμιν Θεοῦ, [t]τοῦ σώσαντος ἡμᾶς 9
καὶ [u]καλέσαντος κλήσει ἁγίᾳ, [x]οὐ κατὰ τὰ ἔργα ἡμῶν,
ἀλλὰ κατ'[8] ἰδίαν [y]πρόθεσιν καὶ [m]χάριν τὴν δοθεῖσαν
ἡμῖν ἐν Χριστῷ Ἰησοῦ [z]πρὸ χρόνων αἰωνίων, [a]φανε- 10
ρωθεῖσαν δὲ νῦν διὰ [b]τῆς ἐπιφανείας τοῦ σωτῆρος
ἡμῶν Ἰησοῦ Χριστοῦ[9], [c]καταργήσαντος μὲν τὸν θά-
νατον, φωτίσαντος δὲ ζωὴν καὶ [d]ἀφθαρσίαν διὰ τοῦ
εὐαγγελίου, [e]εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ[10] καὶ ἀπόστολος 11
καὶ [f]διδάσκαλος ἐθνῶν[11]· δι' ἣν αἰτίαν καὶ ταῦτα 12
πάσχω, ἀλλ' [p]οὐκ ἐπαισχύνομαι· οἶδα γὰρ ᾧ πεπί-
στευκα, καὶ πέπεισμαι ὅτι δυνατός ἐστι τὴν [g]παρα-
θήκην[12] μου φυλάξαι εἰς [h]ἐκείνην τὴν ἡμέραν. [i]ὑποτύ- 13
πωσιν ἔχε [k]ὑγιαινόντων λόγων, ὧν παρ' ἐμοῦ ἤκουσας,
ἐν [l]πίστει καὶ [l]ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ. τὴν κα- 14
λὴν [g]παρακαταθήκην[13] φύλαξον διὰ Πνεύματος Ἁγίου
[m]τοῦ ἐνοικοῦντος ἐν ἡμῖν. Οἶδας τοῦτο, ὅτι [n]ἀπεστρά- 15 Β'.
φησάν με [o]πάντες οἱ ἐν τῇ [p]Ἀσίᾳ, ὧν ἐστι Φύγελλος[14]

[1] κυρίου Ἰησοῦ χριστοῦ Tr *marg.*, κυρίου Ἰησοῦ WH *marg.* [2] , νυκτὸς καὶ ἡμέρας *cum sequentibus* LTrWHR. [3] *om.* · WH. [4] λαβὼν LTTrWHR. [5] Λωίδι WH. [6] Εὐνίκῃ ELTTrWH. [7] συν- TWH. [8] κατὰ LTTrWH. [9] Χριστοῦ Ἰησοῦ L (*non marg.*) TTr (*non marg.*) WHR. [10] κῆρυξ LWH. [11] —ἐθνῶν TWHR. [12] παρακαταθήκην E 1633. [13] παραθήκην LTTrWHR. [14] Φύγελος LTTrWHR.

[a] Rom. 1. 8. [b] Act. 24. 14. [c] Cf. Act. 23. 1. 1 Tim. 3. 9. [d] 1 Thess. 3. 9. Vid. Rom. 1. 9. [e] Vid. Marc. 5. 5. [f] Phil. 1. 8. Cf. cap. 4. 9, 21. [g] Act. 20. 37. [h] 1 Tim. 1. 5. [i] Vid. Act. 16. 1. Cf. cap. 3. 15. Ps. 86. 16; 116. 6. [k] Vid. 1 Thess. 5. 19. [l] 1 Tim. 4. 14. Vid. Act. 6. 6. [m] ver. 9. Vid. Act. 15. 11. [n] Rom. 8. 15. Cf. Joan. 14. 27. Rev. 21. 8. [o] Act. 1. 8. [p] ver. 12, 16. Vid. Marc. 8. 38. [q] 1 Cor. 1. 6. [r] Vid. Eph. 3. 1. Cf. ver. 16. [s] cap. 2. 3, 9; 4. 5. Cf. Col. 1. 24. [t] Cf. 1 Tim. 1. 1. [u] Heb. 3. 1. Vid. Rom. 11. 29. [x] Eph. 2. 9. Cf. Act. 13. 39. [y] Rom. 8. 28. [z] Tit. 1. 2. Cf. 1 Cor. 2. 7. Eph. 1. 4. Vid. Rom. 16. 25. [a] Rom. 16. 26. [b] cap. 4. 1, 8. Vid. 2 Thess. 2. 8.

[c] 1 Cor. 15. 26. Heb. 2. 14, 15. Cf. 1 Cor. 15. 54, 55. Job 33. 30. [d] Vid. Rom. 2. 7. [e] 1 Tim. 2. 7. [f] Vid. Act. 9. 15. [g] ver. 14 (var. lect.). 1 Tim. 6. 20. [h] ver. 18. cap. 4. 8. Vid. 1 Cor. 3. 13. [i] 1 Tim. 1. 16. Cf. Rom. 2. 20; 6. 17. [k] 1 Tim. 6. 3. [l] Vid. 1 Tim. 1. 14. [m] Vid. Rom. 8. 9. [n] cap. 4. 10, 11, 16. [o] Act. 19. 10. [p] Vid. Act. 2. 9.

16 καὶ Ἑρμογένης[1]. Δῴη ἔλεος ὁ Κύριος [a]τῷ Ὀνησι-
φόρου οἴκῳ· ὅτι πολλάκις [b]με ἀνέψυξε, καὶ [c]τὴν
17 ἅλυσίν μου [d]οὐκ **ἐπῃσχύνθη**[2], ἀλλὰ γενόμενος ἐν
18 Ῥώμῃ, [e]**σπουδαιότερον**[3] ἐζήτησέ με καὶ εὗρε· δῴη
αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου [f]ἐν ἐκείνῃ
τῇ ἡμέρᾳ. καὶ [g]ὅσα ἐν Ἐφέσῳ [h]διηκόνησε, [i]βέλτιον
σὺ γινώσκεις.

2 ΣΥ οὖν, [k]τέκνον μου, [l]ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ
2 ἐν Χριστῷ Ἰησοῦ· καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ
πολλῶν μαρτύρων, ταῦτα [m]παράθου πιστοῖς ἀνθρώ-
Γʹ. 3 ποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. **σὺ**
οὖν [n]**κακοπάθησον**[4], [mo]ὡς καλὸς στρατιώτης **Ἰησοῦ Χρισ-**
4 **τοῦ**[5]. [m]οὐδεὶς [n]στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ
βίου **πραγματείαις**[6], ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ.
5 [p]ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ [q]στεφανοῦται ἐὰν μὴ νομί-
6 μως ἀθλήσῃ. [r]τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν
7 καρπῶν μεταλαμβάνειν. νόει **ἃ**[7] λέγω· **δῴη**[8] γάρ
8 σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν
Χριστὸν [s]ἐγηγερμένον ἐκ νεκρῶν, [t]ἐκ σπέρματος
9 **Δαβίδ**[9], [u]κατὰ τὸ εὐαγγέλιόν μου· ἐν ᾧ κακοπαθῶ
μέχρι δεσμῶν, ὡς κακοῦργος· [x]**ἀλλ'**[10] ὁ λόγος τοῦ
10 Θεοῦ οὐ δέδεται. [y]διὰ τοῦτο πάντα ὑπομένω διὰ
[z]τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ [a]σωτηρίας τύχωσι τῆς
Δʹ. 11 ἐν Χριστῷ Ἰησοῦ, [b]μετὰ δόξης αἰωνίου. [c]Πιστὸς
12 ὁ λόγος· [d]εἰ[11] γὰρ συναπεθάνομεν, καὶ [12]**συζήσομεν**· [e]εἰ
ὑπομένομεν, καὶ [e f][12]**συμβασιλεύσομεν**· εἰ [g]**ἀρνούμεθα**[13],
13 κἀκεῖνος ἀρνήσεται ἡμᾶς· εἰ [h]ἀπιστοῦμεν, [i]ἐκεῖνος
πιστὸς μένει· [k]ἀρνήσασθαι[14] ἑαυτὸν οὐ δύναται.
14 Ταῦτα [l]ὑπομίμνησκε, [m]διαμαρτυρόμενος ἐνώπιον τοῦ
Κυρίου[15] μὴ [n]**λογομαχεῖν**[16] [o]**εἰς**[17] οὐδὲν χρήσιμον, ἐπὶ [p]κα-
15 ταστροφῇ τῶν ἀκουόντων. σπούδασον σεαυτὸν [q]δόκι-
μον παραστῆσαι τῷ Θεῷ, ἐργάτην ἀνεπαίσχυντον,

[1] Ἑρμογένης T. [2] ἐπαισχύνθη LTTrWH. [3] σπουδαίως LTTrWHR. [4] συγκακοπάθησον (συνκ. TWH) LTTrWHR. [5] Χριστοῦ Ἰησοῦ LTTrWHR. [6] πραγματίαις TWH. [7] ὃ LTTrWHR. [8] δώσει LTTrWHR. [9] Δαυείδ LTTrWH. [10] ἀλλὰ LTTrWH. [11] Ei R (*non marg.*). [12] συν- T (TrWH *ver.* 11). [13] ἀρνησόμεθα LTTrWHR. [14] + γὰρ LTTrWHR. [15] θεοῦ L *marg.* TTr (*non marg.*) WH (*non marg.*) R *marg.* [16] . μὴ λογομάχει L. [17] ἐπ' LTTrWHR.

[a] cap. 4. 19. [b] Matt. 25. 36. [c] ver. 8. [d] Cf. Act. 21. 33. [e] Vid. Luc. 7. 4. [f] ver. 12. [g] 1 Tim. 1. 3. [h] Heb. 6. 10. [i] Cf. Act. 25. 10. [k] cap. 1. 2. [l] Vid. Eph. 6. 10. [m] 1 Tim. 1. 18. [n] ver. 9. cap. 1. 8; 4. 5. [o] Vid. 1 Cor. 9. 7. [p] 1 Cor. 9. 25. [q] cap. 4. 8. [r] Cf. 1 Cor. 9. 10. Heb. 6. 7. [s] 1 Cor. 15. 20. [t] Matt. 1. 1. [u] Rom. 2. 16. Cf. 1 Cor. 15. 1. [x] Cf. Phil. 1. 13. Cf. cap. 4. 17. [y] Cf. 2 Cor. 12. 15. Cf. Col. 1. 24. [z] Vid. Luc. 18. 7. [a] 2 Cor. 1. 6. [b] 1 Pet. 5. 10. [c] Vid. 1 Tim. 1. 15. [d] Rom. 6. 8. 1 Thess. 5. 10. [e] Cf. Matt. 5. 10. Rom. 8. 17. Cf. 2 Thess. 1. 4. [f] Luc. 22. 29. Rev. 1. 9; 22. 5. [g] Matt. 10. 33. [h] Vid. Marc. 16. 16. Cf. Rom. 3. 3. [i] 1 Cor. 1. 9. [k] Num. 23. 19. Cf. Tit. 1. 2. [l] Tit. 3. 1. 2 Pet. 1. 12. [m] 1 Tim. 5. 21. cap. 4. 1. Vid. Luc. 16. 28. [n] Cf. 1 Tim. 6. 4. [o] Cf. Tit. 3. 9. [p] 2 Pet. 2. 6. [q] Jac. 1. 12.

[a]ὀρθοτομοῦντα [b]τὸν λόγον τῆς ἀληθείας. Τὰς δὲ [c]βε- 16
βήλους κενοφωνίας [d]περιΐστασο[1]· ἐπὶ πλεῖον γὰρ
[e]προκόψουσιν ἀσεβείας, καὶ ὁ λόγος αὐτῶν ὡς γάγ- 17
γραινα νομὴν ἕξει· ὧν ἐστιν [f]Ὑμέναιος καὶ Φιλητός[2],
οἵτινες περὶ τὴν ἀλήθειαν [g]ἠστόχησαν, λέγοντες [h]τὴν[3] 18
ἀνάστασιν ἤδη γεγονέναι, καὶ ἀνατρέπουσι τήν τινων
πίστιν. ὁ μέντοι στερεὸς [i]θεμέλιος τοῦ Θεοῦ ἕστηκεν, 19
ἔχων [k]τὴν σφραγῖδα ταύτην, [l]“Ἔγνω Κύριος τοὺς
ὄντας αὐτοῦ,” καί, “Ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ
ὀνομάζων τὸ ὄνομα Χριστοῦ[4].” [m]ἐν μεγάλῃ δὲ οἰκίᾳ 20
οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ
ξύλινα καὶ [n]ὀστράκινα, καὶ [o]ἃ μὲν εἰς τιμήν, [o]ἃ δὲ εἰς
ἀτιμίαν. ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, 21
ἔσται σκεῦος εἰς τιμήν, ἡγιασμένον, καὶ[5] [p]εὔχρηστον
τῷ δεσπότῃ, εἰς πᾶν [q]ἔργον ἀγαθὸν ἡτοιμασμένον.
Τὰς δὲ νεωτερικὰς ἐπιθυμίας [r]φεῦγε· δίωκε [s]δὲ δικαιο- 22 Ε΄.
σύνην, πίστιν, [t]ἀγάπην, [tu]εἰρήνην, μετὰ[6] [x]τῶν ἐπικα-
λουμένων τὸν Κύριον[7] [y]ἐκ καθαρᾶς καρδίας. Τὰς δὲ 23
μωρὰς καὶ ἀπαιδεύτους [z]ζητήσεις [a]παραιτοῦ, εἰδὼς ὅτι
γεννῶσι μάχας· δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, 24
ἀλλ'[8] [b]ἤπιον εἶναι πρὸς πάντας, [c]διδακτικόν, ἀνεξίκα-
κον, [d]ἐν πρᾳότητι[9] παιδεύοντα τοὺς ἀντιδιατιθεμένους· 25
[e]μήποτε δῷ[10] αὐτοῖς ὁ Θεὸς μετάνοιαν [f]εἰς ἐπίγνωσιν
ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου πα- 26
γίδος, [g]ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς[11] τὸ ἐκείνου θέλημα.
ΤΟΥΤΟ δὲ γίνωσκε[12], ὅτι [h]ἐν ἐσχάταις ἡμέραις 3 ϛ΄.
ἐνστήσονται καιροὶ χαλεποί. ἔσονται γὰρ οἱ ἄνθρω- 2
ποι [i]φίλαυτοι, [k]φιλάργυροι, [l]ἀλαζόνες, [l]ὑπερήφανοι,
[m]βλάσφημοι, [n]γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, [n]ἀνόσιοι,
[l]ἄστοργοι, [l]ἄσπονδοι, [o]διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, 3
ἀφιλάγαθοι, προδόται, [p]προπετεῖς, [q]τετυφωμένοι, φιλ- 4
ήδονοι μᾶλλον ἢ φιλόθεοι, [r]ἔχοντες [s]μόρφωσιν [t]εὐσε- 5
βείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι. [u]καὶ τούτους
ἀποτρέπου. [x]ἐκ τούτων γάρ εἰσιν [x]οἱ ἐνδύνοντες εἰς 6

[1] *περιίστασο* WH. [2] *Φίλητος* WH. [3] —*τὴν* TTr ([*τὴν*] Tr *marg.*) WH (*non marg.*) R *marg.* [4] *κυρίου* LTTrWHR. [5] —*καὶ* LTTrWHR. [6] + *πάντων* L[Tr *marg.*]WH *marg.* [7] *Χριστὸν* B *errore.* [8] *ἀλλὰ* LTTrWH. [9] *πραΰτητι* LTTrWH. [10] *δώῃ* LWH *marg.*, *δῴη* TTrWH *text.* R. [11] *ὑπ' αὐτοῦ, εἰς* R *marg.* [12] *γινώσκετε* L (*non marg.*).

[q] Cf. cap. 6. 12.
[r] Cf. cap. 9. 17; 14. 18.
[s] ver. 11, 21.
[t] ver. 11. Cf. cap. 2. 21. Cf. Dan. 5. 22, 23.
[u] Vid. cap. 11. 13.
[x] cap. 13. 2.
[y] cap. 9. 2. Cf. Ex. 10. 21.
[z] Vid. cap. 11. 13.
[a] ver. 2.
[bb] cap. 9. 14.
[c] Cf. Esa. 27. 12; 44. 27. Jer. 50. 38; 51. 32, 36.
[d] Cf. Esa. 41. 2, 25; 46. 11.
[e] cap. 7. 2 (var. lect.).

[1] —ἄγγελος LTTrWHR. [2] —εἰς LTTrWHR. [3] ἐγένοντο LWH *marg.* R *marg.* [4] —Κύριε LTTrWHR. [5] —καὶ ὁ LTr, [ὁ] Tr *marg.* WH, *at* —καὶ *tantum* TR. [6] ἔκρινας, WH: ἔκρινας. R *marg.* [7] αἵματα T. [8] δέδωκας LTr (*non marg.*) WH (*non marg.*) R. [9] πῖν L, πεῖν TWH. [10] —γάρ LTTrWHR. [11] —ἄλλου ἐκ LTTrWHR. [12] +τὴν LTTrWHR. [13] ἐμασῶντο LTTrWH. [14] —τὸν T[TrWH]. [15] ἀνατολῆς TTr (*non marg.*) WH (*non marg.*). [16] ἴδον T. [17] ὡς βάτραχοι LTTrWHR. [18] δαιμονίων LTTrWHR. [19] ἃ ἐκπορεύεται BEL (σημεῖα·—ἃ L) TTrWHR. [20] —τῆς γῆς καὶ LTTrWHR. [21] +τὸν LTTrWHR.

[f] Vid. cap. 12. 3. [g] Vid. cap. 13. 1. Cf. cap. 13. 11. [h] cap. 19. 20; 20. 10. Vid. Matt. 7. 15. [i] cap. 18. 2. [k] Cf. Ex. 8. 6. [l] Cf. 1 Tim. 4. 1. [m] Cf. cap. 13. 13. Vid. Matt. 24. 24. [n] Vid. Matt. 24. 14. [o] cap. 19. 19; 20. 8. Cf. ver. 16. cap. 17. 14. [p] cap. 6. 17.

ἐκείνης τῆς μεγάλης[1] τοῦ Θεοῦ [a]τοῦ παντοκράτορος.
[b]"Ἰδοὺ ἔρχομαι ὡς κλέπτης. [c]μακάριος ὁ γρηγορῶν, 15
καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ, [d]ἵνα μὴ γυμνὸς περιπατῇ,
[d]καὶ βλέπωσι τὴν ἀσχημοσύνην αὐτοῦ." Καὶ [e]συνή- 16
γαγεν αὐτοὺς εἰς τὸν τόπον τὸν καλούμενον [f]Ἑβραϊ-
στὶ[2] **Ἀρμαγεδδών**[3]. Καὶ [g]ὁ ἕβδομος **ἄγγελος**[4] [h]ἐξέχεε 17 NB'.
[h]τὴν φιάλην αὐτοῦ **εἰς**[5] [i]τὸν ἀέρα· καὶ [k]ἐξῆλθε φωνὴ
μεγάλη[6] **ἀπὸ**[7] τοῦ ναοῦ **τοῦ οὐρανοῦ**[8], ἀπὸ [l]τοῦ θρό-
νου, λέγουσα, [m]"Γέγονε." Καὶ ἐγένοντο [n]**φωναὶ καὶ** 18
[n]**βρονταὶ καὶ** [n]**ἀστραπαί**[9], καὶ [o]σεισμὸς ἐγένετο μέγας,
[p]οἷος οὐκ ἐγένετο ἀφ' οὗ **οἱ ἄνθρωποι ἐγένοντο**[10] ἐπὶ τῆς
γῆς, τηλικοῦτος [o]σεισμὸς οὕτω μέγας. καὶ ἐγένετο 19
[q]ἡ πόλις ἡ μεγάλη [r]εἰς τρία μέρη, καὶ αἱ πόλεις τῶν
ἐθνῶν **ἔπεσον**[11]· καὶ [s]Βαβυλὼν ἡ μεγάλη [t]ἐμνήσθη
ἐνώπιον τοῦ Θεοῦ, δοῦναι αὐτῇ [u]τὸ ποτήριον τοῦ
οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς αὐτοῦ. καὶ [x]πᾶσα νῆσος 20
ἔφυγε, καὶ [x]ὄρη οὐχ εὑρέθησαν. καὶ [y]χάλαζα μεγάλη 21
ὡς ταλαντιαία καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἐπὶ τοὺς
ἀνθρώπους· καὶ [z]ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸν
Θεόν, ἐκ [a]τῆς πληγῆς [y]τῆς χαλάζης· ὅτι μεγάλη ἐστὶν
ἡ πληγὴ αὐτῆς σφόδρα.

ΚΑΙ ἦλθεν [b]εἷς ἐκ [c]τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων 17 NΓ'.
[d]τὰς ἑπτὰ φιάλας, καὶ ἐλάλησε μετ' ἐμοῦ, λέγων **μοι**[12],
[b]"Δεῦρο, δείξω σοι τὸ κρίμα[13] [e]τῆς πόρνης τῆς μεγά-
λης, [f]τῆς καθημένης ἐπὶ **τῶν**[14] ὑδάτων **τῶν**[14] πολλῶν·
[g]μεθ' ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς, καὶ [h]ἐμεθύ- 2
σθησαν [i]**ἐκ τοῦ οἴνου τῆς πορνείας αὐτῆς** [k]**οἱ κατοικοῦντες**
τὴν γῆν[15]." Καὶ [l]ἀπήνεγκέ με [m]εἰς ἔρημον [l]ἐν πνεύματι· 3
καὶ **εἶδον**[16] γυναῖκα καθημένην ἐπὶ θηρίον κόκκινον,
γέμον [n]**ὀνομάτων**[17] βλασφημίας[18], **ἔχον**[19] [no]κεφαλὰς

[a] Vid. ver. 7. [b] cap. 3. 3. Vid. Matt. 24. 43. [c] Matt. 24. 46. [d] cap. 3. 18. [e] ver. 14. [f] Vid. cap. 9. 11. [g] ver. 8. [h] ver. 4. [i] Cf. Eph. 2. 2. [k] Vid. cap. 11. 15. [l] Vid. cap. 4. 2. [m] cap. 21. 6. Cf. cap. 10. 6. [n] Vid. cap. 4. 5. [o] Vid. cap. 6. 12. [p] Dan. 12. 1. Matt. 24. 21. [q] Vid. cap. 11. 8. [r] Cf. cap. 11. 13. [s] cap. 14. 8; 17. 5. [t] cap. 18. 5. Cf. Ps. 74. 18; 89. 50. [u] cap. 14. 10. [x] cap. 6. 14. [y] cap. 8. 7; 11. 19. Cf. Job 38. 22, 23. [z] ver. 9, 11. [a] Ex. 9. 23—25. [b] cap. 21. 9. [c] Vid. cap. 15. 1. [d] Vid. cap. 15. 7. [e] ver. 5, 15, 16. cap. 19. 2. Cf. Esa. 1. 21. Jer. 2. 20. Nah. 3. 4. [f] ver. 15. Cf. Jer. 51. 13. [g] cap. 18. 3, 9. [h] ver. 6. Vid. Joan. 2. 10. [i] Vid. cap. 14. 8. [k] ver. 8. Vid. cap. 3. 10. [l] cap. 21. 10. Cf. cap. 1. 10. [m] cap. 12. 6, 14. [n] cap. 13. 1. [o] ver. 7, 9, 12. cap. 12. 3. [p] Judic. 5. 19. 2 Reg. 23. 29, 30. 2 Chr. 35. 22. Zech. 12. 11.

[1] μεγάλης ἡμέρας LWH *marg.*, ἡμέρας τῆς μεγάλης (—ἐκείνης) TTrWH *text*. R. [2] Ἐβραϊστί WH. [3] Ἁρμαγεδών LTTrR, Ἁρ Μαγεδών WH. [4] —ἄγγελος LTTrWHR. [5] ἐπὶ LTTrWHR. [6] —μεγάλη L. [7] ἐκ LTTrWHR. [8] —τοῦ οὐρανοῦ LTTrWHR. [9] ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταί LTTrWHR. [10] ἄνθρωπος ἐγένετο LTTrWH *marg*. R *marg*., ἄνθρωποι ἐγένοντο Tr *marg*. WH *text*. R *text*. [11] ἔπεσαν LTTrWH. [12] —μοι LTTrWHR. [13] κρῖμα BEL. [14] —τῶν LT (*ita vult*) TrWHR. [15] οἱ κατοικοῦντες τὴν γῆν ἐκ τοῦ οἴνου τῆς πορνείας αὐτῆς LTTrWHR. [16] εἶδα L (TTr *ver*. 6 *tantum*). [17] γέμοντα ὀνόματα LTWHR, γέμον τὰ ὀνόματα Tr. [18] (γέμοντα ὀνόματα βλασφημίας) R *marg*. [19] ἔχοντα TWH *marg*., ἔχων WH *text*.

4 ἑπτὰ καὶ κέρατα δέκα. καὶ ἡ γυνὴ ἡ[1] [a]περιβεβλη-
μένη [a]**πορφύρᾳ**[2] καὶ [a]**κοκκίνῳ**[3], καὶ κεχρυσωμένη
[b]**χρυσῷ**[4] καὶ [b]λίθῳ τιμίῳ καὶ [c]μαργαρίταις, ἔχουσα
[d]**χρυσοῦν ποτήριον**[5] ἐν τῇ χειρὶ αὐτῆς, **γέμον**[6] [e]βδελυγ-
5 μάτων[7] καὶ **ἀκαθάρτητος**[8] πορνείας αὐτῆς, καὶ ἐπὶ τὸ
μέτωπον αὐτῆς ὄνομα γεγραμμένον, [f]"Μυστήριον[9],
[g]Βαβυλὼν ἡ μεγάλη, ἡ μήτηρ [h]τῶν πορνῶν καὶ [e]τῶν
6 βδελυγμάτων τῆς γῆς." Καὶ **εἶδον**[10] τὴν γυναῖκα
[i]μεθύουσαν **ἐκ** [k]**τοῦ αἵματος**[11] τῶν ἁγίων, καὶ ἐκ τοῦ
αἵματος [l]τῶν μαρτύρων Ἰησοῦ· καὶ ἐθαύμασα, ἰδὼν
αὐτήν, θαῦμα μέγα.
ΝΔ΄. 7 Καὶ εἶπέ μοι [m]ὁ ἄγγελος, "Διατί[12] ἐθαύμασας; ἐγώ
σοι ἐρῶ[13] [e]τὸ μυστήριον τῆς γυναικός, καὶ [n]τοῦ θηρίου
τοῦ βαστάζοντος αὐτήν, τοῦ ἔχοντος [no]τὰς ἑπτὰ κεφα-
8 λὰς καὶ τὰ δέκα κέρατα. [14]Θηρίον ὃ εἶδες, [p]ἦν, καὶ
οὐκ ἔστι, καὶ μέλλει [q]ἀναβαίνειν ἐκ [r]τῆς ἀβύσσου,
καὶ [s]εἰς ἀπώλειαν **ὑπάγειν**[15]· καὶ [t]**θαυμάσονται**[16] [u]οἱ
κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν **οὐ γέγραπται**[17] **τὰ ὀνό-
ματα**[18] ἐπὶ [xy]τὸ βιβλίον τῆς ζωῆς [y]ἀπὸ καταβολῆς
κόσμου, **βλέποντες**[19] τὸ θηρίον ὅ,τι[20] ἦν, καὶ οὐκ ἔστι,
9 **καίπερ ἐστίν**[21]. [z]ὧδε ὁ νοῦς ὁ ἔχων σοφίαν. [o]αἱ ἑπτὰ
κεφαλαί, **ὄρη εἰσὶν ἑπτά**[22], ὅπου ἡ γυνὴ κάθηται ἐπ'
10 αὐτῶν. καὶ βασιλεῖς ἑπτά εἰσιν· οἱ πέντε ἔπεσαν,
καὶ[23] ὁ εἷς ἔστιν, ὁ ἄλλος οὔπω ἦλθε· καὶ ὅταν ἔλθῃ,
11 ὀλίγον αὐτὸν δεῖ μεῖναι. καὶ τὸ θηρίον [p]ὃ ἦν, καὶ
οὐκ ἔστι[24], καὶ **αὐτὸς**[25] ὄγδοός ἐστι, καὶ ἐκ τῶν ἑπτά
12 ἐστι, καὶ [s]εἰς ἀπώλειαν ὑπάγει. Καὶ [oa]τὰ δέκα κέρατα
ἃ εἶδες, δέκα βασιλεῖς εἰσίν, οἵτινες βασιλείαν **οὔπω**[26]
ἔλαβον, **ἀλλ'**[27] ἐξουσίαν ὡς βασιλεῖς [b]μίαν ὥραν λαμ-
13 βάνουσι μετὰ τοῦ θηρίου. οὗτοι [c]μίαν γνώμην ἔχου-

[a] cap. 18. 12. Vid. Matt. 27. 28.
[b] cap. 18. 12, 16; 21. 11, 19. Vid. 1 Cor. 3. 12. Cf. Dan. 11. 38.
[c] cap. 18. 16; 21. 21. Vid. 1 Tim. 2. 9.
[d] Jer. 51. 7.
[e] ver. 5. cap. 21. 27.
[f] ver. 7. Vid. 2 Thess. 2. 7 & cap. 1. 20.
[g] cap. 14. 8 (var. lect.); 16. 19.
[h] ver. 15, 16. Vid. ver. 1.
[i] ver. 2. Esa. 34. 7 (Septuagint.).
[k] Cf. cap. 16. 6; 18. 24.
[l] cap. 2. 13. Cf. cap. 1. 2.
[m] ver. 1.
[n] ver. 3.
[o] ver. 9, 12.
[p] ver. 11. Cf. cap. 13. 3, 12.
[q] cap. 11. 7.
[r] Vid. Luc. 8. 31 & cap. 9. 1.
[s] ver. 11. Cf. cap. 13. 10.
[t] Cf. cap. 13. 3.
[u] ver. 2.
[x] Vid. cap. 3. 5.
[y] Vid. cap. 13. 8.
[z] Cf. cap. 13. 18.
[a] ver. 16. Dan. 7. 24. Cf. Zech. 1. 18—21. cap. 13. 1.
[b] Cf. cap. 18. 10, 16, 19. Vid. 2 Cor. 7. 8.
[c] ver. 17.

[1] ἣν LTTrWHR. [2] πορφυροῦν LTTrWHR. [3] κόκκινον LTTrWHR. [4] χρυσίῳ LWH (*non marg.*) R. [5] ποτήριον χρυσοῦν LTTrWHR. [6] γέμων TWH *marg.* [7] βδελυγμάτων, R (*non marg.*). [8] τὰ ἀκάθαρτα τῆς LTTrWHR. [9] γεγραμμένον, μυστήριον, WH, γεγραμμένον μυστήριον, R *marg.* [10] εἶδα LTTr. [11] τῷ αἵματι Tr *marg.* [12] Διὰ τί WH. [13] ἐρῶ σοι LTrWH (*non marg.*) R. [14] + τὸ LTTrWHR. [15] ὑπάγει LWH (*non marg.*) R *marg.* [16] θαυμασθήσονται LWH. [17] οὐκ ἐγέγραπτο L. [18] τὸ ὄνομα LTTrWHR. [19] βλεπόντων LTTrWHR. [20] ὅτι LTTrWHR. [21] καὶ παρέσται LTTrWHR. [22] ἑπτὰ ὄρη εἰσίν LTTrWHR. [23] — καὶ LTTrWHR. [24] μεῖναι, καὶ...οὐκ ἔστιν. WH (*non marg.*). [25] οὗτος Tr. [26] οὐκ L. [27] ἀλλὰ LTTrWH.

σι, καὶ τὴν δύναμιν καὶ τὴν[1] ἐξουσίαν **ἑαυτῶν**[2] τῷ
θηρίῳ **διαδιδώσουσιν**[3]. [a] οὗτοι μετὰ τοῦ ἀρνίου πολε- 14
μήσουσι, καὶ τὸ ἀρνίον [b] νικήσει αὐτούς, ὅτι [c] Κύριος
κυρίων ἐστὶ καὶ [c] Βασιλεὺς βασιλέων, καὶ [d] οἱ μετ'
αὐτοῦ, [ef] κλητοὶ καὶ [e] ἐκλεκτοὶ καὶ [g] πιστοί."
Καὶ **λέγει**[4] μοι, [h] "Τὰ ὕδατα ἃ εἶδες, [h] οὗ [i] ἡ πόρνη 15
κάθηται, [k] λαοὶ καὶ ὄχλοι εἰσί, καὶ [k] ἔθνη καὶ [k] γλῶσσαι.
Καὶ [l] τὰ δέκα κέρατα ἃ εἶδες **ἐπὶ**[5] τὸ θηρίον, [m] οὗτοι 16
μισήσουσι [i] τὴν πόρνην, καὶ [n] ἠρημωμένην ποιήσουσιν
αὐτὴν καὶ [o] γυμνήν, καὶ [p] τὰς σάρκας αὐτῆς φάγονται,
καὶ [q] αὐτὴν κατακαύσουσιν **ἐν**[6] πυρί. ὁ γὰρ Θεὸς 17
[r] ἔδωκεν εἰς τὰς καρδίας αὐτῶν ποιῆσαι τὴν γνώμην
αὐτοῦ, **καὶ ποιῆσαι** [s] **μίαν γνώμην**[7], καὶ δοῦναι τὴν
βασιλείαν αὐτῶν τῷ θηρίῳ, ἄχρι [t] **τελεσθῇ τὰ ῥήματα**[8]
τοῦ Θεοῦ. Καὶ ἡ γυνὴ ἣν εἶδες, ἔστιν [u] ἡ πόλις ἡ 18
μεγάλη, ἡ ἔχουσα βασιλείαν ἐπὶ τῶν βασιλέων τῆς
γῆς."

18 ΚΑΙ[9] μετὰ ταῦτα εἶδον[10] [x] ἄγγελον [y] καταβαίνοντα ΝΕ΄.
ἐκ τοῦ οὐρανοῦ, ἔχοντα ἐξουσίαν μεγάλην· καὶ [z] ἡ
γῆ ἐφωτίσθη ἐκ τῆς δόξης αὐτοῦ. καὶ ἔκραξεν ἐν 2
ἰσχύϊ, φωνῇ μεγάλῃ[11], λέγων, [a] "Ἔπεσεν **ἔπεσε**[12] Βαβυ-
λὼν ἡ μεγάλη, καὶ ἐγένετο [bc] κατοικητήριον **δαιμόνων**[13],
καὶ φυλακὴ παντὸς πνεύματος [c] ἀκαθάρτου[14], καὶ φυ-
λακὴ [d] παντὸς ὀρνέου ἀκαθάρτου καὶ μεμισημένου·
ὅτι [e] ἐκ **τοῦ οἴνου**[15] τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς **πέ-** 3
πωκε[16] πάντα τὰ ἔθνη, καὶ [f] οἱ βασιλεῖς τῆς γῆς μετ'
αὐτῆς ἐπόρνευσαν, καὶ [g] οἱ ἔμποροι τῆς γῆς ἐκ τῆς
δυνάμεως [h] τοῦ στρήνους αὐτῆς ἐπλούτησαν."
Καὶ ἤκουσα ἄλλην φωνὴν ἐκ τοῦ οὐρανοῦ, λέγου- 4
σαν, [i] "**Ἐξέλθετε**[17] **ἐξ αὐτῆς ὁ λαός μου**[18], ἵνα μὴ [19] **συγ-**

[1] —τὴν LTrWH (*non marg.*) R. [2] αὐτῶν LTTrWHR. [3] διδόασιν LTTrWHR. [4] εἶπεν L. [5] καὶ LTTrWHR. [6] —ἐν T[WH]. [7] —καὶ ποιῆσαι μιαν γνώμην L. [8] τελεσθήσονται οἱ λόγοι LTTrWHR. [9] —Καὶ LTTrWHR. [10] [k] +ἄλλον LTTrWHR. [11] ἰσχυρᾷ φωνῇ LTTrWHR. [12] —ἔπεσε Tr ([ἔπεσεν] Tr *marg.*). [13] δαιμονίων LTTrWHR. [14] +καὶ μεμισημένου L. [15] —τοῦ οἴνου L[TrWH]R *marg.* [16] [l] πέπωκαν LTWH *marg.*, πέπτωκαν TrWH (*non marg.*) R (*non marg.*), πεπτώκασιν Tr *marg.* [17] Ἔξελθε L, Ἐξέλθατε TTrWH. [18] ὁ λαός μου ἐξ αὐτῆς TTr *marg.* WH (*non marg.*) R. [19] συν- TWH.

[a] Cf. cap. 16. 14; 19. 19; 20. 8. [b] Vid. cap. 3. 21. [c] Deut. 10. 17. Dan. 2. 47. cap. 1. 5; 19. 16. Act. 10. 36. 1 Tim. 1. 17; 6. 15. Vid. Matt. 25. 34. [d] Cf. cap. 14. 4. [e] Matt. 22. 14. Luc. 18. 7. [f] Rom. 1. 6. [g] cap. 2. 10. [h] ver. 1. Cf. Esa. 8. 7. [i] ver. 1, 5, 16. cap. 19. 2. [k] Cf. cap. 5. 9. [l] ver. 12. [m] Cf. Jer. 50. 41, 42. [n] cap. 18. 16, 19. [o] Ezek. 16. 37, 39. [p] cap. 19. 18. [q] cap. 18. 8. Cf. Lev. 21. 9. [r] 2 Cor. 8. 16. [s] ver. 13. [t] Cf. cap. 10. 7. [u] Vid. cap. 11. 8. [x] cap. 17. 1, 7. [y] cap. 10. 1. [z] Ezek. 10. 4; 43. 2. [a] Esa. 21. 9. cap. 14. 8. Cf. Jer. 51. 8. [b] Esa. 13. 21; 34. 14. Jer. 50. 39; 51. 37. Cf. Zeph. 2. 14, 15. [c] cap. 16. 13. Cf. Marc. 5. 2, 8. [d] Esa. 14. 23; 34. 11. [e] cap. 14. 8. Cf. ver. 19. [f] ver. 9. cap. 17. 2. [g] ver. 11, 15, 23. Esa. 47. 15. Ezek. 27. 36. [h] Cf. ver. 7, 9. 1 Tim. 5. 11. [i] Esa. 48. 20; 52. 11. Jer. 50. 8; 51. 6, 45. Zech. 2. 6, 7. 2 Cor. 6. 17. [k] cap. 10. 1. [l] Esa. 51. 17 (Septuagint). Jer. 25. 27.

κοινωνήσητε ταῖς ἁμαρτίαις αὐτῆς, καὶ **ἵνα μὴ λάβητε**
5 **ἐκ τῶν πληγῶν αὐτῆς**[1]· ὅτι [a]**ἠκολούθησαν**[2] αὐτῆς αἱ
ἁμαρτίαι ἄχρι τοῦ οὐρανοῦ, καὶ [b]ἐμνημόνευσεν ὁ
6 Θεὸς τὰ ἀδικήματα αὐτῆς. [c]ἀπόδοτε αὐτῇ ὡς καὶ
αὐτὴ ἀπέδωκεν **ὑμῖν**[3], καὶ διπλώσατε **αὐτῇ**[4] [5]διπλᾶ
κατὰ τὰ ἔργα αὐτῆς· [b]ἐν τῷ ποτηρίῳ [d]ᾧ ἐκέρασε,
7 κεράσατε αὐτῇ διπλοῦν. [e]ὅσα ἐδόξασεν **ἑαυτὴν**[6] καὶ
[f]ἐστρηνίασε, [e]τοσοῦτον δότε αὐτῇ βασανισμὸν καὶ
πένθος· ὅτι [g]ἐν τῇ καρδίᾳ αὐτῆς λέγει, [h]'[7]Κάθημαι
βασίλισσα, [h]καὶ χήρα οὐκ εἰμί, καὶ πένθος οὐ μὴ
8 ἴδω.' Διὰ τοῦτο [i]ἐν μιᾷ ἡμέρᾳ ἥξουσιν αἱ πληγαὶ
αὐτῆς, θάνατος καὶ πένθος καὶ λιμός· καὶ [k]ἐν πυρὶ
κατακαυθήσεται· ὅτι [l]ἰσχυρὸς **Κύριος**[8] ὁ Θεὸς ὁ
9 **κρίνων**[9] αὐτήν. Καὶ [m]**κλαύσονται**[10] **αὐτήν**[11], καὶ κόψον-
ται ἐπ' **αὐτῇ**[12] [n]οἱ βασιλεῖς τῆς γῆς, οἱ μετ' αὐτῆς
πορνεύσαντες καὶ [f]στρηνιάσαντες, ὅταν βλέπωσι [o]τὸν
10 καπνὸν τῆς πυρώσεως αὐτῆς, ἀπὸ μακρόθεν ἑστη-
κότες διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς, λέγον-
τες, [p]Οὐαί, οὐαί, [i]ἡ [q]πόλις ἡ μεγάλη Βαβυλών, ἡ πό-
λις ἡ ἰσχυρά, ὅτι **ἐν**[13] [ir]**μιᾷ ὥρᾳ**[14] ἦλθεν ἡ κρίσις σου.
11 Καὶ [s]οἱ ἔμποροι τῆς γῆς κλαίουσι καὶ πενθοῦσιν ἐπ'
αὐτῇ[15], ὅτι τὸν γόμον αὐτῶν οὐδεὶς ἀγοράζει οὐκ
12 **ἔτι**[16]· γόμον [t]χρυσοῦ, καὶ ἀργύρου, καὶ [tu]λίθου τιμίου,
καὶ [tu]**μαργαρίτου**[17], καὶ [tux]**βύσσου**[18], καὶ [tux]πορφύρας,
καὶ **σηρικοῦ**[19], καὶ [tu]κοκκίνου· καὶ πᾶν ξύλον θύϊνον[20],
καὶ πᾶν σκεῦος ἐλεφάντινον, καὶ πᾶν σκεῦος ἐκ ξύλου
τιμιωτάτου, καὶ χαλκοῦ, καὶ σιδήρου, καὶ μαρμάρου,
13 καὶ **κινάμωμον**[21], [22]καὶ θυμιάματα, καὶ μύρον, καὶ
[y]λίβανον, καὶ οἶνον, καὶ [y]ἔλαιον, καὶ [z]σεμίδαλιν, καὶ
σῖτον, καὶ κτήνη, καὶ πρόβατα, καὶ ἵππων, καὶ

[a] (var. lect.) Jer. 51. 9. Cf. Gen. 18. 20, 21. Jonah 1. 2.
[b] cap. 16. 19.
[c] Ps. 137. 8. Jer. 50. 15, 29; 51. 24, 49. Vid. 2 Tim. 4. 14.
[d] Cf. cap. 14. 10.
[e] Cf. Ezek. 28. 2—8.
[f] Vid. ver. 3.
[g] Ps. 10. 6. Zeph. 2. 15.
[h] Esa. 47. 7, 8.
[i] Esa. 47. 9. Cf. ver. 10.
[k] cap. 17. 16.
[l] Jer. 50. 34. Cf. cap. 11. 17, 18.
[m] Jer. 50. 46. Ezek. 26. 16, 17; 27. 35.
[n] Vid. ver. 3.
[o] ver. 18. cap. 14. 11; 19. 3.
[p] ver. 16, 19.
[q] ver. 18, 19, 21. Vid. cap. 11. 8.
[r] ver. 16, 19. Cf. cap. 17. 12.
[s] Vid. ver. 3.
[t] ver. 16.
[u] Vid. cap. 17. 4.
[x] Luc. 16. 19. cap. 19. 8, 14.
[y] Lev. 2. 1, 2.
[z] Gen. 18. 6. Num. 6. 15. 1 Sam. 1. 24 (Septuagint.).

[1] *ἐκ τῶν πληγῶν αὐτῆς ἵνα μὴ λάβητε* LTTrWHR. [2] *ἐκολλήθησαν* LTTrWHR. [3] —*ὑμῖν* LTTrWHR. [4] —*αὐτῇ* LTTrWHR. [5] +*τὰ* TTr[WH]R. [6] *αὐτὴν* LTTrR, *αὑτὴν* WH. [7] +*ὅτι* LTTrWHR. [8] [Κύριος] WH, —Κύριος R *marg.* [9] *κρίνας* LTTrWHR. [10] *κλαύσουσιν* T (*nec vult*) TrWH (*non marg.*). [11] —*αὐτήν* LTTrWHR. [12] *αὐτὴν* TTrWH (*non marg.*) R. [13] —*ἐν* LTTrWHR. [14] *μίαν ὥραν* WH *marg.* [15] *αὐτὴν* TTrWHR. [16] *οὐκέτι* BELTTrWHR. [17] *μαργαρίτας* L WH *marg.* (*Ap.* †) L, *μαργαριτῶν* TTrWH (*non marg.*) R. [18] *βυσσίνου* LTTrWHR. [19] *σιρικοῦ* LTWHR. [20] *θύϊον* T *errore*, *θύινον* WH. [21] *κιννάμωμον* LTTrWHR. [22] +*καὶ ἄμωμον* LTTrWHR.

ῥεδῶν, καὶ [a]σωμάτων, καὶ [b]ψυχὰς ἀνθρώπων. καὶ ἡ 14
ὀπώρα **τῆς ἐπιθυμίας τῆς ψυχῆς σου**[1] ἀπῆλθεν ἀπὸ
σοῦ, καὶ πάντα τὰ λιπαρὰ καὶ τὰ λαμπρὰ **ἀπῆλθεν**[2]
ἀπὸ σοῦ, καὶ **οὐκ ἔτι**[3] **οὐ μὴ εὑρήσῃς αὐτά**[4]. [c]Οἱ 15
ἔμποροι τούτων [d]οἱ πλουτήσαντες ἀπ' αὐτῆς, ἀπὸ
μακρόθεν στήσονται διὰ τὸν φόβον τοῦ βασανισ-
μοῦ αὐτῆς, [r]κλαίοντες καὶ πενθοῦντες, **καὶ**[5] λέγοντες, 16
[e]Οὐαί, οὐαί, ἡ πόλις ἡ μεγάλη, [f]ἡ περιβεβλημένη
βύσσινον[6] καὶ πορφυροῦν καὶ **κόκκινον**[6], καὶ [g]κεχρυ-
σωμένη[7] **ἐν**[8] **χρυσῷ**[9] καὶ λίθῳ τιμίῳ καὶ **μαργαρί-
ταις**[10]· ὅτι [h]μιᾷ ὥρᾳ [i]ἠρημώθη ὁ τοσοῦτος πλοῦτος.
[k]Καὶ πᾶς [l]κυβερνήτης, καὶ πᾶς **ἐπὶ τῶν πλοίων ὁ** 17
ὅμιλος[11], καὶ ναῦται, [k]καὶ ὅσοι τὴν θάλασσαν ἐργά-
ζονται, ἀπὸ μακρόθεν ἔστησαν, [m]καὶ **ἔκραζον**[12], **ὁρῶν-** 18
τες[13] [n]τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς, λέγοντες, [o]'Τίς
ὁμοία [p]τῇ πόλει[14] τῇ μεγάλῃ;' Καὶ [m q]**ἔβαλον**[15] χοῦν 19
ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ **ἔκραζον**[16] [r]κλαίοντες καὶ
πενθοῦντες, λέγοντες, [e]Οὐαί, οὐαί, [p]ἡ πόλις ἡ μεγάλη,
ἐν [s]ᾗ ἐπλούτησαν πάντες οἱ ἔχοντες[17] πλοῖα ἐν τῇ
θαλάσσῃ ἐκ τῆς τιμιότητος αὐτῆς, ὅτι [h]μιᾷ ὥρᾳ
[i]ἠρημώθη. [t]Εὐφραίνου ἐπ' **αὐτήν**[18], οὐρανέ, καὶ οἱ 20
ἅγιοι[19] [u]ἀπόστολοι καὶ οἱ [u]προφῆται, [x]ὅτι ἔκρινεν ὁ
Θεὸς τὸ κρίμα[20] ὑμῶν ἐξ αὐτῆς."

Καὶ [y]ἦρεν εἷς ἄγγελος ἰσχυρὸς λίθον ὡς **μύλον**[21] 21
μέγαν, καὶ [y]ἔβαλεν εἰς τὴν θάλασσαν, λέγων, "Οὕ-
τως ὁρμήματι βληθήσεται Βαβυλὼν [p]ἡ μεγάλη πό-
λις, καὶ οὐ μὴ εὑρεθῇ ἔτι. [z]καὶ φωνὴ [a]κιθαρῳδῶν 22
καὶ [a]μουσικῶν καὶ [b]αὐλητῶν καὶ σαλπιστῶν οὐ μὴ
ἀκουσθῇ ἐν σοὶ ἔτι, καὶ πᾶς τεχνίτης **πάσης τέχνης**[22]
οὐ μὴ εὑρεθῇ ἐν σοὶ ἔτι, [c]καὶ φωνὴ [d]μύλου οὐ μὴ

[a] Gen. 36. 6 (Septuagint.).
[b] Num. 31. 35. Ezek. 27. 13 (Septuagint.) Cf. 1 Tim. 1. 10.
[c] Vid. ver. 3.
[d] Cf. ver. 9.
[e] ver. 10, 19.
[f] Vid. cap. 17. 4.
[g] ver. 12.
[h] ver. 10, 19.
[i] ver. 19. cap. 17. 16.
[k] Ezek. 27. 28, 29.
[l] Act. 27. 11.
[m] Ezek. 27. 30.
[n] ver. 9.
[o] Ezek. 27. 32. Cf. cap. 13. 4.
[p] ver. 10, 19, 21.
[q] Josh. 7. 6. 1 Sam. 4. 12. Job 2. 12.
[r] Ezek. 27. 31.
[s] Cf. ver. 3, 15.
[t] cap. 12. 12. Cf. Jer. 51. 48.
[u] Luc. 11. 49.
[x] cap. 6. 10; 19. 2.
[y] Jer. 51. 63, 64.
[z] Esa. 24. 8.
[a] Ezek. 26. 13.
[b] Matt. 9. 23.
[c] Jer. 25. 10.
[d] Cf. Eccles. 12. 4.

1 σου τῆς ἐπιθυμίας τῆς ψυχῆς LTTrWHR. 2 ἀπώλετο LTrWHR, *at* ἀπώλοντο T. 3 —οὐκ ἔτι Tr, *errore*, οὐκέτι BELTWHR. 4 αὐτὰ οὐ μὴ εὑρήσουσιν LR, οὐ μὴ αὐτὰ εὑρήσουσιν TTrWH. 5 —καὶ LTTrWHR. 6 βύσσινον *et* κόκκινον *transfert* L. 7 κεχρυσωμένοι E. 8 —ἐν LTrR, [ἐν] WH. 9 χρυσίῳ LTr (*non marg.*) WH (*non marg.*) R. 10 μαργαρίτῃ LTTrWHR. 11 ὁ ἐπὶ τόπον πλέων LTTrWHR. 12 ἔκραξαν LTrWHR. 13 βλέποντες LTTrWHR. 14 +ταύτῃ L. 15 ἔβαλαν L, ἐπέβαλον WH *marg.* 16 ἔκραξαν LTr *marg.* WHR. 17 +τὰ LTTrWHR. 18 αὐτῇ LTTrWHR. 19 +καὶ οἱ LTTrWHR. 20 κρῖμα SBEL. 21 μύλινον LWHR. 22 [πάσης τέχνης] WH, *om.* R *marg.*

23 ἀκουσθῇ ἐν σοὶ ἔτι, καὶ [a] φῶς λύχνου οὐ μὴ φανῇ[1] ἐν[2]
σοὶ ἔτι, καὶ [ab] φωνὴ νυμφίου καὶ νύμφης οὐ μὴ ἀκου-
σθῇ ἐν σοὶ ἔτι· ὅτι [c] οἱ[3] ἔμποροί σου ἦσαν [cd] οἱ μεγι-
στᾶνες τῆς γῆς, ὅτι [e] ἐν τῇ **φαρμακείᾳ**[4] σου ἐπλανή-
24 θησαν πάντα τὰ ἔθνη. καὶ ἐν αὐτῇ [f] **αἷμα**[5] προφη-
τῶν καὶ ἁγίων εὑρέθη, καὶ [g] πάντων τῶν ἐσφαγμένων
ἐπὶ τῆς γῆς."
Νϛ΄.**19** ΚΑΙ[6] μετὰ ταῦτα ἤκουσα[7] [h] **φωνὴν ὄχλου πολλοῦ**
μεγάλην[8] ἐν τῷ οὐρανῷ, **λέγοντος**[9], [i] "Ἀλληλούϊα[10]. [k] ἡ
σωτηρία καὶ [l] ἡ δόξα **καὶ** [m] **ἡ τιμὴ**[11] καὶ [m] ἡ δύναμις **Κυρίῳ**
2 **τῷ Θεῷ**[12] ἡμῶν· ὅτι [n] ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις
αὐτοῦ· [o] ὅτι ἔκρινε [p] τὴν πόρνην τὴν μεγάλην, ἥτις
ἔφθειρε τὴν γῆν ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ [q] ἐξεδίκησε
τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ **τῆς**[13] χειρὸς αὐτῆς."
3 Καὶ δεύτερον εἴρηκαν, [i] "Ἀλληλούϊα[10]· καὶ [rs] ὁ καπνὸς
4 αὐτῆς [r] ἀναβαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώνων." Καὶ
ἔπεσαν[14] οἱ [t] **πρεσβύτεροι οἱ εἴκοσι καὶ τέσσαρες**[15], καὶ [u] τὰ
τέσσαρα[16] ζῶα[17], καὶ [x] προσεκύνησαν τῷ Θεῷ [y] τῷ καθη-
μένῳ ἐπὶ **τοῦ θρόνου**[18], [z] λέγοντες, "Ἀμήν· [i] Ἀλλη-
5 λούϊα[10]." Καὶ φωνὴ **ἐκ**[19] τοῦ θρόνου ἐξῆλθε, λέ-
γουσα, [a] "Αἰνεῖτε **τὸν Θεὸν**[20] ἡμῶν [a] πάντες οἱ δοῦλοι
αὐτοῦ, **καὶ**[21] [b] οἱ φοβούμενοι αὐτὸν **καὶ**[22] οἱ [bc] μικροὶ καὶ
6 οἱ μεγάλοι." Καὶ ἤκουσα [h] ὡς [d] φωνὴν ὄχλου πολλοῦ,
καὶ **ὡς**[23] [e] φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς [f] φωνὴν βρον-
τῶν ἰσχυρῶν, **λέγοντας**[24], [i] "Ἀλληλούϊα[10]· ὅτι [g] ἐβασί-
ΝΖ΄. 7 λευσε [h] Κύριος ὁ Θεὸς[25] ὁ [i] παντοκράτωρ. χαίρωμεν
καὶ **ἀγαλλιώμεθα**[26], καὶ [k] **δῶμεν**[27] τὴν δόξαν αὐτῷ· ὅτι
ἦλθεν ὁ [l] γάμος τοῦ ἀρνίου, καὶ [m] ἡ γυνὴ αὐτοῦ [m] ἡτοί-
8 μασεν ἑαυτήν." Καὶ ἐδόθη αὐτῇ ἵνα περιβάληται

[1] φάνῃ LTWHR. [2] —ἐν L. [3] —οἱ L[WH]. [4] φαρμακίᾳ TWH. [5] αἵματα TR. [6] —Καὶ LTTrWHR. [7] +ὡς ELTTrWHR. [8] μεγάλην ὄχλου πολλοῦ LTTrWHR. [9] λεγόντων LTTrWHR. [10] Ἁλληλουιά WH. [11] —καὶ ἡ τιμὴ LTTrWHR. [12] τοῦ θεοῦ LTTrWHR. [13] —τῆς LTTrWHR. [14] ἔπεσον E. [15] εἴκοσι τέσσαρες πρεσβύτεροι L, πρεσβύτεροι οἱ εἴκοσι τέσσαρες TTrWHR. [16] τέσσερα LTTrWH. [17] ζῷα LTrWH. [18] τῷ θρόνῳ LTTrWHR. [19] ἀπὸ LTrWHR. [20] τῷ θεῷ LTTrWHR. [21] καὶ T[Tr]WHR. [22] —καὶ LTTrWHR. [23] —ὡς L. [24] λεγόντων ELTTrWH *text*. R, λέγοντες WH *marg*. [25] +ἡμῶν TTr[WH]R. [26] ἀγαλλιῶμεν LTTrWHR. [27] δώσομεν LWH (*non marg.*).

[a] Jer. 25. 10. [b] Jer. 7. 34; 16. 9; 33. 11. [c] Esa. 23. 8. Vid. ver. 3. [d] Marc. 6. 21. Vid. cap. 6. 15. [e] Vid. cap. 9. 21. Cf. Nah. 3. 4. [f] cap. 16. 6. Cf. cap. 17. 6. [g] Jer. 51. 49. [h] Vid. cap. 11. 15. Cf. ver. 6. [i] ver. 3, 4. 6. Ps. 106. 1, &c. [k] Vid. cap. 7. 10. [l] Vid. cap. 4. 9. [m] Vid. cap. 4. 11. Cf. Ps. 62. 11. [n] cap. 15. 3; 16. 7. [o] cap. 6. 10; 18. 20. [p] Vid. cap. 17. 1. [q] Deut. 32. 43. 2 Reg. 9. 7. [r] cap. 14. 11; 18. 9. [s] Esa. 34. 10. [t] Vid. cap. 4. 4. [u] Vid. cap. 4. 6. [x] Vid. cap. 4. 10. [y] Vid. cap. 4. 2. [z] Vid. cap. 5. 14. [a] Ps. 134. 1; 135. 1. [b] Vid. cap. 11. 18. [c] ver. 18. Vid. Act. 8. 10. [d] Dan. 10. 6. [e] Vid. cap. 1. 15. [f] cap. 6. 1; 14. 2. [g] Vid. cap. 11. 15, 17. Cf. cap. 17. 14. [h] Vid. cap. 4. 8. [i] ver. 15. Vid. 2 Cor. 6. 18. [k] Vid. cap. 11. 18. [l] ver. 9. Cf. Matt. 22. 2; 25. 10. Luc. 12. 36; 14. 8. Joan. 2. 1. [m] cap. 21. 2. Cf. Esa. 54. 5.

[a] ver. 14. cap. 18. 12. Cf. Ps. 45. 13, 14. Ezek. 16. 10.
[b] ver. 14. cap. 15. 6. Cf. Jac. 2. 2. cap. 3. 4, 18.
[c] cap. 15. 4. Cf. Ps. 132. 9. Esa. 61. 10. Rom. 5. 16, 18.
[d] cap. 1. 19.
[e] Luc. 14. 15. Cf. Luc. 22. 30.
[f] ver. 7.
[g] cap. 21. 5; 22. 6.
[h] cap. 22. 8.
[i] cap. 22. 9. Act. 10. 26.
[k] Vid. cap. 12. 17.
[l] cap. 1. 2.
[m] Matt. 4. 10.
[n] cap. 11. 8, 10; 20. 4.
[o] Cf. cap. 11. 19. Vid. Joan. 1. 52.
[p] ver. 19, 21. cap. 6. 2.
[q] cap. 3. 7, 14.
[r] Cf. Esa. 11. 4. ver. 11.
[s] Vid. cap. 1. 14.
[t] cap. 12. 3; 13. 1.
[u] ver. 16. cap. 2. 17. Cf. Prov. 30. 4.
[x] Esa. 63. 2, 3.
[y] Vid. Joan. 1. 1.
[z] Cf. cap. 14. 20.
[aa] Vid. cap. 1. 16. Cf. ver. 21.
[b] Vid. cap. 2. 26, 27.
[c] cap. 14. 19, 20.
[d] Cf. cap. 14. 10.
[e] ver. 6.
[f] Vid. cap. 17. 14.
[g] ver. 21.
[h] Cf. cap. 8. 13.

[a] βύσσινον [b] **καθαρὸν καὶ λαμπρόν**[1]· τὸ γὰρ [a] βύσσινον
[c] τὰ δικαιώματά **ἐστι τῶν ἁγίων**[2].
Καὶ λέγει μοι, [d] "Γράψον, [e] Μακάριοι οἱ [e] εἰς τὸ 9
δεῖπνον [f] τοῦ γάμου τοῦ ἀρνίου κεκλημένοι." Καὶ λέ-
γει μοι, [g] "Οὗτοι οἱ λόγοι[3] ἀληθινοί **εἰσι τοῦ Θεοῦ**[4]."
Καὶ [h] **ἔπεσον**[5] ἔμπροσθεν τῶν ποδῶν αὐτοῦ προσκυνῆ- 10
σαι αὐτῷ· καὶ λέγει μοι, [i] "Ὅρα μή· σύνδουλός σου
εἰμὶ καὶ τῶν ἀδελφῶν σου [k] τῶν ἐχόντων [l] τὴν μαρτυ-
ρίαν **τοῦ**[6] Ἰησοῦ· [i m] τῷ Θεῷ προσκύνησον· ἡ γὰρ
μαρτυρία **τοῦ**[6] Ἰησοῦ ἐστὶ [n] τὸ πνεῦμα τῆς προφη-
τείας."
Καὶ εἶδον [o] τὸν οὐρανὸν **ἀνεῳγμένον**[7], καὶ ἰδοὺ ἵπ- 11 ΝΗʹ.
πος λευκός, καὶ [p] ὁ καθήμενος ἐπ' αὐτόν, **καλούμενος**
[q] **πιστὸς**[8] καὶ [q] ἀληθινός, καὶ ἐν [r] δικαιοσύνῃ κρίνει καὶ
πολεμεῖ· [s] οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ **ὡς**[9] φλὸξ πυρός, 12
καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ [t] διαδήματα πολλά· ἔχων
[u] ὄνομα γεγραμμένον ὃ οὐδεὶς οἶδεν[10] εἰ μὴ αὐτός· καὶ 13
[x] περιβεβλημένος ἱμάτιον **βεβαμμένον**[11] αἵματι· καὶ
καλεῖται[12] τὸ ὄνομα αὐτοῦ, [y] "Ὁ λόγος τοῦ Θεοῦ."
Καὶ τὰ στρατεύματα[13] ἐν τῷ οὐρανῷ ἠκολούθει αὐτῷ 14
[z] ἐφ' ἵπποις λευκοῖς, ἐνδεδυμένοι [a] **βύσσινον** [b] **λευκὸν**[14]
καὶ[15] καθαρόν. καὶ [aa] ἐκ τοῦ στόματος αὐτοῦ ἐκπο- 15
ρεύεται ῥομφαία ὀξεῖα, ἵνα [b] ἐν αὐτῇ **πατάσσῃ**[16] τὰ
ἔθνη· καὶ αὐτὸς [b] ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ·
καὶ [x] αὐτὸς πατεῖ [c] τὴν ληνὸν [d] τοῦ οἴνου τοῦ θυμοῦ **καὶ**[17]
τῆς ὀργῆς τοῦ Θεοῦ [e] τοῦ παντοκράτορος. καὶ ἔχει 16
ἐπὶ τὸ ἱμάτιον καὶ ἐπὶ τὸν μηρὸν αὐτοῦ [u] **τὸ**[18] ὄνομα
γεγραμμένον, [f] "Βασιλεὺς βασιλέων καὶ Κύριος κυ-
ρίων." Καὶ εἶδον ἕνα ἄγγελον ἑστῶτα ἐν τῷ ἡλίῳ· 17
καὶ ἔκραξε[19] φωνῇ μεγάλῃ, λέγων πᾶσι [g] τοῖς ὀρνέοις
[h] τοῖς **πετωμένοις**[20] ἐν μεσουρανήματι, "Δεῦτε **καὶ συνά-**

[1] λαμπρὸν καθαρόν LTTrWHR. [2] τῶν ἁγίων ἐστίν LTTrWHR. [3] +οἱ LWH *marg.* [4] τοῦ θεοῦ εἰσίν LTTrWHR. [5] ἔπεσα LTTrWH. [6] −τοῦ LTTrWHR. [7] ἠνεῳγμένον LTTrWH. [8] πιστὸς καλούμενος Tr, [καλούμενος] πιστὸς Tr *marg.*, πιστὸς [καλουμενος] WH, −καλούμενος R *marg.* [9] −ὡς TTrWH (*non marg.*) R. [10] εἶδεν B. [11] περιρεραμμένον T, ῥεραντισμένον WH, ῥεραντισμένον R (*non marg.*). [12] κέκληται LTTrWHR. [13] +τὰ BELWHR. [14] λευκοβύσσινον WH *marg.* [15] −καὶ LTWHR. [16] πατάξῃ LTTrWHR. [17] −καὶ LTTrWHR. [18] −τὸ LTTrWHR. [19] (ν)+ἐν T[WH]. [20] πετομένοις LTTrWHR.

18 **γεσθε**[1] [a]εἰς τὸ δεῖπνον **τοῦ μεγάλου**[2] Θεοῦ, [b]ἵνα φάγητε
σάρκας βασιλέων, καὶ σάρκας [ce]χιλιάρχων, καὶ σάρ-
κας [d]ἰσχυρῶν, καὶ σάρκας [d]ἵππων καὶ τῶν καθημένων
ἐπ' **αὐτῶν**[3], καὶ σάρκας πάντων, [e]ἐλευθέρων[4] καὶ [e]δού-
19 λων, καὶ [f]μικρῶν καὶ μεγάλων." Καὶ **εἶδον**[5] [g]τὸ
θηρίον, καὶ τοὺς βασιλεῖς τῆς γῆς, καὶ τὰ στρατεύ-
ματα **αὐτῶν**[6] [h]συνηγμένα ποιῆσαι[7] πόλεμον μετὰ
[i]τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, καὶ μετὰ τοῦ στρα-
ΝΘ'. 20 τεύματος αὐτοῦ. καὶ ἐπιάσθη τὸ θηρίον, καὶ **μετὰ**
τούτου [k]**ὁ**[8] ψευδοπροφήτης [l]ὁ ποιήσας τὰ σημεῖα [m]ἐνώ-
πιον αὐτοῦ, ἐν οἷς [m]ἐπλάνησε τοὺς λαβόντας τὸ [n]χά-
ραγμα τοῦ θηρίου, καὶ τοὺς [o]προσκυνοῦντας [p]τῇ εἰκόνι
αὐτοῦ· [q]ζῶντες ἐβλήθησαν οἱ δύο εἰς τὴν λίμνην [r]τοῦ
21 πυρὸς **τὴν καιομένην**[9] ἐν [s]**τῷ**[10] θείῳ. καὶ οἱ λοιποὶ
ἀπεκτάνθησαν ἐν τῇ ῥομφαίᾳ [i]τοῦ καθημένου ἐπὶ τοῦ
ἵππου, [t]τῇ **ἐκπορευομένῃ**[11] ἐκ τοῦ στόματος αὐτοῦ· καὶ
[u]πάντα τὰ ὄρνεα ἐχορτάσθησαν ἐκ τῶν σαρκῶν αὐτῶν.
Ξ'. 20 ΚΑΙ **εἶδον**[5] ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ,
ἔχοντα [x]τὴν **κλεῖδα**[12] [y]τῆς ἀβύσσου, καὶ ἅλυσιν μεγάλην
2 **ἐπὶ τὴν χεῖρα**[13] αὐτοῦ. καὶ ἐκράτησε [z]τὸν δράκοντα,
[a]**τὸν ὄφιν τὸν ἀρχαῖον**[14], [a]**ὅς**[15] ἐστι[16] διάβολος καὶ[17]
3 [ab]Σατανᾶς, καὶ [c]ἔδησεν αὐτὸν χίλια ἔτη, καὶ ἔβαλεν
αὐτὸν εἰς [y]τὴν ἄβυσσον, καὶ ἔκλεισεν **αὐτόν**[18], καὶ [d]ἐσ-
φράγισεν ἐπάνω αὐτοῦ, ἵνα μὴ [ae]πλανήσῃ **τὰ ἔθνη ἔτι**[19],
ἄχρι τελεσθῇ τὰ χίλια ἔτη· **καὶ**[20] μετὰ ταῦτα δεῖ **αὐτὸν**
ΞΑ'. 4 **λυθῆναι**[21] μικρὸν χρόνον. Καὶ **εἶδον**[5] [f]θρόνους, καὶ
ἐκάθισαν ἐπ' αὐτούς, καὶ [gh]κρίμα[22] ἐδόθη αὐτοῖς· καὶ
[i]τὰς ψυχὰς τῶν πεπελεκισμένων διὰ [kl]τὴν μαρτυρίαν
Ἰησοῦ, καὶ διὰ [k]τὸν λόγον τοῦ Θεοῦ, καὶ οἵτινες οὐ
[o]προσεκύνησαν **τῷ θηρίῳ**[23], **οὔτε**[24] [m]**τὴν εἰκόνα**[25] αὐτοῦ,

[1] *συνάχθητε* LTTrWHR. [2] *τὸ μέγα τοῦ* LTTrWHR. [3] *αὐτούς* LTrWH (*non marg.*) R. [4] +*τε* LTTrWHR. [5] *ἴδον* T. [6] *αὐτοῦ* L. [7] +*τὸν* LTTrWHR. [8] *μετ' αὐτοῦ ὁ* LTTrWH *marg.*, *μετ' αὐτοῦ ὁ* WH *text.* R. [9] *τῆς καιομένης* LTTrWHR. [10] −*τῷ* LTTrWHR. [11] *ἐξελθούσῃ* LTTrWHR. [12] *κλεῖν* LTTrWHR. [13] *ἐν τῇ χειρὶ* Tr *marg.* [14] *ὁ ὄφις ὁ ἀρχαῖος* LTTr (*non marg.*) WH (*non marg.*). [15] *ὅ* T. [16] (-ν) +*ὁ* T. [17] +*ὁ* LTTrWHR. [18] −*αὐτόν* LTTrWHR. [19] *ἔτι τὰ ἔθνη* LTTrWHR. [20] −*καὶ* LTTrWHR. [21] *λυθῆναι αὐτὸν* LTrWHR. [22] *κρῖμα* SBEL. [23] *τὸ θηρίον* LTTrWHR. [24] *οὐδὲ* LTTrWHR. [25] *τῇ εἰκόνι* E.

[a] Esa. 34. 6. Jer. 46. 10. Ezek. 39. 19.
[b] Jer. 12. 9. Ezek. 39. 17, 18. Cf. 1 Sam. 17. 44. cap. 17. 16.
[c] Marc. 6. 21.
[d] Ezek. 39. 20.
[e] cap. 6. 15.
[f] ver. 5. Vid. cap. 11. 18.
[g] Vid. cap. 11. 7.
[h] cap. 16. 14; 20. 8. Cf. cap. 17. 14.
[i] ver. 11, 21.
[k] cap. 16. 13; 20. 10.
[l] cap. 13. 13. Vid. Matt. 24. 24.
[m] cap. 13. 14.
[n] cap. 13. 16.
[o] cap. 20. 4. Vid. cap. 13. 12.
[p] Vid. cap. 13. 14.
[q] cap. 20. 10, 14, 15. Cf. Dan. 7. 11. cap. 21. 8.
[r] Vid. 2 Thess. 1. 8.
[s] Vid. cap. 9. 17.
[t] ver. 15.
[u] ver. 17.
[x] Vid. cap. 9. 1. Cf. cap. 1. 18.
[y] Luc. 8. 31.
[z] Vid. cap. 12. 3.
[a] cap. 12. 9.
[b] ver. 7. Vid. 1 Cor. 5. 5.
[c] 2 Pet. 2. 4. Jud. 6.
[d] Dan. 6. 17. Cf. Matt. 27. 66.
[e] ver. 8, 10.

[f] Dan. 7. 9. cap. 4. 2. [g] Cf. cap. 2. 26; 3. 21. [h] Dan. 7. 22. Cf. 1 Cor. 6. 2, 3.
[i] cap. 6. 9. [k] cap. 1. 2. [l] cap. 11. 3, 10; 19. 10. [m] Vid. cap. 13. 15.

καὶ οὐκ ἔλαβον [a]τὸ χάραγμα [a]ἐπὶ τὸ μέτωπον αὐτῶν[1],
καὶ ἐπὶ τὴν χεῖρα αὐτῶν· [b]καὶ ἔζησαν, [bc]καὶ ἐβασίλευ-
σαν μετὰ [2]Χριστοῦ τὰ[3] χίλια ἔτη· [4]οἱ δὲ[5] λοιποὶ 5 ΞΒ′.
τῶν νεκρῶν οὐκ ἀνέζησαν ἕως[6] τελεσθῇ τὰ χίλια ἔτη.
[d]αὕτη ἡ ἀνάστασις ἡ πρώτη. [e]Μακάριος καὶ ἅγιος ὁ 6
ἔχων μέρος ἐν τῇ ἀναστάσει τῇ πρώτῃ· ἐπὶ τούτων
[f]ὁ θάνατος ὁ δεύτερος[7] οὐκ ἔχει ἐξουσίαν, ἀλλ᾽[8] ἔσονται
[g]ἱερεῖς τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ, καὶ [c]βασιλεύσουσι
μετ᾽ αὐτοῦ[9] χίλια ἔτη.

Καὶ ὅταν τελεσθῇ τὰ χίλια ἔτη, λυθήσεται ὁ 7 ΞΓ′.
[h]Σατανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ, καὶ ἐξελεύσεται 8
[i]πλανῆσαι τὰ ἔθνη τὰ ἐν [k]ταῖς τέσσαρσι γωνίαις τῆς
γῆς, τὸν [lm]Γὼγ καὶ τὸν[10] [ln]Μαγώγ, [o]συναγαγεῖν αὐτοὺς
εἰς[11] πόλεμον, [p]ὧν ὁ ἀριθμὸς[12] ὡς ἡ ἄμμος τῆς θα-
λάσσης. καὶ [q]ἀνέβησαν ἐπὶ [r]τὸ πλάτος τῆς γῆς, καὶ 9
ἐκύκλωσαν[13] [s]τὴν παρεμβολὴν τῶν ἁγίων, καὶ [t]τὴν
πόλιν τὴν ἠγαπημένην· καὶ [u]κατέβη πῦρ ἀπὸ τοῦ
Θεοῦ[14] ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτούς· καὶ [x]ὁ 10
διάβολος [i]ὁ πλανῶν αὐτοὺς [y]ἐβλήθη εἰς τὴν λίμνην
[za]τοῦ πυρὸς καὶ[15] [zb]θείου, ὅπου[16] τὸ θηρίον καὶ [c]ὁ ψευδο-
προφήτης· καὶ βασανισθήσονται [d]ἡμέρας καὶ νυκτὸς
εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ εἶδον [e]θρόνον λευκὸν μέγαν[17], καὶ [e]τὸν καθήμενον 11 ΞΔ′.
ἐπ᾽[18] αὐτοῦ[19], οὗ ἀπὸ[20] προσώπου [f]ἔφυγεν ἡ γῆ καὶ ὁ
οὐρανός, καὶ [g]τόπος οὐχ εὑρέθη αὐτοῖς. καὶ εἶδον 12
τοὺς νεκρούς, [h]μικροὺς καὶ μεγάλους[21], ἑστῶτας ἐνώπιον
τοῦ Θεοῦ[22], καὶ [i]βιβλία ἠνεῴχθησαν[23]· καὶ βιβλίον
ἄλλο ἠνεῴχθη[24], [k]ὅ ἐστι τῆς ζωῆς· καὶ [l]ἐκρίθησαν οἱ
νεκροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις, [m]κατὰ
τὰ ἔργα αὐτῶν. καὶ ἔδωκεν ἡ θάλασσα τοὺς ἐν αὐτῇ 13

[1] —αὐτῶν LTTrWHR. [2] +τοῦ ELTTrWHR. [3] —τὰ LTTrWHR. [4] +καὶ TrWH *marg.* [5] —δὲ LTTrWHR. [6] ἔζησαν ἄχρι LTTrWHR. [7] δεύτερος θάνατος LTTrWHR. [8] ἀλλὰ TTr. [9] +τὰ TTr[WH]R *marg.* [10] —τὸν LT[Tr]WHR. [11] +τὸν LTTrWHR. [12] +αὐτῶν LTTrWHR. [13] ἐκύκλευσαν LTWHR. [14] —ἀπὸ τοῦ Θεοῦ LTWH (*non marg.*) R (*non marg.*). [15] +τοῦ TWH *marg.* [16] +καὶ LTTr ([καὶ] Tr *marg.*) WHR. [17] μέγαν λευκόν LTTrWHR. [18] ἐπάνω Tr (*non marg.*). [19] αὐτόν TWH *marg.* [20] +τοῦ LTTrWHR. [21] τοὺς μεγάλους καὶ τοὺς μικρούς LTTrWHR. [22] θρόνου LTTrWHR. [23] ἠνοίχθησαν LTTrWHR. [24] ἄλλο βιβλίον ἠνοίχθη LTTrWHR.

[a] Vid. cap. 13. 16 (var. lect.).
[b] Vid. Luc. 14. 14.
[c] ver. 6. Dan. 7. 18, 27. 2 Tim. 2. 12. cap. 22. 5. Cf. Ps. 45. 16.
[d] Vid. 1 Thess. 4. 16.
[e] Cf. cap. 14. 13.
[f] ver. 14. cap. 2. 10; 21. 8.
[g] cap. 1. 6.
[h] ver. 2.
[i] ver. 3, 10.
[k] cap. 7. 1.
[l] Ezek. 38. 2.
[m] Ezek. 39. 1.
[n] Gen. 10. 2.
[o] cap. 16. 14; 19. 19.
[p] Vid. Heb. 11. 12.
[q] Cf. Esa. 8. 8. Ezek. 38. 9, 16.
[r] Hab. 1. 6.
[s] Heb. 13. 11, 13.
[t] Ecclus. 24. 11 (var. lect.). Cf. Ps. 132. 13.
[u] Vid. cap. 13. 13.
[x] ver. 2.
[y] ver. 14, 15. Vid. cap. 19. 20.
[z] cap. 14. 10.
[a] ver. 14, 15. Vid. 2 Thess. 1. 8.
[b] Vid. cap. 9. 17.
[c] cap. 16. 13; 19. 20.
[d] Vid. cap. 4. 8.
[e] cap. 21. 5. Vid. cap. 4. 2.
[f] cap. 6. 14; 21. 1, 4. 2 Pet. 3. 10. Vid. Heb. 12. 27.
[g] Dan. 2. 35.
[h] Vid. Act. 8. 10 & cap. 11. 18.
[i] Dan. 7. 10. cap. 2. 23.
[k] ver. 15. Vid. cap. 3. 5. [l] cap. 11. 18. [m] ver. 13. Vid.

νεκρούς[1], καὶ [a]ὁ θάνατος καὶ ὁ ᾅδης **ἔδωκαν**[2] τοὺς **ἐν**
αὐτοῖς νεκρούς[3]· καὶ ἐκρίθησαν ἕκαστος [b]κατὰ τὰ
14 ἔργα αὐτῶν. καὶ [a c]ὁ θάνατος καὶ ὁ ᾅδης [d]ἐβλήθη-
σαν εἰς τὴν λίμνην τοῦ πυρός· οὗτός **ἐστιν** [e]**ὁ δεύτερος**
15 **θάνατος**[4]. καὶ εἴ τις οὐχ εὑρέθη ἐν [f]τῇ βίβλῳ τῆς
ζωῆς γεγραμμένος, [d]ἐβλήθη εἰς τὴν λίμνην τοῦ
πυρός.

ΞΕ'. 21 ΚΑΙ εἶδον οὐρανὸν [g]καινὸν καὶ γῆν καινήν· [h]ὁ γὰρ
πρῶτος οὐρανὸς καὶ ἡ πρώτη γῆ [g]**παρῆλθε**[5], καὶ ἡ
2 θάλασσα οὐκ ἔστιν ἔτι. Καὶ **ἐγὼ Ἰωάννης**[6] **εἶδον**[7]
[i]τὴν πόλιν τὴν ἁγίαν, [k]Ἱερουσαλὴμ[8] καινήν, [l]καταβαί-
νουσαν **ἀπὸ τοῦ Θεοῦ ἐκ τοῦ οὐρανοῦ**[9], [m]ἡτοιμασμένην
3 ὡς [n]νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς. καὶ ἤκου-
σα φωνῆς μεγάλης ἐκ τοῦ **οὐρανοῦ**[10], λεγούσης, "Ἰδοὺ
[o]ἡ σκηνὴ τοῦ Θεοῦ μετὰ τῶν ἀνθρώπων, καὶ [p]σκηνώσει
μετ' αὐτῶν· [o]καὶ αὐτοὶ **λαοὶ**[11] αὐτοῦ ἔσονται, καὶ αὐ-
4 τὸς ὁ Θεὸς **ἔσται μετ' αὐτῶν**[12], **Θεὸς αὐτῶν**[13]. καὶ [q]ἐξα-
λείψει **ὁ Θεὸς**[14] πᾶν δάκρυον **ἀπὸ**[15] τῶν ὀφθαλμῶν
αὐτῶν, καὶ [a]ὁ[16] θάνατος οὐκ ἔσται ἔτι· [r]οὔτε πένθος,
οὔτε κραυγή, οὔτε πόνος οὐκ ἔσται ἔτι· [h]**ὅτι**[17] τὰ
Ξϛ'. 5 πρῶτα **ἀπῆλθον**[18]." Καὶ εἶπεν [s]ὁ καθήμενος ἐπὶ **τοῦ
θρόνου**[19], [t]"Ἰδού, καινὰ **πάντα ποιῶ**[20]." Καὶ λέγει
μοι[21], [u]"Γράψον·[22] ὅτι [x]οὗτοι οἱ λόγοι **ἀληθινοὶ καὶ**
6 **πιστοί**[23] εἰσι." Καὶ εἶπέ μοι, [y]"**Γέγονε**[24]. [z]ἐγώ **εἰμι**[25]
τὸ **Α**[26] καὶ τὸ Ω, [z]ἡ ἀρχὴ καὶ τὸ τέλος. ἐγὼ τῷ
διψῶντι δώσω[27] ἐκ τῆς πηγῆς [a]τοῦ ὕδατος τῆς ζωῆς
7 [b]δωρεάν. [c]ὁ νικῶν [d]κληρονομήσει **πάντα**[28], [e]καὶ ἔσομαι
8 αὐτῷ Θεός, καὶ αὐτὸς ἔσται μοι [e]ὁ[29] υἱός. [f]**δειλοῖς δὲ**[30]

[a] ver. 14. Vid. cap. 1. 18.
[b] ver. 12.
[c] Cf. 1 Cor. 15. 26, 54.
[d] ver. 10, 15. cap. 21. 4.
[e] ver. 6.
[f] ver. 12.
[g] 2 Pet. 3. 13.
[h] ver. 4. cap. 20. 11. Vid. cap. 6. 14.
[i] Esa. 52. 1. cap. 11. 2; 22. 19.
[k] ver. 10. Vid. cap. 3. 12.
[l] ver. 10. Cf. Heb. 11. 10. cap. 10. 1.
[m] Esa. 61. 10. cap. 19. 7.
[n] ver. 9. cap. 22. 17. Vid. Matt. 25. 1.
[o] Lev. 26. 11, 12. Jer. 24. 7; 30. 22; 31. 33; 32. 38. Ezek. 37. 26, 27. Zech. 8. 8. Cf. ver. 7. 2 Cor. 6. 16.
[p] Joan. 1. 14. Vid. cap. 7. 15. Cf. Ezek. 48. 35. cap. 22. 3.
[q] Esa. 25. 8. cap. 7. 17.
[r] Esa. 35. 10; 51. 11; 65. 19.
[s] cap. 20. 11. Vid. cap. 4. 2.
[t] 2 Cor. 5. 17.
[u] cap. 1. 19; 19. 9.
[x] cap. 22. 6. Cf. cap. 19. 9.
[y] cap. 16. 17. Cf. cap. 10. 6.

[1] *νεκροὺς τοὺς ἐν αὐτῇ* LTTrWHR. [2] *ἔδωκεν* L. [3] *νεκροὺς τοὺς ἐν αὐτοῖς* LTTrWHR. [4] *ὁ θάνατος ὁ δεύτερός (ὁ δεύτερος θάνατός* Tr) *ἐστιν, ἡ λίμνη τοῦ πυρός* LTTrWHR. [5] *ἀπῆλθαν* LTTrWH, *ἀπῆλθον* R. [6] —*ἐγὼ Ἰωάννης* LTTrWHR. [7] *εἶδον* *transferunt* LTTrWHR *in locum post καινήν*. [8] *Ἰερουσαλὴμ* WH, *Ἰερουσαλήμ, καινὴν εἶδον* R *marg*. [9] *ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ* LTTrWHR. [10] *θρόνου* LTWHR. [11] *λαὸς* WH *marg*. [12] *μετ' αὐτῶν ἔσται* LTrWHR. [13] *αὐτῶν θεός* LWH *marg*., —*θεὸς αὐτῶν* TTrWH *text*. R *marg*. [14] —*ὁ Θεὸς* TTrWHR. [15] *ἐκ* LTTrWH (*non marg*.) R. [16] —*ὁ* T. [17] —*ὅτι* L[Tr]WHR: *at ἔτι, ὅτι τὰ* WH *marg*. [18] *ἀπῆλθαν* LTTrWH *text*., *ἀπῆλθεν* WH *marg*. [19] *τῷ θρόνῳ* LTTrWHR. [20] *ποιῶ πάντα* LTTrWHR. [21] —*μοι* LT[Tr]WH (*non marg*.) R. [22] *Γράψον ὅτι Οὗτοι* R *marg*. [23] *πιστοὶ καὶ ἀληθινοί* LTTrWHR. [24] *Γέγοναν* LTTrWHR. [25] —*εἰμι* TWHR. [26] *ἄλφα* (*at ὦ*) LTTrWH. [27] +*αὐτῷ* T. [28] *ταῦτα* LTTrWHR. [29] —*ὁ* LTTrWHR. [30] *τοῖς δὲ δειλοῖς* LTTrWHR.

[z] cap. 1. 8; 22. 13 (var. lect.). Cf. cap. 3. 14. Joan. 1. 1. [a] cap. 22. 17. Cf. cap. 22. 2. Vid. Joan. 4. 10. [b] Vid. Matt. 10. 8. [c] Vid. cap. 2. 7. [d] Vid. Matt. 25. 34. [e] Vid. 2 Cor. 6. 18. [f] Vid. 2 Tim. 1. 7.

καὶ [a]ἀπίστοις καὶ [b]ἐβδελυγμένοις καὶ [cd]φονεῦσι καὶ
[de]πόρνοις καὶ [df]**φαρμακεῦσι**[1] καὶ [f]εἰδωλολάτραις, καὶ
πᾶσι [fg]τοῖς **ψευδέσι**[2], τὸ μέρος αὐτῶν [h]ἐν τῇ λίμνῃ τῇ
καιομένῃ [i]πυρὶ καὶ [k]θείῳ, [l]ὅ ἐστι **δεύτερος θάνατος**[3]."
Καὶ ἦλθε **πρός με**[4] [m]εἷς[5] τῶν ἑπτὰ ἀγγέλων τῶν 9 ΞΖ'.
ἐχόντων τὰς ἑπτὰ φιάλας [n]**τὰς γεμούσας**[6] [o]τῶν ἑπτὰ
πληγῶν τῶν ἐσχάτων, καὶ ἐλάλησε μετ' ἐμοῦ, λέγων,
"Δεῦρο, δείξω σοι [p]τὴν νύμφην **τοῦ ἀρνίου τὴν γυναῖ-
κα**[7]." Καὶ [q]ἀπήνεγκέ με ἐν πνεύματι **ἐπ'**[8] ὄρος μέγα 10
καὶ ὑψηλόν, καὶ ἔδειξέ μοι τὴν πόλιν **τὴν μεγάλην**[9],
[pr]τὴν ἁγίαν Ἱερουσαλήμ[10], [p]καταβαίνουσαν ἐκ τοῦ οὐ-
ρανοῦ ἀπὸ τοῦ Θεοῦ, [s]ἔχουσαν τὴν δόξαν τοῦ Θεοῦ· 11
καὶ[11] [t]ὁ φωστὴρ αὐτῆς ὅμοιος [u]λίθῳ τιμιωτάτῳ, ὡς
λίθῳ [x]ἰάσπιδι [y]κρυσταλλίζοντι· **ἔχουσάν τε**[12] τεῖχος 12
μέγα καὶ ὑψηλόν, [z]**ἔχουσαν**[13] [a]πυλῶνας δώδεκα, **καὶ ἐπὶ
τοῖς πυλῶσιν**[14] **ἀγγέλους δώδεκα**[15], καὶ ὀνόματα [b]ἐπιγε-
γραμμένα, [z]**ἅ ἐστι**[16] τῶν δώδεκα φυλῶν **τῶν**[17] υἱῶν
Ἰσραήλ. [z]**Ἀπ'**[18] ἀνατολῆς, [a]πυλῶνες τρεῖς· [19]ἀπὸ 13
βορρᾶ, [a]πυλῶνες τρεῖς· [19]ἀπὸ νότου, [a]πυλῶνες τρεῖς·
[19]ἀπὸ δυσμῶν, [a]πυλῶνες τρεῖς. καὶ τὸ τεῖχος τῆς 14
πόλεως [b]**ἔχον**[20] [c]θεμελίους δώδεκα, καὶ **ἐν αὐτοῖς**[21] ὀνό-
ματα τῶν δώδεκα ἀποστόλων τοῦ ἀρνίου. Καὶ ὁ 15
λαλῶν μετ' ἐμοῦ εἶχε[22] [d]κάλαμον χρυσοῦν, ἵνα με-
τρήσῃ τὴν πόλιν, καὶ τοὺς [a]πυλῶνας αὐτῆς, καὶ τὸ
τεῖχος αὐτῆς. καὶ ἡ πόλις τετράγωνος κεῖται, καὶ 16
τὸ μῆκος αὐτῆς **τοσοῦτόν ἐστιν**[23] ὅσον **καὶ**[24] τὸ πλάτος.
καὶ ἐμέτρησε τὴν πόλιν [d]τῷ καλάμῳ ἐπὶ **σταδίων**[25]
δώδεκα χιλιάδων· τὸ μῆκος καὶ τὸ πλάτος καὶ τὸ

[1] φαρμακοῖς LTTrWHR. [2] ψεύσταις L. [3] (ν) ὁ θάνατος ὁ δεύτερος LTTrWHR. [4] (ν) —πρός με LTTrWHR. [5] +ἐκ LTTrWHR. [6] τῶν γεμόντων LTTrWHR. [7] τὴν γυναῖκα τοῦ ἀρνίου LTTrWHR. [8] ἐπὶ LTTrWH. [9] —τὴν μεγάλην LTTrWHR. [10] Ἰερουσαλὴμ WH. [11] —καὶ LTTrWHR. [12] ἔχουσα LTTrWHR. [13] ἔχουσα LTTrWHR. [14] τοὺς πυλῶνας Tr (*non marg.*). [15] —καὶ ἐπὶ τοῖς πυλῶσιν ἀγγέλους δώδεκα L. [16] ἐστιν τὰ ὀνόματα L[Tr]. [17] —τῶν LTTrWHR. [18] ἀπὸ LTTrWH. [19] +καὶ LTTrWHR. [20] ἔχων TTrWHR. [21] ἐπ' αὐτῶν δώδεκα LTTrWHR. [22] +μέτρον LTTrWHR. [23] —τοσοῦτόν ἐστιν LTTrWHR, *at* τοσοῦτόν ἐστι E. [24] —καὶ TTrWHR. [25] σταδίους ELTrWH *marg.*

[a] Luc. 12. 46. [b] Ose. 9. 10 (Septuagint.). Cf. ver. 27. cap. 17. 4. [c] 1 Joan. 3. 15. [d] cap. 9. 21; 22. 15. [e] Vid. 1 Cor. 6. 9. [f] cap. 22. 15. [g] Ps. 4. 2; 5. 6 (Septuagint.). Vid. 1 Tim. 1. 10. [h] Vid. cap. 19. 20. [i] Vid. 1 Thess. 1. 8. [k] Vid. cap. 9. 17. [l] cap. 2. 11; 20. 6, 14. [m] cap. 17. 1. [n] Gen. 37. 25 (Septuagint.). cap. 15. 7. [o] Vid. cap. 15. 1. [p] ver. 2. [q] Ezek. 43. 5. cap. 17. 3. [r] Cf. cap. 3. 12. [s] ver. 23. Ps. 84. 11. Ezek. 43. 2, 4. Cf. cap. 22. 5. [t] Phil. 2. 15. [u] ver. 19. Vid. cap. 17. 4. [x] ver. 18, 19. Vid. cap. 4. 3. [y] cap. 4. 6; 22. 1. [z] Ezek. 48. 31–34. [a] ver. 15, 21, 25. cap. 22. 14. Vid. Matt. 26. 71. [b] Marc. 15. 26. Act. 17. 23. [c] 1 Cor. 3. 10. 2 Tim. 2. 19. Heb. 11. 10. Cf. Eph. 2. 20. [d] ver. 16. Vid. cap. 11. 1.

17 ὕψος αὐτῆς ἴσα ἐστί. καὶ ἐμέτρησε [a]τὸ τεῖχος αὐτῆς
ἑκατὸν **τεσσαράκοντα**[1] τεσσάρων[2] πηχῶν, [b]μέτρον ἀν-
18 θρώπου, [c]ὅ ἐστιν ἀγγέλου. Καὶ ἦν[3] ἡ **ἐνδόμησις**[4]
τοῦ τείχους αὐτῆς, [d]ἴασπις· καὶ ἡ πόλις [e]χρυσίον
19 καθαρόν, **ὁμοία**[5] [e]ὑάλῳ καθαρῷ. **καὶ**[6] [f]οἱ θεμέλιοι
τοῦ τείχους τῆς πόλεως παντὶ [g]λίθῳ τιμίῳ κεκοσμη-
μένοι. ὁ θεμέλιος ὁ πρῶτος, [d h]ἴασπις· ὁ δεύτερος,
[f i]σάπφειρος· ὁ τρίτος, **χαλκηδών**[7]· ὁ τέταρτος, [h]σμά-
20 ραγδος· ὁ πέμπτος, [k]**σαρδόνυξ**[8]· ὁ ἕκτος, [k]**σάρδιος**[9]·
ὁ ἕβδομος, [l]χρυσόλιθος· ὁ ὄγδοος, [m]βήρυλλος· ὁ **ἔνα-
τος**[10], [n]τοπάζιον· ὁ δέκατος, **χρυσόπρασος**[11]· ὁ ἑνδέκα-
21 τος, [o]ὑάκινθος· ὁ δωδέκατος, [p]ἀμέθυστος. καὶ οἱ
δώδεκα [q]πυλῶνες, δώδεκα μαργαρίται[12]· ἀνὰ εἷς
ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς [r]μαργαρίτου· καὶ
[s]ἡ πλατεῖα τῆς πόλεως, [e]χρυσίον καθαρόν, ὡς [e]ὕαλος
22 **διαφανής**[13]. Καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ· [t]ὁ γὰρ
Κύριος ὁ Θεὸς [u]ὁ παντοκράτωρ[14] ναὸς αὐτῆς ἐστι,
23 καὶ τὸ ἀρνίον. καὶ [x]ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου,
οὐδὲ τῆς σελήνης, ἵνα φαίνωσιν **ἐν**[15] αὐτῇ· [y]ἡ γὰρ
δόξα τοῦ Θεοῦ ἐφώτισεν αὐτήν, καὶ ὁ λύχνος αὐτῆς[16]
24 τὸ ἀρνίον. καὶ [z]**τὰ ἔθνη τῶν σωζομένων ἐν τῷ φωτὶ
αὐτῆς περιπατήσουσι**[17]· καὶ [z]οἱ βασιλεῖς τῆς γῆς
[a]φέρουσι [b]τὴν δόξαν **καὶ** [b]**τὴν τιμὴν**[18] αὐτῶν εἰς αὐτήν.
25 καὶ οἱ πυλῶνες αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας· [x]νὺξ
26 γὰρ οὐκ ἔσται ἐκεῖ. καὶ [a]οἴσουσι [b]τὴν δόξαν καὶ [b]τὴν
27 τιμὴν τῶν ἐθνῶν εἰς αὐτήν. Καὶ [c]οὐ μὴ εἰσέλθῃ εἰς
αὐτὴν πᾶν [d]**κοινοῦν**[19], καὶ **ποιοῦν**[20] [e]βδέλυγμα, καὶ [e]ψεῦ-
δος· εἰ μὴ οἱ γεγραμμένοι ἐν [f]τῷ βιβλίῳ τῆς ζωῆς
ΞΗ'.22 τοῦ ἀρνίου. Καὶ ἔδειξέ μοι [g]**καθαρὸν**[21] ποταμὸν [h]ὕδα-
τος ζωῆς, λαμπρὸν ὡς [i]κρύσταλλον, [g]ἐκπορευόμενον

[1] *τεσσεράκοντα* LTWH. [2] *τεσσαρακοντατεσσάρων* BE. [3] —*ἦν* LTWHR. [4] *ἐνδώμησις* TTrWHR. [5] *ὅμοιον* LTTrWHR. [6] —*καὶ* LTWHR. [7] *χαλκεδών* T *errore*. [8] *σαρδιόνυξ* L. [9] *σάρδιον* LTTrWHR. [10] *ἔννατος* BE. [11] *χρυσόπρασον* L. [12] *μαργαρῖται* LTWH. [13] *διαυγής* LTTrWHR. [14] +*ὁ* L. [15] —*ἐν* LTTrWHR. [16] *καί, ὁ λύχνος αὐτῆς*, R *marg*. [17] *περιπατήσουσιν τὰ ἔθνη διὰ τοῦ φωτος αὐτῆς* (—*τῶν σωζομένων*) LTTrWHR. [18] —*καὶ τὴν τιμὴν* LTTrWHR. [19] *κοινὸν* LTTrWHR. [20] (+*ὁ* TTrWH) *ποιῶν* LTTrWHR. [21] —*καθαρὸν* LTTrWHR.

[a] ver. 12, 14, 15. [b] Deut. 3. 11. Cf. cap. 13. 18. [c] ver. 9. [d] ver. 11, 19. [e] ver. 21. Cf. cap. 4. 6; 15. 2. [f] Cf. Esa. 54. 11, 12. [g] ver. 11. [h] Vid. cap. 4. 3. [i] Ex. 24. 10; 28. 18; 39. 11. Job 28. 6, 16. Cant. 5. 14. Lam. 4. 7. Ezek. 1. 26; 10. 1; 28. 13. [k] Cf. Ex. 39. 13. Ezek. 28. 13. [l] (Septuagint.) Ex. 28. 20; 39. 13; (36. 20). [m] Ex. 28. 20; 39. 13. Cant. 5. 14. Ezek. 1. 16; 10. 9; 28. 13. Dan. 10. 6. [n] Ex. 28. 17; 39. 10. Job 28. 19. Ezek. 28. 13. [o] Vid. cap. 9. 17. [p] Ex. 28. 19; 39. 12. [q] ver. 12, 25. [r] Vid. cap. 17. 4. [s] cap. 22. 2. [t] Vid. cap. 4. 8. [u] Vid. 2 Cor. 6. 18. [x] Esa. 60. 19, 20. cap. 22. 5. Cf. ver. 23. Zech. 14. 7. [y] Vid. ver. 11. [z] Esa. 60. 3. Cf. cap. 22. 2. [a] Esa. 60. 11. [b] ver. 26. Vid. cap. 4. 9. [c] Esa. 35. 8; 52. 1. Joel 3. 17. Zech. 14. 21. cap. 22. 14, 15. Cf. cap. 18. 4, 5. Vid. 2 Pet. 3. 13. [d] Vid. Marc. 7. 2. [e] Vid. ver. 8. [f] cap. 22. 2, 14, 19. Vid. cap. 3. 5. [g] Ezek. 47. 1. Zech. 14. 8. [h] ver. 17. cap. 21. 6. Cf. Ps. 36. 8. Joan. 4. 10. [i] cap. 4. 6; 21. 11.

ἐκ τοῦ θρόνου τοῦ Θεοῦ καὶ τοῦ ἀρνίου. [a]ἐν μέσῳ [b]τῆς 2
πλατείας αὐτῆς,[1] καὶ τοῦ ποταμοῦ, ἐντεῦθεν καὶ ἐντεῦ-
θεν[2], [c]ξύλον ζωῆς, ποιοῦν[3] καρποὺς δώδεκα, κατὰ μῆνα[4]
ἕνα[5] ἕκαστον ἀποδιδοῦν[6] τὸν καρπὸν αὐτοῦ· καὶ τὰ
φύλλα τοῦ ξύλου [d]εἰς θεραπείαν τῶν ἐθνῶν. Καὶ 3
[e]πᾶν κατανάθεμα[7] οὐκ ἔσται ἔτι· καὶ [f]ὁ θρόνος τοῦ
Θεοῦ καὶ τοῦ ἀρνίου ἐν αὐτῇ ἔσται· καὶ [g]οἱ δοῦλοι
αὐτοῦ λατρεύσουσιν αὐτῷ· καὶ [h]ὄψονται [i]τὸ πρόσωπον 4
αὐτοῦ, καὶ [k]τὸ ὄνομα αὐτοῦ [l]ἐπὶ τῶν μετώπων αὐτῶν.
καὶ [m]νὺξ οὐκ ἔσται ἐκεῖ[8], καὶ [n]χρείαν οὐκ ἔχουσι[9, 10] λύχ- 5
νου καὶ φωτὸς[11] ἡλίου, [o]ὅτι Κύριος ὁ Θεὸς φωτίζει[12]
αὐτούς· καὶ [p q]βασιλεύσουσιν [q]εἰς τοὺς αἰῶνας τῶν
αἰώνων.

ΚΑΙ εἶπέ μοι, [r]"Οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀλη- 6 ΞΘʹ.
θινοί· καὶ[13] Κύριος ὁ Θεὸς τῶν ἁγίων[14] προφητῶν[15]
ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ [s]δεῖξαι τοῖς δούλοις
αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει. [t][16]Ἰδοὺ ἔρχομαι ταχύ. 7 Οʹ.
[u][17]μακάριος ὁ τηρῶν [a]τοὺς λόγους τῆς προφητείας τοῦ
βιβλίου τούτου." Καὶ ἐγὼ[18] [x]Ἰωάννης ὁ βλέπων ταῦτα 8
καὶ ἀκούων[19]· καὶ ὅτε ἤκουσα καὶ ἔβλεψα[20], [y]ἔπεσα[21]
προσκυνῆσαι ἔμπροσθεν τῶν ποδῶν τοῦ ἀγγέλου τοῦ
δεικνύοντός[22] μοι ταῦτα. καὶ λέγει μοι, [y]"Ὅρα μή· 9
[y]σύνδουλός σου γάρ[23] εἰμι, καὶ τῶν ἀδελφῶν σου τῶν
προφητῶν, καὶ τῶν τηρούντων τοὺς λόγους τοῦ
βιβλίου τούτου· [y]τῷ Θεῷ προσκύνησον." Καὶ λέγει 10 ΟΑʹ.
μοι, [z]"Μὴ σφραγίσῃς [a]τοὺς λόγους τῆς προφητείας
τοῦ βιβλίου τούτου· ὅτι[24] ὁ καιρὸς[25] ἐγγύς ἐστιν. [b]ὁ 11
ἀδικῶν ἀδικησάτω ἔτι· καὶ [c b]ὁ ῥυπῶν[26] ῥυπωσάτω[27] ἔτι·

[a] Ezek. 47. 12.
[b] cap. 21. 21.
[c] ver. 14, 19 (var. lect.) Cf. cap. 21. 6. Vid. cap. 2. 7.
[d] Cf. cap. 21. 24.
[e] Cf. Gen. 3. 17. Zech. 14. 11.
[f] Cf. cap. 21. 3.
[g] cap. 7. 15.
[h] Matt. 5. 8. Vid. 1 Joan. 3. 2.
[i] Vid. 1 Cor. 13. 12.
[k] Vid. cap. 3. 12.
[l] cap. 7. 3; 14. 1.
[m] cap. 21. 25.
[n] cap. 21. 23.
[o] Ps. 36. 9. Cf. cap. 21. 11.
[p] Rom. 5. 17. 2 Tim. 2. 12. cap. 1. 6; 20. 4.
[q] Dan. 7. 18.
[r] cap. 19. 9; 21. 5 (var. lect.).
[s] cap. 1. 1.
[t] ver. 12, 20. cap. 2. 16; 3. 11. Cf. cap. 2. 25.
[u] cap. 1. 3.
[x] cap. 1. 1, 4, 9.
[y] cap. 19. 10.
[z] Cf. cap. 10. 4.
[a] ver. 7. Vid. cap. 1. 3.
[b] Ezek. 3. 27. Cf. Dan. 12. 10. 2 Tim. 3. 13.
[c] Jac. 1. 21.

[1] καὶ τοῦ ἀρνίου ἐν μέσῳ τῆς πλατείας αὐτῆς· WH, *at* καὶ τοῦ ἀρνίου, ἐν μέσῳ τῆς πλατείας αὐτῆς. R *text*. (*non marg.*). [2] ἐκεῖθεν LTTr WHR. [3] ποιῶν TWH *marg.* [4] μῆναν L. [5] —ἕνα LTTr WHR. [6] ἀποδιδοὺς TTrWH *marg.* [7] κατάθεμα LTTrWHR. [8] ἔτι LTTrWHR. [9] οὐκ ἔχουσιν (οὐχ ἕξουσιν L) χρείαν LTTrWH. [10] +φωτὸς LTTrWHR. [11] φῶς WH. [12] φωτίσει (φωτιεῖ TTr) ἐπ' ([ἐπ'] WH) LTTrWHR. [13] +ὁ LTTrWH (*non marg.*). [14] πνευμάτων τῶν LTTrWHR. [15] Κύριος,...προφητῶν, WHR. [16] +καὶ LTTrWHR. [17] +ἔρχομαι ταχύ. L, *errore, ut videtur.* [18] κἀγὼ LTTrWH. [19] ἀκούων καὶ βλέπων ταῦτα LTrWHR, βλέπων καὶ ἀκούων ταῦτα TTr *marg.* [20] ἔβλεπον WH *marg.* [21] ἔπεσον E. [22] δεικνύντος T. [23] —γάρ LTTrWHR. [24] —ὅτι LTTrWHR. [25] +γὰρ LTTrWHR. [26] ῥυπαρὸς LTTrWHR. [27] ῥυπανθήτω LTTrWH *text*. R: ῥυπαρευθήτω WH *marg.*

καὶ ὁ δίκαιος **δικαιωθήτω**[1] **ἔτι**· καὶ ὁ ἅγιος ἁγιασθήτω
12 ἔτι. **Καὶ**[2] [a]ἰδοὺ ἔρχομαι ταχύ, καὶ [b]ὁ μισθός μου μετ'
ἐμοῦ, [c]ἀποδοῦναι ἑκάστῳ ὡς τὸ ἔργον **αὐτοῦ ἔσται**[3].
13 [d]ἐγώ **εἰμι**[4] τὸ **Α**[5] καὶ τὸ Ω, [e]**ἀρχὴ καὶ τέλος**, [f]**ὁ πρῶτος**
καὶ ὁ ἔσχατος[6].
14 "Μακάριοι οἱ **ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ**[7], ἵνα
ἔσται [g]ἡ ἐξουσία αὐτῶν ἐπὶ [h]τὸ ξύλον τῆς ζωῆς, καὶ
15 [i]τοῖς πυλῶσιν [k]εἰσέλθωσιν εἰς τὴν πόλιν. [l]ἔξω **δὲ**[8]
[m]οἱ κύνες καὶ [n]οἱ φαρμακοὶ καὶ οἱ [n]πόρνοι καὶ οἱ
[n]φονεῖς καὶ οἱ [n]εἰδωλολάτραι, καὶ πᾶς ὁ[9] **φιλῶν καὶ**
ποιῶν[10] [no]ψεῦδος.
16 "Ἐγὼ Ἰησοῦς [p]ἔπεμψα τὸν ἄγγελόν μου μαρτυρῆ-
σαι ὑμῖν ταῦτα **ἐπὶ**[11] [q]ταῖς ἐκκλησίαις· ἐγώ εἰμι [r]ἡ
ῥίζα καὶ τὸ γένος **τοῦ**[12] **Δαβὶδ**[13], ὁ [s]ἀστὴρ [t]ὁ λαμπρὸς
17 **καὶ**[14] **ὀρθρινός**[15]." Καὶ **τὸ**[16] πνεῦμα καὶ [u]**ἡ**[17] νύμφη
λέγουσιν, "**Ἐλθέ**[18]· καὶ ὁ ἀκούων εἰπάτω, **Ἐλθέ**[18].
καὶ [x]ὁ διψῶν **ἐλθέτω**[19], **καὶ**[20] ὁ θέλων **λαμβανέτω τὸ**[21]
[y]ὕδωρ ζωῆς [z]δωρεάν."
ΟΒ'. 18 **Συμμαρτυροῦμαι γὰρ**[22] παντὶ[23] ἀκούοντι τοὺς λόγους
τῆς προφητείας τοῦ βιβλίου τούτου· [z]ἐάν τις **ἐπιτιθῇ**
πρὸς ταῦτα[24], ἐπιθήσει **ὁ Θεὸς ἐπ' αὐτὸν**[25] τὰς πληγὰς
19 τὰς γεγραμμένας ἐν[26] βιβλίῳ τούτῳ· καὶ [z]ἐάν τις
ἀφαιρῇ[27] ἀπὸ τῶν λόγων [a]**βίβλου**[28] τῆς προφητείας
ταύτης, **ἀφαιρήσει**[29] ὁ Θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ
βίβλου[30] τῆς ζωῆς, καὶ **ἐκ**[31] [b]τῆς πόλεως τῆς ἁγίας,
20 **καὶ**[32] τῶν γεγραμμένων ἐν [33]βιβλίῳ τούτῳ. Λέγει ὁ [c]

[a] Vid. ver. 7.
[b] Esa. 40. 10; 62. 11. Cf. Rom. 4. 4.
[c] Vid. cap. 2. 23.
[d] Vid. cap. 21. 6.
[e] cap. 1. 8 (var. lect.).
[f] Vid. cap. 1. 17.
[g] cap. 6. 8.
[h] ver. 2, 19 (var. lect.). Vid. cap. 21. 27.
[i] Vid. Matt. 26. 71 & cap. 21. 12.
[k] Ps. 118. 20. Cf. cap. 21. 27.
[l] Cf. Gal. 5. 21.
[m] Vid. Phil. 3. 2.
[n] Vid. cap. 21. 8.
[o] cap. 21. 27.
[p] cap. 1. 1.
[q] cap. 1. 4.
[r] Vid. cap. 5. 5.
[s] cap. 2. 28. Cf. Num. 24. 17.
[t] Esa. 60. 3.
[u] cap. 21. 2, 9. Cf. Cant. 8. 13, 14.
[x] Vid. cap. 21. 6.
[y] Vid. ver. 1.
[z] Deut. 4. 2; 12. 32. Cf. Prov. 30. 6. Gal. 1. 8.
[a] Cf. cap. 3. 5.
[b] cap. 11. 2; 21. 2, 10.
[c] cap. 7. 14.
[d] cap. 2. 28.

[1] δικαιοσύνην ποιησάτω LTTrWHR. [2] —Καὶ LTTrWHR. [3] ἐστὶν αὐτοῦ LTTrWHR. [4] —εἰμι LTTrWHR. [5] Ἄλφα (*at* ὦ) LTTrWH. [6] πρῶτος καὶ ἔσχατος, ἡ ἀρχὴ καὶ τὸ τέλος LWH *marg.*, ὁ πρῶτος καὶ ὁ ἔσχατος, ἡ ἀρχὴ καὶ τὸ τέλος TWH *text.* R, ὁ πρῶτος καὶ ὁ ἔσχατος, ἀρχὴ καὶ τέλος Tr. [7] [c] πλύνοντες τὰς στολὰς αὐτῶν LTTrWHR. [8] —δὲ LTTrWHR. [9] —ὁ LTTrWH. [10] ποιῶν καὶ φιλῶν T. [11] ἐν LTr *marg.* WH *marg.* [12] —τοῦ LTTrWHR. [13] Δαυείδ LTTrWH. [14] —καὶ TTrWHR. [15] ὁ [d] πρωϊνός LTTrWHR (πρωινός WH). [16] —τὸ WH *marg.* [17] —ἡ WH *marg.* [18] Ἔρχου LTTrWHR. [19] ἐρχέσθω LTTr WHR. [20] —καὶ LTTrWHR. [21] λαβέτω LTTrWHR. [22] Μαρτυρῶ ἐγὼ LTTrWHR. [23] +τῷ LTTrWHR. [24] ἐπιθῇ ἐπ' αὐτά LTTrWHR. [25] ἐπ' αὐτὸν ὁ θεὸς T. [26] +τῷ LTTrWHR. [27] ἀφέλῃ LTTrWHR. [28] τοῦ βιβλίου LTTrWHR. [29] ἀφελεῖ LTTrWHR. [30] τοῦ ξύλου LTTrWHR. [31] —ἐκ L[Tr]. [32] —καὶ LTTrWHR. [33] +τῷ LTTrWHR.

[a] Vid. ver. 7. Cf. Heb. 10. 37.
[b] Cf. 2 Tim. 4. 8.
[c] Vid. Rom. 16. 20.

μαρτυρῶν ταῦτα, "Ναὶ [a] ἔρχομαι ταχύ· ἀμήν." Ναί[1],
[b] ἔρχου[2], Κύριε Ἰησοῦ.
[c] Ἡ χάρις τοῦ Κυρίου ἡμῶν[3] Ἰησοῦ Χριστοῦ[4] 21
μετὰ πάντων ὑμῶν. Ἀμήν[5].[6]

[1] καὶ B, —Ναί (ταχύ. Ἀμήν.) LTTrWHR. [2] Ἀμήν· ἔρχου WHR. [3] —ἡμῶν LTTrWHR. [4] —Χριστοῦ LTTr[WH]R *text.* (*non marg.*). [5] πάντων LTR *marg.*, τῶν ἁγίων. TrWHR *text.* Ἀμήν *habet* R. [6] *Deest subscriptio in* LTTrWHR.

ΤΕΛΟΣ.

MONITUM.

In errorum typographicorum tabulâ Stephanicae editioni 1550 *suffixâ, haec sunt notanda.*

Ad fin. Matthaei addere vult: Τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἐγράφη ἐν στίχοις β͵φιδ, κεφαλαίοις τνε̄.

Johan. xvi. 33 ἔχετε *legere videtur pro* ἕξετε, *quo ex fonte manavit* ἕξετε *apud* BE *&c.*

Ad fin. Johan. addere vult: Τοὺς τοῦ κατὰ Ἰωάννην εὐαγγελίου στίχους ἐν τοῖς ἡμετέροις οὐχ εὕρομεν ἀντιγράφοις.

Ad fin. subscriptionis Epist. ad Romanos addit Ἐν στίχοις ϡκ.

γεννεὰν Matth. xxiii. 36, ιαθέντες Act. iii. 11, *praeeunte Stephano, taciti correximus.*

Postremo, cum Stephano ἐπιτοαυτὸ *legimus* Act. i. 15; ii. 1, 44; iii. 1: ἐπὶ τὸ αὐτὸ Act. iv. 26; 1 Cor. xiv. 23.

